παρὰ μὲν τοῖς νεωτέροις ἄρχοντάς τινας διατρίβειν, τοὺς δὲ πρεσβυτέρους, παρὰ τοῖς ἄρχουσιν· ἡ γὰρ ἐν ὀφθαλμοῖς τῶν ἀρχόντων παρουσία, μάλιστα ἐμποιεῖ τὴν ἀληθινὴν αἰδῶ· καὶ τὸν τῶν ἐλευθέρων φόβον· τὴν δὲ τῶν ὠνίων ἀγορὰν, ἑτέραν τε δεῖ ταύτης εἶναι καὶ χωρὶς ἔχουσαν τόπον εὐσυνάγωγον· τοῖς τε ἀπὸ τῆς θαλάττης πεμπομένοις· καὶ τοῖς ἀπὸ τῆς χώρας πᾶσιν. ἐπεὶ δὲ τὸ πλῆθος διαιρεῖται τῆς πόλεως εἰς ἱερεῖς, εἰς ἄρχοντας, πρέπει καὶ τῶν ἱερέων συσσίτια περὶ τὴν τῶν ἱερῶν οἰκοδομημάτων ἔχειν τὴν τάξιν· τῶν δ' ἀρχείων ὅσα περὶ τὰ συμβόλαια καὶ περὶ ταῦτα τὴν ἐπιμέλειαν, περί τε γραφὰς δικῶν καὶ τὰς κλήσεις, καὶ τὴν ἄλλην τὴν τοιαύτην διοίκησιν· ἔτι δὲ περὶ τὴν ἀγορανομίαν, καὶ τὴν καλουμένην ἀστυνομίαν, πρὸς ἀγορᾷ μὲν δεῖ καὶ συνόδῳ τινὶ κοινῇ κατεσκευάσθαι· τοιοῦτος δ' ὁ περὶ τὴν ἀναγκαίαν ἀγοράν ἐστι τόπος· ἐνσχολάζειν μὲν γὰρ τὴν ἄνω τίθεμεν· ταύτην δὲ πρὸς τὰς ἀναγκαίας πράξεις· μεμιμῆσθαι δὲ χρὴ τὴν εἰρημένην τάξιν, καὶ τὰ περὶ τὴν χώραν· καὶ γὰρ ἐκεῖ τοῖς ἄρχουσιν, οὓς καλοῦσιν, οἱ μὲν, ὑλωρούς, οἱ δὲ, ἀγρονόμους· καὶ φυλακτήρια καὶ συσσίτια πρὸς φυλακὴν ἀναγκαῖον ὑπάρχειν· ἔτι δὲ ἱερὰ κατὰ τὴν χώραν εἶναι νενεμημένα· τὰ μὲν, θεοῖς· τὰ δὲ, ἥρωσιν· ἀλλὰ τὸ διατρίβειν νῦν ἀκριβολογουμένους καὶ λέγοντας περὶ τῶν τοιούτων, ἀργόν ἐστιν· οὐ γὰρ χαλεπόν ἐστι τὰ τοιαῦτα νοῆσαι, ἀλλὰ ποιῆσαι μᾶλλον· τὸ μὲν γὰρ λέγειν, εὐχῆς ἔργον ἐστί· τὸ δὲ συμβῆναι τύχης· διὸ περὶ μὲν τῶν τοιούτων τὸ ἐπὶ πλεῖον ἀφείσθω τανῦν· περὶ δὲ τῆς πολιτείας αὐτῆς, ἐκ τίνων καὶ ἐκ ποίων δεῖ συνεστάναι τὴν μέλλουσαν ἔσεσθαι πόλιν μακαρίαν, καὶ πολιτεύεσθαι καλῶς, λεκτέον. Ἐπεὶ δὲ δύ' ἐστὶν ἐν οἷς γίνεται τὸ εὖ πᾶσιν· τούτοιν δ' ἐστὶν ἓν μὲν, ἐν τῷ τὸν σκοπὸν κεῖσθαι· καὶ τὸ τέλος τῶν πράξεων ὀρθῶς· ἓν δὲ τὰς πρὸς τὸ τέλος φερούσας πράξεις εὑρίσκειν· ἐνδέχεται γὰρ ταῦτα καὶ διαφωνεῖν ἀλλήλοις καὶ συμφω-

νεῖν

ὑλωροί,
ἀγρονόμοι

Dicere opus est voti
contingere autem
quae dicuntur for
tunae.



νεῖν· ἐνίοτε γὰρ, ὁ μὲν σκοπὸς ἔκκειται καλῶς, ἐν δὲ τῷ πράττειν τοῦ τυχεῖν αὐτοῦ διαμαρτάνουσιν· ὁτὲ δὲ, τῶν μὲν πρὸς τὸ τέλος πάντων ἐπιτυγχάνουσιν· ἀλλὰ τὸ τέλος ἔθεντο φαῦλον· ὁτὲ δὲ ἑκατέρου διαμαρτάνουσιν· οἷον, περὶ ἰατρικήν· οὔτε γὰρ ποῖόν τι δεῖ τὸ ὑγιαῖνον εἶναι σῶμα κρίνουσιν ἐνίοτε καλῶς, οὔτε πρὸς τὸν ὑποκείμενον αὐτοῖς ὅρον τυγχάνουσι τῶν ποιητικῶν· δεῖ δ' ἐν ταῖς τέχναις καὶ ἐπιστήμαις, ταῦτα ἀμφότερα κρατεῖσθαι, τὸ τέλος· καὶ τὰς εἰς τὸ τέλος πράξεις· ὅτι μὲν οὖν τοῦ τε εὖ ζῆν, καὶ τῆς εὐδαιμονίας ἐφίενται πάντες, φανερόν· ἀλλὰ τούτων τοῖς μὲν, ἐξουσία τυγχάνει· τοῖς δὲ οὔ, διά τινα τύχην ἢ φύσιν· δεῖται γὰρ καὶ χορηγίας τινὸς τὸ ζῆν καλῶς· τούτου δὲ, ἐλάττονος μὲν· τοῖς ἄμεινον διακειμένοις· πλείονος δὲ τοῖς χεῖρον· οἱ δ' εὐθὺς οὐκ ὀρθῶς ζητοῦσι τὴν εὐδαιμονίαν ἐξουσίας ὑπαρχούσης· ἐπεὶ δὲ τὸ προκείμενον ἐστὶ τὴν ἀρίστην πολιτείαν ἰδεῖν· αὕτη δ' ἐστὶ καθ' ἣν ἄριστ' ἂν πολιτεύοιτο πόλις, ἄριστα δ' ἂν πολιτεύοιτο καθ' ἣν εὐδαιμονεῖν μάλιστα ἐνδέχεται τὴν πόλιν, δῆλον ὅτι τὴν εὐδαιμονίαν δεῖ τί ἐστι μὴ λανθάνειν· φαμὲν δὲ καὶ ἐν τοῖς ἠθικοῖς, εἴ τι τῶν λόγων ἐκείνων ὄφελος, ἐνέργειαν εἶναι καὶ χρῆσιν ἀρετῆς τελείαν· καὶ ταύτην, οὐκ ἐξ ὑποθέσεως, ἀλλὰ ἁπλῶς· λέγω δ' ἐξ ὑποθέσεως τἀναγκαῖα· τὸ δ' ἁπλῶς, τὸ καλῶς· οἷον, τὰ περὶ τὰς δικαίας πράξεις αἱ δίκαιαι τιμωρίαι, καὶ κολάσεις ἀπ' ἀρετῆς μὲν εἰσίν, ἀναγκαῖαι δέ, καὶ τὸ καλῶς, ἀναγκαίως ἔχουσιν· αἱρετώτερον μὲν γὰρ μηδενὸς δεῖσθαι τῶν τοιούτων· μήτε τὸν ἄνδρα· μήτε τὴν πόλιν· αἱ δ' ἐπὶ τὰς τιμὰς καὶ τὰς εὐπορίας ἁπλῶς εἰσὶ κάλλισται πράξεις· τὸ μὲν γὰρ ἕτερον, κακοῦ τινος αἵρεσίς ἐστιν· αἱ τοιαῦται δὲ πράξεις, τοὐναντίον· κατασκευαὶ γὰρ ἀγαθῶν εἰσι καὶ γεννήσεις· χρήσαιτο δ' ἂν ὁ σπουδαῖος ἀνὴρ καὶ πενίᾳ καὶ νόσῳ, καὶ ταῖς ἄλλαις τύχαις ταῖς φαύλαις καλῶς· ἀλλὰ τὸ μακάριον ἐν τοῖς ἐναντίοις ἐστί· καὶ γὰρ τοῦτο διώρισται κατὰ τοὺς ἠθικοὺς λόγους· ὅτι τοιοῦτός ἐστιν ὁ σπου-

φφφφ 2

Verissime

δαῖος ᾧ διὰ τὴν ἀρετὴν τὰ ἀγαθά ἐστι, τὰ ἁπλῶς ἀγαθά. δῆλον δ' ὅτι καὶ τὰς χρήσεις ἀναγκαῖον σπουδαίας καὶ καλὰς εἶναι ταύτας ἁπλῶς. διὸ καὶ νομίζουσιν ἄνθρωποι τῆς εὐδαιμονίας αἴτια τὰ ἐκτὸς εἶναι τῶν ἀγαθῶν, ὥσπερ εἰ τοῦ κιθαρίζειν λαμπρὸν καὶ καλῶς αἰτιῷτο τὴν λύραν μᾶλλον τῆς τέχνης. ἀναγκαῖον τοίνυν ἐκ τῶν εἰρημένων, τὰ μὲν ὑπάρχειν, τὰ δὲ παρασκευάσαι τὸν νομοθέτην. διὸ κατ' εὐχὴν εὐχόμεθα τὴν τῆς πόλεως σύστασιν ὧν ἡ τύχη κυρία· κυρίαν γὰρ αὐτὴν ὑπάρχειν τίθεμεν. τὸ δὲ σπουδαίαν εἶναι τὴν πόλιν, οὐκέτι τύχης ἔργον, ἀλλ' ἐπιστήμης καὶ προαιρέσεως. ἀλλὰ μὴν σπουδαία πόλις ἐστὶ, τῷ τοὺς πολίτας τοὺς μετέχοντας τῆς πολιτείας, εἶναι σπουδαίους. ἡμῖν δὲ, πάντες οἱ πολῖται μετέχουσι τῆς πολιτείας. τοῦτ' ἄρα σκεπτέον πῶς ἀνὴρ γίνεται σπουδαῖος. καὶ γὰρ εἰ πάντας ἐνδέχεται σπουδαίους εἶναι, μὴ καθ' ἕκαστον δὲ τῶν πολιτῶν, οὕτως αἱρετώτερον. ἀκολουθεῖ γὰρ τῷ καθ' ἕκαστον, καὶ τὸ πάντας. ἀλλὰ μὴν ἀγαθοί γε καὶ σπουδαῖοι γίνονται διὰ τριῶν. τὰ τρία δὲ ταῦτά ἐστι, φύσις, ἔθος, λόγος. καὶ γὰρ φῦναι δεῖ πρῶτον οἷον ἄνθρωπον, ἀλλὰ μὴ τῶν ἄλλων τι ζῴων. οὕτω καὶ ποιόν τινα τὸ σῶμα καὶ τὴν ψυχήν, ἔνια δὲ οὐθὲν ὄφελος φῦναι. τὰ γὰρ ἔθη μεταβαλεῖν ποιεῖ. ἔνια γάρ ἐστι διὰ τῆς φύσεως ἐπαμφοτερίζοντα διὰ τῶν ἐθῶν ἐπὶ τὸ χεῖρον καὶ τὸ βέλτιον. τὰ μὲν οὖν ἄλλα τῶν ζῴων, μάλιστα μὲν τῇ φύσει ζῇ, μικρὰ δ' ἔνια καὶ τοῖς ἔθεσιν. ἄνθρωπος δὲ καὶ λόγῳ. μόνον γὰρ ἔχει λόγον. ὥστε δεῖ ταῦτα συμφωνεῖν ἀλλήλοις. πολλὰ γὰρ παρὰ τοὺς ἐθισμοὺς καὶ τὴν φύσιν πράττουσι διὰ τὸν λόγον, ἐὰν πεισθῶσιν ἄλλως ἔχειν βέλτιον. τὴν μὲν τοίνυν φύσιν οἵους εἶναι δεῖ τοὺς μέλλοντας εὐχειρώτους ἔσεσθαι τῷ νομοθέτῃ, διωρίσμεθα πρότερον. τὸ δὲ λοιπὸν ἔργον ἤδη παιδείας. τὰ μὲν γὰρ ἐθιζόμενοι μανθάνουσι, τὰ δ' ἀκούοντες. ἐπεὶ δὲ πᾶσα πολιτικὴ κοινωνία συνέστηκεν ἐξ ἀρχόντων καὶ ἀρχομένων, τοῦτο δὴ σκεπτέον, εἰ ἑτέρους εἶναι δεῖ τοὺς ἄρχοντας καὶ τοὺς ἀρχομένους, ἢ τοὺς αὐτοὺς

διὰ

Cῃ

*Tria efficere homines probos. Natura Morem. doctrinā siue rationem*



βίου. δῆλον γὰρ ὡς ἀκολουθεῖν δεήσει καὶ τὴν παιδείαν κατὰ τὴν διαίρεσιν ταύτην. εἰ μὲν τοίνυν εἴησαν τοσοῦτον διαφέροντες ἅτεροι τῶν ἄλλων, ὅσον τοὺς θεοὺς καὶ τοὺς ἥρωας ἡγούμεθα τῶν ἀνθρώπων διαφέρειν, εὐθὺς πρῶτον κατὰ τὸ σῶμα πολλὴν ἔχοντας ὑπερβολήν, εἶτα κατὰ τὴν ψυχήν, ὥστε ἀναμφισβήτητον εἶναι καὶ φανερὰν τὴν ὑπεροχὴν τοῖς ἀρχομένοις τὴν τῶν ἀρχόντων, δῆλον ὅτι βέλτιον ἀεὶ τοὺς αὐτοὺς, τοὺς μὲν ἄρχειν, τοὺς δ' ἄρχεσθαι καθάπαξ. ἐπεὶ δὲ τοῦτ' οὐ ῥᾴδιον λαβεῖν, οὐδ' ἔστιν ὥσπερ ἐν Ἰνδοῖς φησὶ Σκύλαξ εἶναι τοὺς βασιλέας, τοσοῦτον διαφέροντας τῶν ἀρχομένων, φανερὸν ὅτι διὰ πολλὰς αἰτίας ἀναγκαῖον πάντας ὁμοίως κοινωνεῖν, τοῦ κατὰ μέρος ἄρχειν καὶ ἄρχεσθαι. τό τε γὰρ ἴσον ταὐτὸν τοῖς ὁμοίοις, καὶ χαλεπὸν μένειν τὴν πολιτείαν τὴν συνεστηκυῖαν παρὰ τὸ δίκαιον. μετὰ γὰρ τῶν ἀρχομένων ὑπάρχουσι, νεωτερίζειν βουλόμενοι πάντες οἱ κατὰ τὴν χώραν. τοσούτους τε εἶναι τοὺς ἐν τῷ πολιτεύματι τὸ πλῆθος, ὥστ' εἶναι κρείττους πάντων τούτων, ἕν τι τῶν ἀδυνάτων ἐστίν. ἀλλὰ μὴν ὅτι γε δεῖ τοὺς ἄρχοντας διαφέρειν τῶν ἀρχομένων, ἀναμφισβήτητον. πῶς οὖν ταῦτ' ἔσται καὶ πῶς μεθέξουσι, δεῖ σκέψασθαι τὸν νομοθέτην. εἴρηται δὲ πρότερον περὶ αὐτοῦ. ἡ γὰρ φύσις δέδωκε τὴν αἵρεσιν, ποιήσασα αὐτῷ τῷ γένει ταὐτὸ, τὸ μὲν νεώτερον, τὸ δὲ πρεσβύτερον. ὧν τοῖς μὲν ἄρχεσθαι πρέπει, τοῖς δ' ἄρχειν. ἀγανακτεῖ δὲ οὐδεὶς καθ' ἡλικίαν ἀρχόμενος, οὐδὲ νομίζει εἶναι κρείττων, ἄλλως τε καὶ μέλλων ἀντιλαμβάνειν τούτου τοῦ ἐράνου, ὅταν τύχῃ τῆς ἱκνουμένης ἡλικίας. ἔστι μὲν ἄρα ὡς τοὺς αὐτοὺς ἄρχειν καὶ ἄρχεσθαι φατέον, ἔστι δὲ ὡς ἑτέρους, ὥστε καὶ τὴν παιδείαν ἔστιν ὡς τὴν αὐτὴν ἀναγκαῖον, ἔστι δ' ὡς ἑτέραν εἶναι. τόν τε γὰρ μέλλοντα καλῶς ἄρχειν, ἀρχθῆναί φασι δεῖν πρῶτον. ἔστι δὲ ἀρχὴ καθάπερ ἐν τοῖς πρώτοις εἴρηται λόγοις, ἡ μὲν τοῦ ἄρχοντος χάριν, ἡ δὲ τοῦ ἀρχομένου. τούτων δὲ, τὴν μὲν δεσποτικὴν εἶναι φαμέν, τὴν δὲ τῶν ἐλευθέρων. διαφέ-

φφφφ 3

*Scylax*

*Senes regere. Juuenes regi debēt*

*ἀντιλαμβάνειν*

*Τὸν μέλλοντα καλῶς ἄρχειν ἀρχθῆναι φασὶ δεῖν πρῶτον*

ρει δ᾽ ἔνια τῶν ἐπιταττομένων, οὐ τοῖς ἔργοις, ἀλλὰ τῷ τίνος ἕνεκα. διὸ πολλὰ τῶν εἶναι δοκούντων διακονικῶν ἔργων, καὶ τῶν νέων τοῖς ἐλευθέροις καλὸν διακονεῖν. πρὸς γὰρ τὸ καλὸν καὶ τὸ μὴ καλὸν, οὐχ οὕτω διαφέρουσιν αἱ πράξεις καθ᾽ αὑτὰς ὡς ἐν τῷ τέλει καὶ τῷ τίνος ἕνεκεν. ἐπεὶ δὲ πολίτου καὶ ἄρχοντος τὴν αὐτὴν ἀρετὴν εἶναί φαμεν, καὶ τοῦ ἀρίστου ἀνδρὸς, τὸν δ᾽ αὐτὸν ἀρχόμενόν τε δεῖν γίνεσθαι πρότερον καὶ ἄρχοντα ὕστερον, τοῦτ᾽ ἂν εἴη τῷ νομοθέτῃ πραγματευτέον, ὅπως ἄνδρες ἀγαθοὶ γίνωνται. καὶ διὰ τίνων ἐπιτηδευμάτων. καὶ τί τὸ τέλος τῆς ἀρίστης ζωῆς. διῄρηται δὲ δύο μέρη τῆς ψυχῆς. ὧν τὸ μὲν, ἔχει λόγον καθ᾽ αὑτό. τὸ δ᾽ οὐκ ἔχει μὲν καθ᾽ αὑτὸ λόγῳ δ᾽ ὑπακούειν δυνάμενον. ὧν φαμὲν τὰς ἀρετὰς εἶναι, καθ᾽ ἃς ἀνὴρ ἀγαθὸς λέγεταί πως. τούτων δὲ ἐν ποτέρῳ μᾶλλον τὸ τέλος. τοῖς μὲν οὕτω διαιροῦσιν ὡς ἡμεῖς φαμὲν, οὐκ ἄδηλον πῶς λεκτέον. αἰεὶ γὰρ τὸ χεῖρον τοῦ βελτίονός ἐστιν ἕνεκεν. καὶ τοῦτο φανερὸν ὁμοίως ἔν τε τοῖς κατὰ τέχνην καὶ τοῖς κατὰ φύσιν. βέλτιον δὲ τὸ λόγον ἔχον. διῄρηταί τε διχῆ. καθ᾽ ὅνπερ εἰώθαμεν τρόπον διαιρεῖν. ὁ μὲν γὰρ πρακτικός ἐστι λόγος. ὁ δὲ, θεωρητικός. ὡσαύτως οὖν ἀνάγκη διῃρῆσθαι καὶ τοῦτο τὸ μέρος καὶ τὰς πράξεις δ᾽ ἀνάλογον ἐροῦμεν ἔχειν. καὶ δεῖ τὰς τοῦ φύσει βελτίονος αἱρετωτέρας εἶναι τοῖς δυναμένοις τυγχάνειν ἢ πασῶν, ἢ τοῖν δυοῖν. αἰεὶ γὰρ ἑκάστῳ τοῦθ᾽ αἱρετώτατον οὗ τυχεῖν ἐστιν ἀκροτάτου. διῄρηται δὲ καὶ πᾶς ὁ βίος εἰς ἀσχολίαν, καὶ εἰς σχολὴν. καὶ πόλεμον. καὶ εἰρήνην. καὶ τῶν πρακτῶν τὰ μὲν, εἰς τὰ ἀναγκαῖα καὶ χρήσιμα. τὰ δὲ, εἰς τὰ καλά. περὶ ὧν ἀνάγκη, τὴν αὐτὴν αἵρεσιν εἶναι. καὶ τοῖς τῆς ψυχῆς μέρεσι καὶ ταῖς πράξεσιν αὐτῶν. πόλεμον μὲν, εἰρήνης χάριν. ἀσχολίαν δὲ σχολῆς. τὰ δ᾽ ἀναγκαῖα καὶ χρήσιμα τῶν καλῶν ἕνεκεν. πρὸς πάντα μὲν τοίνυν τῷ πολιτικῷ βλέποντι νομοθετητέον. καὶ κατὰ τὰ μέρη τῆς ψυχῆς. καὶ κατὰ τὰς πράξεις αὐτῶν. μᾶλλον δὲ πρὸς τὰ βελτίω καὶ τὰ τέλη. τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ τοὺς βίους

καὶ

Pulcherrimum documētū

Partes animi duæ rationalis & irrationalis

Peius semp̄ cōparat causa melioris

Rationalis animi pars diuiditur in ratione theoricā & practicā

Omnis uita diuidit in negotiū & otiū, & in pace & bellū



καὶ τὰς τῶν πραγμάτων διαιρέσεις. δεῖ μὲν γὰρ ἀσχολεῖν δύνασθαι καὶ πολεμεῖν. μᾶλλον δ᾽ εἰρήνην ἄγειν καὶ σχολάζειν. καὶ τἀναγκαῖα, καὶ τὰ χρήσιμα δὲ πράττειν. τὰ δὲ καλὰ, δεῖ μᾶλλον. ὥστε πρὸς τούτους τοὺς σκοποὺς καὶ παῖδας ἔτι ὄντας παιδευτέον. καὶ τὰς ἄλλας ἡλικίας ὅσαι δέονται παιδείας. οἱ δὲ νῦν ἄριστα δοκοῦντες πολιτεύεσθαι τῶν ἑλλήνων καὶ τῶν νομοθετῶν οἱ ταύτας καταστήσαντες τὰς πολιτείας, οὔτε πρὸς τὸ βέλτιον τέλος φαίνονται συντάξαντες τὰ περὶ τὰς πολιτείας, οὔτε πρὸς πάσας τὰς ἀρετὰς, τοὺς νόμους καὶ τὴν παιδείαν. ἀλλὰ φορτικῶς ἀπέκλιναν πρὸς τὰς χρησίμους εἶναι δοκούσας καὶ πλεονεκτικωτέρας. παραπλησίως δὲ τούτοις καὶ τῶν ὕστερον τινὲς γραψάντων ἀπεφήναντο τὴν αὐτὴν δόξαν. ἐπαινοῦντες γὰρ τὴν λακεδαιμονίων πολιτείαν, ἄγανται τοῦ νομοθέτου τὸν σκοπὸν, ὅτι πάντα πρὸς τὸ κρατεῖν καὶ πρὸς πόλεμον ἐνομοθέτησεν. ἃ καὶ κατὰ τὸν λόγον ἐστὶν εὐέλεγκτα. καὶ τοῖς ἔργοις ἐξελήλεγκται νῦν. ὥσπερ γὰρ οἱ πλεῖστοι τῶν ἀνθρώπων ζηλοῦσι τῶν πολλῶν δεσπόζειν, ὅτι πολλὴ χορηγία γίνεται τῶν εὐτυχημάτων, οὕτω καὶ θίβρων ἀγάμενος φαίνεται τὸν τῶν λακώνων νομοθέτην καὶ τῶν ἄλλων ἕκαστος τῶν γραφόντων περὶ τῆς πολιτείας αὐτῶν, ὅτι διὰ τὸ γεγυμνάσθαι πρὸς τοὺς κινδύνους, πολλῶν ἦρχον. καίτοι δῆλον, ὡς ἐπειδή γε νῦν οὐκ ἔτι ὑπάρχει τοῖς λάκωσι τὸ ἄρχειν οὐκ εὐδαίμονες, οὐδ᾽ ὁ νομοθέτης ἀγαθός. ἔτι δὲ τοῦτο γελοῖον, εἰ μένοντες ἐν τοῖς νόμοις αὐτοῦ, καὶ μηδενὸς ἐμποδίζοντος πρὸς τὸ χρῆσθαι τοῖς νόμοις, ἀποβεβλήκασι τὸ ζῆν καλῶς. οὐκ ὀρθῶς δ᾽ ὑπολαμβάνουσιν οὐδὲ περὶ τῆς ἀρχῆς ἣν δεῖ τιμῶντα φαίνεσθαι τὸν νομοθέτην. τοῦ γὰρ δεσποτικῶς ἄρχειν, ἡ τῶν ἐλευθέρων ἀρχὴ καλλίων. καὶ μᾶλλον μετ᾽ ἀρετῆς. ἔτι δὲ οὐ διὰ τοῦτο δεῖ τὴν πόλιν εὐδαίμονα νομίζειν. καὶ τὸν νομοθέτην ἐπαινεῖν, ὅτι κρατεῖν ἤσκησεν ἐπὶ τὸ τῶν πέλας ἄρχειν. ταῦτα γὰρ μεγάλην ἔχει βλάβην. δῆλον γὰρ ὅτι καὶ

Thibrō

Τῶν πέλας ἀρχῆ

τῶν πολιτῶν τῷ δυναμένῳ, τοῦτο πειρατέον διώκειν, ὅπως δύνηται τῆς οἰκείας πόλεως ἄρχειν· ὅπερ ἐγκαλοῦσιν οἱ Λάκωνες Παυσανίᾳ τῷ βασιλεῖ, καίπερ ἔχοντι τηλικαύτην τιμήν. οὔτε δὴ πολιτικὸς τῶν τοιούτων λόγων καὶ νόμων οὐθείς, οὔτε ὠφέλιμος, οὔτε ἀληθής ἐστι. ταὐτὰ γὰρ ἄριστα καὶ ἰδίᾳ καὶ κοινῇ, τὸν νομοθέτην ἐμποιεῖν δεῖ ταῦτα ταῖς ψυχαῖς τῶν ἀνθρώπων. τήν τε τῶν πολεμικῶν ἄσκησιν, οὐ τούτου χάριν δεῖ μελετᾶν, ἵνα καταδουλώσωνται τοὺς ἀναξίους, ἀλλ' ἵνα πρῶτον μὲν αὐτοὶ μὴ δουλεύσωσιν ἑτέροις· ἔπειτα ὅπως ζητῶσι τὴν ἡγεμονίαν τῆς ὠφελείας ἕνεκα τῶν ἀρχομένων, ἀλλὰ μὴ πάντων δεσποτείας· τρίτον δὲ τὸ δεσπόζειν τῶν ἀξίων δουλεύειν. ὅτι δὲ δεῖ τὸν νομοθέτην μᾶλλον σπουδάζειν, ὅπως καὶ τὴν περὶ τὰ πολεμικὰ καὶ τὴν ἄλλην νομοθεσίαν τοῦ σχολάζειν ἕνεκεν τάξῃ καὶ τῆς εἰρήνης, μαρτυρεῖ τὰ γιγνόμενα τοῖς λόγοις. αἱ γὰρ πλεῖσται τῶν τοιούτων πόλεων, πολεμοῦσαι μὲν σώζονται, κατακτησάμεναι δὲ τὴν ἀρχήν, ἀπόλλυνται. τὴν γὰρ βαφὴν ἀφιᾶσιν ὥσπερ ὁ σίδηρος, εἰρήνην ἄγοντες. αἴτιος δ' ὁ νομοθέτης, οὐ παιδεύσας δύνασθαι σχολάζειν. ἐπεὶ δὲ τὸ αὐτὸ τέλος εἶναι φαίνεται καὶ κοινῇ καὶ ἰδίᾳ τοῖς ἀνθρώποις, καὶ τὸν αὐτὸν ὅρον ἀναγκαῖον εἶναι τῷ τε ἀρίστῳ ἀνδρὶ καὶ τῇ ἀρίστῃ πολιτείᾳ, φανερὸν ὅτι δεῖ τὰς εἰς τὴν σχολὴν ἀρετὰς ὑπάρχειν· τέλος γὰρ ὥσπερ εἴρηται πολλάκις, εἰρήνη μὲν πολέμου, σχολὴ δ' ἀσχολίας. χρήσιμοι δὲ τῶν ἀρετῶν εἰσὶ πρὸς τὴν σχολὴν καὶ διαγωγήν, ὧν τε ἐν τῇ σχολῇ τὸ ἔργον, καὶ ὧν ἐν τῇ ἀσχολίᾳ. δεῖ γὰρ πολλὰ τῶν ἀναγκαίων ὑπάρχειν, ὅπως ἐξῇ σχολάζειν. διὸ σώφρονα τὴν πόλιν εἶναι προσήκει, καὶ ἀνδρείαν καὶ καρτερικήν. κατὰ γὰρ τὴν παροιμίαν, οὐ σχολὴ δούλοις· οἱ δὲ μὴ δυνάμενοι κινδυνεύειν ἀνδρείως, δοῦλοι τῶν ἐπιόντων εἰσίν. ἀνδρίας μὲν οὖν καὶ καρτερίας δεῖ πρὸς τὴν ἀσχολίαν, φιλοσοφίας δὲ πρὸς τὴν σχολήν, σωφροσύνης δὲ καὶ δικαιοσύνης ἐν ἀμφοτέροις τοῖς χρόνοις, καὶ μᾶλλον εἰρήνην ἄγουσι καὶ σχολάζουσιν. ὁ μὲν γὰρ πό-

λεμος

*Pausanias*

*σχολή*

*οὐ σχολὴ δούλοις*

*Oportet quiescere uolentibus adsint multa ex necessariis*



λεμος ἀναγκάζει δικαίους εἶναι καὶ σωφρονεῖν, ἡ δὲ τῆς εὐτυχίας ἀπόλαυσις καὶ τὸ σχολάζειν μετ' εἰρήνης, ὑβριστὰς ποιεῖ μᾶλλον. πολλῆς οὖν δεῖ δικαιοσύνης καὶ πολλῆς σωφροσύνης τοὺς ἄριστα δοκοῦντας πράττειν, καὶ πάντων τῶν μακαριζομένων ἀπολαύοντας, οἷον εἴ τινές εἰσιν, ὥσπερ οἱ ποιηταί φασιν, ἐν μακάρων νήσοις. μάλιστα γὰρ οὗτοι δεήσονται φιλοσοφίας καὶ σωφροσύνης καὶ δικαιοσύνης, ὅσῳ μᾶλλον σχολάζουσιν ἐν ἀφθονίᾳ τῶν τοιούτων ἀγαθῶν. διότι μὲν οὖν τὴν μέλλουσαν εὐδαιμονήσειν καὶ σπουδαίαν ἔσεσθαι πόλιν, τούτων δεῖ τῶν ἀρετῶν μετέχειν, φανερόν. αἰσχροῦ γὰρ ὄντος μὴ δύνασθαι χρῆσθαι τοῖς ἀγαθοῖς, ἀλλ' ἀσχολοῦντας μὲν καὶ πολεμοῦντας φαίνεσθαι ἀγαθούς, εἰρήνην δ' ἄγοντας καὶ σχολάζοντας ἀνδραποδώδεις. διὸ δεῖ μὴ καθάπερ ἡ Λακεδαιμονίων πόλις τὴν ἀρετὴν ἀσκεῖν. ἐκεῖνοι μὲν γὰρ οὐ ταύτῃ διαφέρουσι τῶν ἄλλων, τῷ μὴ νομίζειν ταὐτὰ τοῖς ἄλλοις μέγιστα τῶν ἀγαθῶν, ἀλλὰ τῷ γίνεσθαι ταῦτα μᾶλλον διά τινος ἀρετῆς. ἐπεὶ δὲ μείζω τε ἀγαθὰ ταῦτα, καὶ τὴν ἀπόλαυσιν τὴν τούτων, ἢ τὴν τῶν ἀρετῶν, καὶ ὅτι δι' αὑτήν, φανερὸν ἐκ τούτων· πῶς δὲ καὶ διὰ τίνων ἔσται, τοῦτο δὴ θεωρητέον. τυγχάνομεν δὴ διῃρημένοι πρότερον, ὅτι φύσεως καὶ ἔθους καὶ λόγου δεῖ. τούτων δὲ ποίους μέν τινας εἶναι χρὴ τὴν φύσιν, διώρισται πρότερον· λοιπὸν δὲ θεωρῆσαι, πότερον παιδευτέοι τῷ λόγῳ, ἢ τοῖς ἔθεσι. ταῦτα γὰρ δεῖ πρὸς ἄλληλα συμφωνεῖν συμφωνίαν τὴν ἀρίστην· ἐνδέχεται γὰρ διημαρτηκέναι καὶ τὸν λόγον τῆς βελτίστης ὑποθέσεως, καὶ διὰ τῶν ἐθῶν ὁμοίως ἤχθαι. φανερὸν δὴ τοῦτό γε πρῶτον μέν, καθάπερ ἐν τοῖς ἄλλοις, ὡς ἡ γένεσις ἀπ' ἀρχῆς ἐστι, καὶ τὸ τέλος ἀπό τινος ἀρχῆς ἄλλου τέλους. ὁ δὲ λόγος ἡμῖν καὶ ὁ νοῦς, τῆς φύσεως τέλος. ὥστε πρὸς τούτους τὴν γένεσιν καὶ τὴν τῶν ἐθῶν δεῖ παρασκευάζειν μελέτην. ἔπειτα ὥσπερ ψυχὴ καὶ σῶμα δύ' ἐστίν, οὕτω καὶ τῆς ψυχῆς ὁρῶμεν δύο μέρη, τό τε ἄλογον καὶ τὸ λόγον ἔχον, καὶ τὰς ἕξεις τὰς τούτων δύο τὸν ἀριθμόν, ὧν τὸ μέν ἐστιν ὄρεξις, τὸ δὲ

*Beatorum insulae*

Sicuti corpus prius gignitur quã animus, Sic & vrratio nale prius esse ra tionẽ

De nuptijs & q̃ ætate debent fieri

νὴς· ὡς ὥσπερ ἡ τοῦ σώματος πρότερον τῆς ψυχῆς ἔστιν ἔκφυσις, οὕτω καὶ τὸ ἄλογον τοῦ λόγου ἔχομεν· φανερὸν δὲ καὶ τοῦτο· θυμὸς γὰρ καὶ βούλησις, ἔτι δὲ ἐπιθυμία, καὶ γνώμη μᾶλλον ὑπάρχει τοῖς παισὶν ἢ τοῖς νέοις· ὁ δὲ λογισμὸς καὶ ὁ νοῦς προϊοῦσιν ἐμπίπτειν πέφυκε· διὸ πρῶτον μὲν τὸ σώματος τὴν ἐπιμέλειαν ἀναγκαῖον εἶναι πρότερον, εἶτα τῆς ψυχῆς· ἕπεται τοίνυν τῇ ὀρέξει τὸ ὀρέγεσθαι, ἕνεκα μὲν οὖν τοῦ τῇ ὀρέξει τῇ τοῦ σώματος, ἡ τῆς ψυχῆς· εἰ πρῶτον ἀναγκαῖον τὴν νομοθέτην, ὁρᾶν ὅπως βέλτιστα τὰ σώματα γένηται τῶν γεννωμένων, πρῶτον μὲν ἐπιμελητέον περὶ τὴν σύζυξιν· πότε δὲ πρὸς τίνας ὀρθῶς χρὴ προιέναι πρὸς ἀλλήλους τῇ γαμικὴν ὁμιλίαν· δεῖ δ' ἀπροβλέπτως νομοθετεῖν τούτῳ τῷ κοινωνίαν, πρὸς αὐτοὺς τὸν καιρόν· ἵνα συγκαταβαίνωσι τῇ ἡλικίαις ἐπὶ τὸν αὐτὸν καιρόν· ἢν μὲν διαφωνῶσιν αἱ δυνάμεις· τοῦ μὲν, ἐπιδυναμοῦντος γένεσιν, τοῦ δ' αὐξητικοῦ μὴ δυναμένης· ἢ τοὐναντίον μὲν, τοῦ δ' αὐξητικοῦ μὴ· ταῦτα δὲ πρὸς ἀλλήλας διαφορὰς ἔπειτα πρὸς τὴν τῶν τέκνων διαδοχήν· δεῖ δ' οὐ τὰ λίαν ὑπολείπεσθαι τοῖς ἡλικίαις τὰ τέκνα τῶν πατέρων, ἀνόητος γὰρ τοῖς μὲν πρεσβύτεροι, ἡ χάρις παρὰ τῶν τέκνων· ἡ δὲ παρὰ τῶν πατέρων βοήθεια, τοῖς τέκνοις, οὔτε λίαν ἀφρενυσ εἶναι· πολλὴν γὰρ ἔχει δυσχέρειαν· ἥττον γὰρ αἰδῶς ἧττον ὑπάρχει, ἧς χάριτος ὡς παρ' ἡλικιώτας· ἡ περὶ τὴν οἰκονομίαν ἐγκλήματικὸν τὸ πάρεργον· ἔτι δ' ὅθεν ἀρχόμενοι δῆλον μετίωμεν, ὅπως τὰ σώματα τῶν γεννωμένων ὑπάρχῃ· πρὸς τοῦτον νομοθέτου βούλησιν· χρὴ δὴ καὶ ἐκ τούτου συμβαίνειν κατὰ μίαν ἐπιμέλειαν· ἐπεὶ γὰρ ὥρισται τέλος ἡ γεννήσεως ὃς ἐπιτηδειότατον εἰπεῖν, ἀνδράσι μὲν, ὅταν ἑβδομήκοντα ἐτῶν ἀριθμὸς ἕκαστος· πεντήκοντα δὲ γυναιξίν, δεῖ τὴν ἀρχὴν ἡ συζύξεως κατὰ τὴν ἡλικίαν εἰς τοὺς χρόνους καταβαίνειν τούτους· ὅσοι δ' οὖν νέων συνδυασμὸς φαῦλος πρὸς τεκνοποιΐαν· ἐν γὰρ πᾶσι ζώοις ἀτελῆ τὰ τῶν νέων ἔγγονα· καὶ θηλυτόκα μᾶλλον· καὶ μικρὰ,

συνδυασμὸς
commixtio



τὴν μορφήν· ὥστ' ἀναγκαῖον καὶ τοῦτο συμβαίνειν ἡμῖν τὰ αὐτὰ τεκμήρια, ἐνίοτε δὲ καὶ τῶν πόλεων, ὅταν ἡ χώρα ἀζῇ· τὸ νέας συζυγνύναι καὶ νέους, ἀτελεῖς καὶ μικροὺς τὰ σώματα τοιοῦσιν· ἔτι δὲ καὶ τοῖς ἤθεσιν αἰνέσαι πρᾶοί τε μᾶλλον καὶ διαφθειρομένους πλείους· διὸ καὶ τὸν χρησμὸν γεγενῆσθαι τινες φασὶ διὰ τοιαύτην αἰτίαν τοῖς προιξιμένοις· ὡς πολλῶν διαφθειρομένων διὰ τὸ μὴ σκεφασθαι τὴν νεωτέρας, ἀλλὰ πρὸς τὴν τῶν κρεττόνων κομιδήν· ἔτι δὲ πρὸς σωφροσύνην συμφέρει τὰς ἐκδόσεις πρεσβυτέρας· ἀκόλαστοτέρας γὰρ εἶναι δοκοῦσι νέαις χρησάμενοι τοῖς σωφρονεστέροις· καὶ τὰς ἀρρενωποτέρας ὑπὸ σώματα βλάπτεσθαι δοκεῖ πρὸς τὴν αὔξησιν· ἐὰν ἔτι τὸ σπέρμα αὐξανόμενον πρῶιον τὸ σωφρονεῖν· καὶ διὰ τοῦτο ὠφελεῖ χρόνος· οὐ δὲ χρὴ περιμένειν πολὺν ἔτι· διὸ τὸ μὴ ἁρμόττειν τὴν ὀκτωκαίδεκα ἐτῶν ἡλικίαν συζυγνύναι· φύεται δὲ ἐπὶ πλεῖστον ἡ ἑπτὰ καὶ ἑβδομήκοντα ἔτη μικρὸν ἐνδεέστερον· ἐνδέχεται γὰρ ἀκμάζουσί τε τοῖς σώμασι συζυγῆναι· καὶ πρὸς τὴν παῦλαν φιλοτεκνοποιΐας, συγκαταβαίνεσθαι τοῖς χρόνοις εὐκαίρως· ἔτι δὲ ἡδιαδοχὴν τέκνων, τοῖς μὲν ἀρχομένοις ἐσομένη τῆς ἀκμῆς· ἐὰν γένηται καταλλήλως ἡ γένεσις· τοῖς δὲ, ἡδὺ καταλελειμμένης ἡλικίας πρὸς τὴν τῶν ἑβδομήκοντα ἐτῶν ἀριθμόν· περὶ μὲν οὖν τοῦ πότε δεῖ προιέναι τὸν σύζυξιν εἴρηται τοῖς περὶ τὸν ὥραν χρόνοις, ὡσοί τε πολλοὶ χρῶνται καλῶς καὶ μὴ δοκοῦσιν, χειμῶνος τὸν σωφρονιστὴν προιέναι ταύτην· δεῖ δὴ καὶ αὐτοὺς ἤδη θεωρεῖν πρὸς τὴν τεκνοποιΐαν, τό, τε τῶν ἰσχνῶν λεγόμενον, καὶ τὸ τῶν φυσικόν· οἵτινες ἰσχνοὶ τὰς καιρὰς τῶν σωμάτων ἱκανῶς λέγουσι· καὶ περὶ τὸ πνεῦμα τῶν φυσικοὶ, τὰ βόρεια τῶν νοτίων ἐπαινοῦντες μᾶλλον· τοιοῦτον δέ τινων τῶν σωμάτων ὑπερχόντων, μάλιστα ὄφελος εἴη τοῖς γεννωμένοις, ὥστ' ἴσασι μὴ μᾶλλον λεκτέον ἐν τοῖς περὶ τὰς δυνάμεις· τὸ δὲ ἱκανὸν εἰπεῖν καὶ νῦν· οὔτε γὰρ ἡττῶν ἀθλητῇ χρήσιμος ἕξις πρὸς πολιτικὴν εὐεξίαν· ὅτι πρὸς ὑγίειαν· καὶ τεκνοποιΐαν· οὔτε ἠθέρα πνευτικὴν, καὶ κακοσπονητικὴν λίαν

Oraculũ Troẽ nijs datum

foemina annos 18. nubere debe mir autẽ. 37

Tempus hiemal aptum ad nup tias

Ventus boreas aptior nuptijs quã notus

∴ ſ. νῦν

σωαυλίαν
nuptias

∴ π. γεννωμένα



ἀλλ' ἡ μέση τούτων. πεπονημένην μὲν οὖν ἔχειν δεῖ τὴν ἕξιν, πεπονημένην δὲ πόνοις μὴ βιαίοις, μηδὲ πρὸς ἕνα μόνον, ὥσπερ ἡ τῶν ἀθλητῶν ἕξις, ἀλλὰ πρὸς τὰς τῶν ἐλευθερίων πράξεις. ὁμοίως δὲ δεῖ ταῦτα ὑπάρχειν ἀνδράσι καὶ γυναιξί. χρὴ δὲ καὶ τὰς ἐγκύους ἐπιμελεῖσθαι τῶν σωμάτων, μὴ ῥᾳθυμούσας, μηδ' ἀραιᾷ τροφῇ χρωμένας. τοῦτο δὲ ῥᾴδιον τῷ νομοθέτῃ ποιῆσαι, προστάξαντι καθ' ἡμέραν τινὰ ποιεῖσθαι πορείαν πρὸς θεῶν ἀποθεραπείαν, τῶν εἰληχότων τὴν περὶ τῆς γενέσεως τιμήν. τὴν μέντοι διάνοιαν τοὐναντίον τῶν σωμάτων ῥᾳθυμοτέρως ἁρμόττει διάγειν. ἀπολαύοντα γὰρ φαίνεται τὰ γινόμενα τῆς ἐχούσης, ὥσπερ καὶ τὰ φυόμενα τῆς γῆς. περὶ δὲ ἀποθέσεως καὶ τροφῆς τῶν γινομένων ἔστω νόμος μηδὲν πεπηρωμένον τρέφειν. διὰ δὲ πλῆθος τέκνων, ἐὰν ἡ τάξις τῶν ἐθῶν κωλύῃ, μηδὲν ἀποτίθεσθαι τῶν γινομένων. ὡρίσθαι γὰρ δεῖ τῆς τεκνοποιίας τὸ πλῆθος. ἐὰν δέ τισι γίνηται παρὰ ταῦτα συνδυασθέντων, πρὶν αἴσθησιν ἐγγενέσθαι καὶ ζωὴν, ἐμποιεῖσθαι δεῖ τὴν ἄμβλωσιν. τὸ γὰρ ὅσιον καὶ τὸ μὴ διωρισμένον τῇ αἰσθήσει καὶ τῷ ζῆν ἔσται. ἐπεὶ δ' ἡ μὲν ἀρχὴ τῆς ἡλικίας ἀνδρὶ καὶ γυναικὶ διώρισται, πότε ἄρχεσθαι χρὴ τῆς συζεύξεως, καὶ πόσον χρόνον λειτουργεῖν ἁρμόττει πρὸς τεκνοποιίαν ὡρίσθω. τὰ γὰρ τῶν πρεσβυτέρων ἔκγονα, καθάπερ τὰ τῶν νεωτέρων, ἀτελῆ γίνεται καὶ τοῖς σώμασι καὶ ταῖς διανοίαις. τὰ δὲ τῶν γεγηρακότων ἀσθενῆ. διὸ κατὰ τὴν τῆς διανοίας ἀκμήν· αὕτη δ' ἐστὶν ἐν τοῖς πλείστοις, ὥσπερ τῶν ποιητῶν τινες εἰρήκασιν οἱ μετροῦντες ταῖς ἑβδομάσι τὴν ἡλικίαν, περὶ τὸν χρόνον τὸν τῶν πεντήκοντα ἐτῶν, ὥστε τέτταρσιν ἢ πέντε ἔτεσιν ὑπερβαλοῦσαν τὴν ἡλικίαν ταύτην, ἀφεῖσθαι δεῖ τῆς εἰς τὸ φανερὸν γεννήσεως. τὸ δὲ λοιπὸν ὑγιείας χάριν, ἤ τινος ἄλλης τοιαύτης αἰτίας, φαίνεσθαι δεῖ ποιουμένους τὴν ὁμιλίαν. περὶ δὲ τῆς πρὸς ἄλλην ἢ πρὸς ἄλλον, ἔστω μὲν ἁπλῶς μὴ καλὸν ἁπτόμενον φαίνεσθαι μηδαμῇ μηδαμῶς, ὅταν ᾖ καὶ προσαγορευθῇ πόσις. περὶ δὲ τὸν χρόνον τὸν τῆς τεκνοποιίας, ἐάν τις φαίνηται τοιοῦτόν τι δρῶν, ἀτιμίᾳ ζημιούσθω πρεπούσῃ πρὸς τὴν ἁμαρτίαν. γενομένων δὲ

De numero subolis

Quinquagesimo anno uigere animu maxime

Adulteriu in utroque sexu puniendu esse.



Verba haec non uertit Leonar.

δὲ τῶν τέκνων, οἴεσθαι μεγάλην εἶναι διαφορὰν πρὸς τὴν τῶν σωμάτων δύναμιν τὴν τροφὴν ὁποία τις ἂν ᾖ. φαίνεται δὲ διά τε τῶν ἄλλων ζῴων ἐπισκοποῦσι καὶ διὰ τῶν ἐθνῶν, οἷς ἐπιμελές ἐστιν ἀεὶ τὴν πολεμικὴν ἕξιν, ἡ τοῦ γάλακτος πλήθουσα τροφὴ μάλιστα οἰκεία τοῖς σώμασιν, ἀοινοτέρα δὲ διὰ τὰ νοσήματα. ἔτι δὲ καὶ κινήσεις ὅσας ἐνδέχεται ποιεῖσθαι τηλικούτων συμφέρει. πρὸς δὲ τὸ μὴ διαστρέφεσθαι τὰ μέλη δι' ἁπαλότητα, χρῶνται καὶ νῦν ἔνια τῶν ἐθνῶν ὀργάνοις τισὶ μηχανικοῖς, ἃ τὸ σῶμα ποιεῖ τῶν τοιούτων ἀστραβές. συμφέρει δ' εὐθὺς καὶ πρὸς τὰ ψύχη συνεθίζειν ἐκ μικρῶν παίδων. τοῦτο γὰρ καὶ πρὸς ὑγίειαν καὶ πρὸς πολεμικὰς πράξεις εὐχρηστότατον. διὸ παρὰ πολλοῖς ἐστι τῶν βαρβάρων ἔθος, τοῖς μὲν εἰς ποταμὸν ἀποβάπτειν τὰ γινόμενα ψυχρόν, τοῖς δὲ σκέπασμα μικρὸν ἀμπισχεῖν, οἷον Κελτοῖς. πάντα γὰρ ὅσα δυνατὸν ἐθίζειν, εὐθὺς ἀρχομένων βέλτιον μὲν ἐθίζειν, ἐκ προσαγωγῆς δ' ἐθίζειν. εὐφυὴς δ' ἡ τῶν παίδων ἕξις διὰ θερμότητα πρὸς τὴν τῶν ψυχρῶν ἄσκησιν. περὶ μὲν οὖν τὴν πρώτην συμφέρει ποιεῖσθαι τὴν ἐπιμέλειαν τοιαύτην τε καὶ τὴν ταύτῃ παραπλησίαν. τὴν δ' ἐχομένην ταύτης ἡλικίαν μέχρι πέντε ἐτῶν, ἣν οὔτε πω πρὸς μάθησιν καλὸν ἔχει προσάγειν οὐδεμίαν, οὔτε πρὸς ἀναγκαίους πόνους, ὅπως μὴ τὴν αὔξησιν ἐμποδίζωσι, δεῖ δὲ τοσαύτης τυγχάνειν κινήσεως, ὥστε διαφεύγειν τὴν ἀργίαν τῶν σωμάτων, ἣν χρὴ παρασκευάζειν καὶ δι' ἄλλων πράξεων καὶ διὰ τῆς παιδιᾶς. δεῖ δὲ καὶ τὰς παιδιὰς εἶναι μήτ' ἀνελευθέρους, μήτ' ἐπιπόνους, μήτ' ἀνειμένας. καὶ περὶ λόγων δὲ καὶ μύθων, ποίους τινὰς ἀκούειν δεῖ τοὺς τηλικούτους, ἐπιμελὲς ἔστω τοῖς ἄρχουσιν οὓς καλοῦσι παιδονόμους. πάντα γὰρ δεῖ τὰ τοιαῦτα προοδοποιεῖν πρὸς τὰς ὕστερον διατριβάς. διὸ τὰς παιδιὰς εἶναι δεῖ τὰς πολλὰς μιμήσεις τῶν ὕστερον σπουδαζομένων. τὰς δὲ διατάσεις τῶν παίδων καὶ κλαυθμοὺς οὐκ ὀρθῶς ἀπαγορεύουσιν οἱ κωλύοντες ἐν τοῖς νόμοις. συμφέρουσι γὰρ πρὸς αὔξησιν. γίνεται γὰρ τρόπον τινὰ γυμνασία τοῖς σώμασιν. ἡ γὰρ τοῦ πνεύ-

Barbaris plerisque infantes frigidis fluminibus immergere morem esse.

Gallis cur ueste breues

παιδονόμους. pedagogos

Exercitamenta & lusus puerorum praeludia futurorum studiorum

διατάσεις contentiones. ut luctam & rixas alias in quibus spiritus cohibetur.

Cur galli uestes breues gerant pulchru documentum.

No recte inhiberi ploratus & rixas in pueris

μαρὸς κάθεξις περὶ τὴν ἰσχὺν τοῖς πονοῦσιν· ὃ συμβαίνει καὶ τοῖς
παιδίοις διατεινομένοις. ἐπισκεπτέον δὲ τοῖς παιδονόμοις,
τήν τε τούτων διαγωγήν, τήν τ' ἄλλην, καὶ ὅπως ὅτι ἥκιστα μετὰ δού-
λων ἔσται. ταύτην γὰρ τὴν ἡλικίαν, καὶ μέχρι τῶν ἑπτὰ ἐτῶν, ἀναγκαῖον
οἴκοι τὴν τροφὴν ἔχειν. εὔλογον οὖν ἀπολαύειν ἀπὸ τῶν ἀκουσμά-
των καὶ τῶν ὁραμάτων τῶν ἀνελευθέρων, καὶ τηλικούτους ὄντας.
ὅλως μὲν οὖν αἰσχρολογίαν ἐκ τῆς πόλεως, ὥσπερ ἄλλο τι δεῖ τὸν
νομοθέτην ἐξορίζειν· ἐκ τοῦ γὰρ εὐχερῶς λέγειν ὁτιοῦν τῶν αἰσχρῶν,
γίνεται καὶ τὸ ποιεῖν σύνεγγυς. μάλιστα μὲν οὖν ἐκ τῶν νέων, ὅπως
μήτε λέγωσι μήτε ἀκούωσι μηδὲν τοιοῦτον. ἐὰν δέ τις φαίνηταί
τι λέγων ἢ πράττων τῶν ἀπηγορευμένων, τὸν μὲν ἐλεύθερον, μήπω
δὲ κατακλίσεως ἠξιωμένον, ἐν τοῖς συσσιτίοις, ἀτιμίαις κο-
λάζειν καὶ πληγαῖς· τὸν δὲ πρεσβύτερον τῆς ἡλικίας ταύτης
ἀτιμίαις ἀνελευθέροις ἀνδραποδωδίας χάριν. ἐπεὶ δὲ τὸ λέγειν
τι τῶν τοιούτων ἐξορίζομεν, φανερὸν ὅτι καὶ τὸ θεωρεῖν ἢ γρα-
φὰς ἢ λόγους ἀσχήμονας. ἐπιμελὲς μὲν οὖν ἔστω τοῖς ἄρχουσι
μηθὲν, μήτε ἄγαλμα, μήτε γραφὴν εἶναι τοιούτων πράξεων
μίμησιν, εἰ μὴ παρά τισι θεοῖς τοιούτοις, οἷς καὶ τὸν τωθασμὸν
ἀποδίδωσιν ὁ νόμος· πρὸς δὲ τούτοις ἀφίησιν ὁ νόμος. ἔτι ὑπὲρ αὑτῶν
καὶ τέκνων καὶ γυναικῶν τιμαλφεῖν τοὺς θεούς. τοὺς δὲ νεωτέρους,
οὔτ' ἰάμβων, οὔτε κωμῳδίας θεατὰς νομοθετητέον, πρὶν ἢ τὴν ἡλι-
κίαν λάβωσιν, ἐν ᾗ καὶ κατακλίσεως ὑπάρξει κοινωνεῖν ἤδη
καὶ μέθης, καὶ τῆς ἀπὸ τῶν τοιούτων γινομένης βλάβης ἀπαθεῖς ἡ
παιδεία ποιήσει πάντας. νῦν μὲν οὖν τοῦτον ἐν παραδρο-
μῇ πεποιήμεθα τὸν λόγον· ὕστερον δ' ἐπιστήσαντας δεῖ διορίσαι
μᾶλλον, εἴτε μὴ δεῖ πρῶτον, εἴτε δεῖ διαπορήσαντας, καὶ πῶς
δεῖ. κατὰ δὲ τὸν παρόντα καιρὸν ἐμνήσθημεν ὡς ἀναγκαίου.
ἴσως γὰρ οὐ κακῶς ἔλεγε τὸ τοιοῦτον Θεόδωρος ὁ τῆς τραγῳδίας ὑ-
ποκριτής· οὐθενὶ γὰρ πώποτε παρῆκεν ἑαυτοῦ προεισάγειν, οὐδὲ τῶν
εὐτελῶν ὑποκριτῶν, ὡς οἰκειουμένων τῶν θεατῶν ταῖς πρώταις

ἀκοαῖς

*[Marginal notes, left:]* turpibus uerbis proueniunt turpia opera — Plagis uerberádos esse pueros ob turpia opera — Neq: dicere oportet turpia neq: inspicere aut audire — τωθασμὸν Lasciuiam Leonar. Lege Hesy. — τιμαλφεῖν Sacra facere. Leonar. — Theodor? — Pulcherrimu Theodori histrionis omnia prima placere magis — προάγειν ante se agere. Leo



ἀκοαῖς· συμβαίνει δὲ ταὐτὸ τοῦτο, καὶ πρὸς τὰς τῶν ἀνθρώ-
πων ὁμιλίας, καὶ πρὸς τὰς τῶν πραγμάτων· πάντα γὰρ στέρ-
γομεν τὰ πρῶτα μᾶλλον. διὸ δεῖ τοῖς νέοις πάντα ποιεῖν ξένα
τὰ φαῦλα, μάλιστα δ' αὐτῶν ὅσα ἔχει ἢ μοχθηρίαν, ἢ δυσμένειαν.
διελθόντων δὲ τῶν πέντε ἐτῶν, τὰ δύο μέχρι τῶν ἑπτὰ δεῖ θεω-
ροὺς ἤδη γίνεσθαι τῶν μαθήσεων ἃς δεήσει μανθάνειν αὐτούς.
δύο δ' εἰσὶν ἡλικίαι, πρὸς ἃς ἀναγκαῖον διῃρῆσθαι τὴν παιδείαν
μετὰ τὴν ἀπὸ τῶν ἑπτὰ μέχρι ἥβης, καὶ πάλιν μετὰ τὴν ἀφ' ἥβης
μέχρι τῶν ἑνὸς καὶ εἴκοσιν ἐτῶν. οἱ γὰρ ταῖς ἑβδομάσι διαιροῦντες τὰς
ἡλικίας, ὡς ἐπὶ τὸ πολὺ λέγουσιν οὐ καλῶς. δεῖ δὲ τῇ διαι-
ρέσει τῆς φύσεως ἐπακολουθεῖν· πᾶσα γὰρ τέχνη καὶ παιδεία
τὸ προσλεῖπον βούλεται τῆς φύσεως ἀναπληροῦν. πρῶ-
τον μὲν οὖν σκεπτέον εἰ ποιητέον τάξιν τινὰ περὶ
τοὺς παῖδας· ἔπειτα πότερον συμφέρει
κοινῇ ποιεῖσθαι τὴν ἐπιμέλειαν αὐτῶν, ἢ κα-
τ' ἴδιον τρόπον· ὃ γίνεται καὶ νῦν ἐν
ταῖς πλείσταις τῶν πόλεων. τρί-
τον δὲ, ποίαν τινὰ
δεῖ ταύτην.

ΤΕΛΟΣ ΤΟΥ Η.

*[Marginal notes, right:]* ποιεῖν ξένα i. remouere ablegare. — Omnia prima magis amari. — ποιεῖν ξένα — A septimo anno oportet spectari disciplinas quibus datur operam puerum — Omnis ars & disciplina suppli re uult defectu naturae

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΟΛΙΤΙΚΩΝ, ΤΟ Θ'.

## Η'

Τι μὲν οὖν τῶν νομοθετῶν μάλιστα προσήκει τὸν τέκτονα περὶ τῶν νέων παιδείαν, ὃ δεῖς ἂν ἀμφισβητήσειε· καὶ γὰρ ἐν ταῖς πόλεσιν ὑπάρχει μὴ τοῦτο βάπτειν τὰς πολιτείας· δεῖ δὲ πρὸς ἑκάστην πολιτεύεσθαι· τὸ γὰρ ἦθος ἑκάστης πολιτείας ἐποίησε τὸ οἰκεῖον καὶ φυλάττειν εἴωθε τὴν πολιτείαν· καὶ καθίστησιν ἐξαρχῆς· οἷον, τὸ μὲν δημοκρατικὸν, δημοκρατίαν· τὸ δὲ ὀλιγαρχικὸν, ὀλιγαρχίαν· καὶ ἀεὶ ὃ τὸ βέλτιον ἦθος βελτίονος αἴτιον πολιτείας ἔτι δὲ πρὸς ταῦτα δυνάμενος καὶ τέχνας, ὅσην ἃ δεῖ προσήκειν δύνασθαι ἢ προεθίζεσθαι, πρὸς τὰ ἑκάστων ὑπάρχουσας· ὥστε δῆλον ὅτι καὶ πρὸς τὴν ἀρετῆς πρᾶξιν ἐπεὶ δ' ὡς τὸ τέλος τῆς πόλεως πάσης φανερὸν ὅτι καὶ τὴν παιδείαν μίαν καὶ τὴν αὐτὴν ἀναγκαῖον εἶναι πάντων· καὶ ταύτης τὴν ἐπιμέλειαν εἶναι κοινὴν καὶ μὴ κατ' ἰδίαν, ὃν τρόπον νῦν ἕκαστος ἐπιμελεῖται τῶν αὑτοῦ τέκνων· ἰδίαν τε καὶ μάθησιν ἰδίαν ἰδίων ἀνδρῶν ἡδυπάθειαν· δεῖ δὲ τοῖς κοινοῖς κοινὴν πρέπειν καὶ τὴν ἄσκησιν· ἅμα δὲ καὶ οὐδὲν χρὴ νομίζειν αὐτὸν αὑτοῦ τινα εἶναι τῶν πολιτῶν· ἁπάντων γὰρ τῆς πόλεως· μορίῳ γὰρ ἕκαστος τῆς πόλεως· ἡ δὲ τοῦ μέλους ἐπιμέλεια πέφυκε ἑκάστου μορίου βλέπειν πρὸς τὸ ὅλον· ἐπαινέσειε δ' ἂν τις καὶ τὸ τῶν λακεδαιμονίων· ἐν οἷς πολλὴν πρὶ ἴσην ποιοῦνται σπουδὴν περὶ τοὺς παῖδας· καὶ κοινὴν ταύτην· ὅτι μὲν οὖν νομοθετητέον περὶ παιδείας καὶ ταύτην κοινὴν ποιητέον, φανερόν·

τίς

*Votandú*

*acedæmoniorú cura & diligentia circa filios laudatur.*



τίς δ' ἔστιν ἡ τοιαύτη παιδεία· καὶ πῶς ἔχει τοιαῦτα δύνασθαι, δεῖ μὴ λανθάνειν· νῦν γὰρ ἀμφισβητεῖται περὶ τὸ ἔργον· ὁ μὲν γὰρ τοὺς πάντας ὑπολαμβάνουσι δεῖν μανθάνειν τοὺς νέους· οὔτε πρὸς ἀρετὴν, ὅτε πρὸς τὸν βίον τὸν ἄριστον· ὁδὲ φανερὸν πότερον πρὸς τὴν διάνοιαν πρέπει μᾶλλον, ἢ πρὸς τὸ ψυχῆς ἦθος· ἐκτείνει δὲ μᾶλλον παιδεία, παραχώρησις ἢ σκέψις· νῦν δῆλον ὁδέν· πότερον ἀσκεῖν δεῖ τὰ χρήσιμα πρὸς τὸν βίον, ἢ τὰ τείνοντα πρὸς ἀρετὴν ἢ τὰ περιττὰ πάντα δ' εἴληφε ταῦτα κείμενά τινας· περὶ τε τὴν πρὸς ἀρετὴν, ὁθ' ὁμολογοῦμεν· εἰ γὰρ τὴν ἀρετὴν ὑπὲρ τὴν αὐτὴν διάθεσιν πάντες τιμῶσιν· ὥστ' ὠλόγως διαφέρουσι πρὸς τὴν ἄσκησιν αὐτῶν· ὅτι μὲν δὴ τὰ ἀναγκαῖα δεῖ διδάσκεσθαι τῶν χρησίμων, δῆλον· ὅτι δ' οὐ πάντα δητέον τῶν ἐλευθέρων ἔργων ἡμῖν ἀνελευθέρων, φανερὸν, ὅτι δὲ τοιούτων δεῖ μετέχειν ὅσα τῶν χρησίμων ποιήσει τὸν μετέχοντα μὴ βάναυσον· βάναυσον δ' ἔστιν εἶναι τοῦτο νομίζειν, καὶ τέχνην ταύτην καὶ μάθησιν, ὅσαι πρὸς τὰς χρήσεις καὶ τὰς πράξεις τὰς τῆς ἀρετῆς ἄχρηστον ἀπεργάζονται τὸ σῶμα τῶν ἐλευθέρων· ἢ τὴν ψυχὴν ἢ τὴν διάνοιαν· διὸ τὰς τοιαύτας τέχνας ὅσαι τὸ σῶμα παρασκευάζουσι χεῖρον διακεῖσθαι βαναύσους καλοῦμεν· καὶ τοὺς μισθαρνικοὺς ἐργασίας· ἄσχολον γὰρ ποιοῦσι τὴν διάνοιαν, καὶ ταπεινήν· ὅσαι δὲ καὶ τῶν ἐλευθερίων ἐπιστημῶν μέχρι μόνου τινὸς ἐπιτήδειος μετέχειν, οὐκ ἀνελεύθερον· ὁ δὲ αὐτὸ τοῦτο πρᾶττων ἅπαντας, πολλάκις θητικὸν καὶ δουλικὸν δόξειεν ἂν πράττειν· καὶ μὴν οὐδὲν καταβεβλημέναι μοι μαθήσεις καθάπερ ἐλέχθη πρότερον, ἐπὶ μὲν φορτείζουσιν εἰσὶ δὲ τέτταρα χρήσιμα ἃ παιδεύειν εἰώθασι· γράμματα· καὶ γυμναστικὴν· καὶ μουσικὴν· καὶ τέταρτον ἔνιοι γραφικὴν· τὴν μὲν γραμματικὴν καὶ γραφικὴν, ὡς χρησίμους πρὸς τὸν βίον ὄντας καὶ πολυχρήστους· τὴν δὲ γυμναστικὴν, ὡς συντείνουσαν πρὸς ἀνδρίαν· τὴν δὲ μουσικὴν ἠδυπαθήσειν ἄν τις· νῦν μὲν γὰρ ὡς ἡδονῆς χάριν·

*Quattuor esse quib in ciuitate pueri institui solent*

*Litteras*
*Gymnasticé*
*Musicé*
*Pingendi arte*

οἱ σχολῆσοι μετέχουσιν αὐτῆς· οἰσθ' ἐξ ἀρχῆς ἐταξαμὴν παιδείαν,
διὰ τὸ τὴν φύσιν αὐτὴν τὴν ζητεῖν ὀρθῶς, ἃ μὴ μόνον ἀσχολεῖν ὀρθῶς ἀλλὰ καὶ σχολάζειν δύναται καλῶς· αὕτη γὰρ ἀρχὴ πάντων· ἵνα δὲ πάλιν εἴπω μνησθεὶς αὐτῆς· εἰ γὰρ ἀμφοῖν δεῖ, μᾶλλον ἂν αἱρεῖτο τὸ σχολάζειν· ὁ γὰρ δὴ παίζοντες· τέλος γὰρ ἀναγκαῖον εἶναι τοῖς τὴν παιδείαν ἡμῖν· εἰ δὲ τὸ ἀδύνατον, μὴ μᾶλλον ἐν τῇ ἀσχολίαις χρήσιμον τὸ παιδικαῖς· ὁ γὰρ πονῶν, δεῖ παῦλαν ἀναπαύσεως· ἡ δὲ παιδεία χάριν ἀναπαύσεως ἐστί· τὸ δ' ἀσχολεῖν, συμβαίνει μετὰ πόνου σωτηρίου· διὰ τοῦτο δεῖ παιδεύειν διὰς εἰσάγωσιν, καὶ προφυλακτέον τὴν χρῆσιν· ὡς προσαγορεύομεν φησὶ μακεδόνες χάριν· ἄνεσις γὰρ ἐστὶν ἀναπαύσεως κίνησις ψυχῆς· ἡδονὴ ἀναπαυσις· τὸ δὲ σχολάζειν ἔχειν αὐτὸ δοκεῖ τὴν ἡδονὴν μὴ τὴν εὐδαιμονίαν μὴ τὸ ζῆν μακαρίως· τοῦτο δ' οὐτοῖς ἀσχολοῦσιν ὑπάρχει, ἀλλὰ τοῖς σχολάζουσιν· ὁ μὲν γὰρ ἀσχολῶν· ἕνεκά τινος ἀσχολεῖ τέλους, ὡς ἐν χρήματος ἡ εὐδαιμονία τέλος ἐστίν· ὃ μετὰ λύπης ἀλλὰ μεθ' ἡδονῆς οἴονται πάντες εἶναι· ταύτην μέντοι τὴν ἡδονὴν, οὐκέτι τὴν αὐτὴν τιθέασιν, ἀλλὰ καθ' ἕαυτὸν ἕκαστος· καὶ τὴν ἕξιν τὴν αὐτῶν· ὁ μὲν ἄριστος τὴν ἀρίστην, καὶ τὴν ἀπὸ τῶν καλλίστων· ὥστε φανερὸν ὅτι δεῖ, μὴ πρὸς τὴν ἐν τῇ διαγωγῇ σχολὴν μανθάνειν ἅπαντα καὶ παιδεύεσθαι· μὴ ταῦτα μὲν τὰ παιδεύματα καὶ ταύτας τὰς μαθήσεις ἑαυτῷ εἶναι χάριν· τὰς δὲ πρὸς τὴν ἀσχολίαν ὡς ἀναγκαίας μὴ χάριν ἄλλων· διὸ μὴ τὴν μουσικὴν οἱ πρότερον εἰς παιδείαν ἔταξαν, ὡς οὖσαν ἀναγκαῖον· οὐδὲν γὰρ ἔχει τοιοῦτον· οὐδ' ὡς χρήσιμον ὥσπερ τὰ γράμματα πρὸς χρηματισμὸν καὶ πρὸς οἰκονομίαν καὶ πρὸς μάθησιν καὶ πρὸς πολιτικὰς πράξεις πολλάς· δοκεῖ δ' ἡ γραφικὴ χρήσιμος εἶναι πρὸς τὸ κρίνειν τὰ τῶν τεχνιτῶν ἔργα κάλλιον· οὐδ' ἂν καθάπερ ἡ γυμναστικὴ πρὸς ὑγίειαν καὶ ἀνδρίαν· ἀλλὰ μὴν οὐδὲ πρὸς τὴν ἐν τῇ σχολῇ διαγωγήν, εἰς ὅπερ καὶ φαίνονταί τινες παράγοντες αὐτὴν· ἀλλὰ

ἡ πονῶν δεῖται τῆς ἀναπαύσεως



λὰ γὰρ οἷόν τε διαγωγὴν εἶναι τὴν ἐλευθέρων, ἐν ταύτῃ παρεμπίπτουσι δύο ὥσπερ ὅμηρος ὅτως ἐποίησεν· ἀλλ' οἷον μὲν δεῖ καλεῖν ταῦτα καλεῖν· ἢ ὅτω προειπὼν ἑτέρους τιμᾶς· οἱ καλέουσιν ἀοιδὸν φασιν, ὃ κηρύττουσιν ἅπαντας· καὶ ἐν ἄλλοις δέ φησιν ὁδυσσεὺς ταύτην ἀρίστην εἶναι διαγωγήν· ὅταν μὲν φρασμοσύνῃ μιμῶνται τὰ ἀμῶν, δεῖ τυμόνες δ' ἀναδιδάσκωσι τοὺς ἀοιδοῦ· ἢ μὲν ἐξείης· ὅτι μὲν τοίνυν δεῖ παιδείας τινὰς, ὡς χρησίμου χρησίμου πρὸς αὐτὸν ῥυσιν εἶσι δ' ὡς ἀναγκαῖον, ἀλλ' ὡς ἐλευθέριον καὶ καλὸν, φανερὸν δεῖ· πότερον δὲ μία τὸν ἀριθμὸν ἢ πλείους· καὶ τίνες αὗται· καὶ πῶς, ὕστερον λεκτέον πρὸς αὐτό· νῦν δὲ τοσοῦτον ἡμῖν εἶναι πρὸ ὁδοῦ γέγραπται, ὅτι ἡ παρὰ τῶν ἀρχαίων ἐγκρίνεται μουσικὴ καὶ παραβεβλημένων παιδευμάτων· ἡ δὲ μουσικὴ τοῦτο φανερόν· ἔτι δὲ ἡ τὰ χρησίμων ὅτι δεῖ τινα παιδεύεσθαι τοσοῦτον παῖδας· οὐ μόνον διὰ τὸ χρήσιμον, οἷον, τὴν τῶν γραμμάτων μάθησιν, ἀλλὰ καὶ διὰ τὸ πολλὰς ἐν δέχεσθαι τὰ παιδεύεσθαι δ' αὐτὰ μαθήσεις ἑτέρας· ὁμοίως δὲ καὶ τὴν γραφικὴν, ἵνα μὴ ἐν τοῖς ἰδίοις ὠνίοις μὴ διαμαρτύρωσιν· ἀλλ' ὥσπερ αἰγυπτίοις καὶ τοῖς σκευῶν ὠνητικὴν πρᾶσιν· ἢ μᾶλλον ὅτι περὶ θεωρητικὴν τοῦ περὶ τὰ σώματα κάλλος· τὸ δὲ ζητεῖν παντὶ χρήσιμον· ἥκιστα ἐλευθερίου τοῖς μεγαλοψύχοις καὶ τοῖς ἐλευθέροις ἐπεὶ δὲ φανερὸν πότερον τοῖς ἔθεσιν ἢ τῷ λόγῳ παιδευτέον εἶναι· καὶ περὶ τὸ σῶμα πρότερον ἢ τὴν διάνοιαν δῆλον ἐκ τούτων, ὅτι παραδοτέον τοὺς παῖδας γυμναστικῇ· καὶ παιδοτριβικῇ· τούτων γὰρ, ἡ μὲν, ποιάν τινα ποιεῖ τὴν ἕξιν τοῦ σώματος· ἡ δὲ, τὰ ἔργα· νῦν μὲν οὖν αἱ μάλιστα δοκοῦσαι τῶν πόλεων εἶναι μελέτης τῶν παίδων, αἱ μὲν, ἀθλητικὴν ἕξιν ἐμποιοῦσι· λωβῶμεναι τὰ εἴδη καὶ τὴν αὔξησιν τοῦ σώματος· οἱ δὲ λάκωνες ταύτην μὲν οὐχ ἥμαρτον τὴν ἁμαρτίαν· θηριώδεις δ' ἀποτελοῦσι τοὺς πόνους· ὡς τοῦτο πρὸς ἀνδρείαν μάλιστα συμφέρον· καὶ περὶ μὲν καθάπερ εἴρηται πολλάκις, οὔτε πρὸς μίαν,

Homer?
Homer?
Homer?

Nó debét sectari
in omnib) utilita
té magnanimi l
liberi

Lacones - effero
plabores facium
filios

οὔτε πρὸς μάλιστα ταύτην βλέπειν τῇ ποιητέον τὴν ἐπιμέλειαν. ἔτι καὶ πρὸς ταύτην οὐδὲ τοῦτο ἐξευρίσκουσιν· οὔτε γὰρ ἐν τοῖς ἄλλοις ζῴοις, οὔτ' ἐπὶ τῶν ἐθνῶν ὁρῶμεν τὴν ἀνδρίαν ἀκολουθοῦσαν τοῖς ἀγριωτάτοις, ἀλλὰ μᾶλλον τοῖς ἡμερωτέροις καὶ λεοντώδεσιν ἤθεσι. πολλὰ δ' ἐστὶ τῶν ἐθνῶν ἃ πρὸς τὸ κτείνειν καὶ πρὸς τὴν ἀνθρωποφαγίαν εὐχερῶς ἔχει, καθάπερ τῶν περὶ τὸν πόντον Ἀχαιοί τε καὶ Ἡνίοχοι, καὶ τῶν ἠπειρωτικῶν ἐθνῶν ἕτερα, τὰ μὲν ὁμοίως τούτοις, τὰ δὲ μᾶλλον, ἃ λῃστρικὰ μέν ἐστιν, ἀνδρίας δ' οὐ μετειλήφασιν. ἔτι δ' αὐτοὺς τοὺς Λάκωνας ἴσμεν, ἕως μὲν αὐτοὶ προσήδρευον ταῖς φιλοπονίαις, ὑπερέχοντας τῶν ἄλλων, νῦν δὲ καὶ τοῖς γυμνασίοις καὶ τοῖς πολεμικοῖς ἀγῶσι λειπομένους ἑτέρων· οὐ γὰρ τῷ τοὺς νέους γυμνάζειν τὸν τρόπον τοῦτον διέφερον, ἀλλὰ τῷ μόνον μὴ πρὸς ἀσκοῦντας ἀσκεῖν. ὥστε τὸ καλὸν, ἀλλ' οὐ τὸ θηριῶδες δεῖ πρωταγωνιστεῖν· οὐ γὰρ λύκος οὐδὲ τῶν ἄλλων θηρίων ἀγωνίσαιτο ἂν οὐθένα καλὸν κίνδυνον, ἀλλὰ μᾶλλον ἀνὴρ ἀγαθός. οἱ δὲ λίαν εἰς ταῦτα ἀνέντες τοὺς παῖδας, καὶ τῶν ἀναγκαίων ἀπαιδαγωγήτους ποιήσαντες, βαναύσους κατεργάζονται κατά γε τὸ ἀληθές, πρὸς ἕν τε μόνον ἔργον τῇ πολιτικῇ χρησίμους ποιήσαντες, καὶ πρὸς τοῦτο χεῖρον, ὥς φησιν ὁ λόγος, ἑτέρων. δεῖ δὲ, οὐκ ἐκ τῶν προτέρων ἔργων κρίνειν, ἀλλ' ἐκ τῶν νῦν· ἀνταγωνιστὰς γὰρ τῆς παιδείας νῦν ἔχουσι, πρότερον δ' οὐκ εἶχον. ὅτι μὲν οὖν χρηστέον τῇ γυμναστικῇ, καὶ πῶς χρηστέον, ὁμολογούμενόν ἐστι. μέχρι μὲν γὰρ ἥβης κουφότερα γυμνάσια προσοιστέον, τὴν βίαιον τροφὴν, καὶ τοὺς πρὸς ἀνάγκην πόνους ἀπείργοντας, ἵνα μηθὲν ἐμπόδιον ᾖ πρὸς τὴν αὔξησιν· σημεῖον γὰρ οὐ μικρὸν ὅτι δύνανται τοῦτο παρασκευάζειν· ἐν γὰρ τοῖς ὀλυμπιονίκαις δύο τις ἂν ἢ τρεῖς εὕροι τοὺς αὐτοὺς νενικηκότας ἄνδρας τε καὶ παῖδας, διὰ τὸ νέους ἀσκοῦντας ἀφαιρεῖσθαι τὴν δύναμιν ὑπὸ τῶν ἀναγκαίων γυμνασίων. ὅταν δ' ἀφ' ἥβης ἔτη τρία πρὸς τοῖς ἄλλοις μαθήμασι

γένωνται.

*Achaei*
*Heniochi*
*πρωταγωνιστεῖν*
*Nota pro illo Quintiliani. Milo quem vitulum assueuerat ferre taurum ferebat*



γένωνται, τότε ἁρμόττει καὶ τοῖς πόνοις καὶ ταῖς ἀναγκοφαγίαις καταλαμβάνειν τὴν ἐχομένην ἡλικίαν· ἅμα γὰρ τῇ τε διανοίᾳ καὶ τῷ σώματι διαπονεῖν οὐ δεῖ· τοὐναντίον γὰρ ἑκάτερος ἀπεργάζεσθαι πέφυκε τῶν πόνων, ἐμποδίζων ὁ μὲν τοῦ σώματος πόνος τὴν διάνοιαν, ὁ δὲ ταύτης τὸ σῶμα. Περὶ δὲ μουσικῆς ἔνια μὲν διηπορήσαμεν τῷ λόγῳ καὶ πρότερον, καλῶς δ' ἔχει καὶ νῦν ἀναλαβόντας αὐτὰ προαγαγεῖν, ἵνα ὥσπερ ἐνδόσιμον γένηται τοῖς λόγοις οὓς ἄν τις εἴπειεν ἀποφαινόμενος περὶ αὐτῆς. οὔτε γὰρ τίνα ἔχει δύναμιν ῥᾴδιον περὶ αὐτῆς διελεῖν, οὔτε τίνος δεῖ χάριν μετέχειν αὐτῆς, πότερον παιδιᾶς ἕνεκα καὶ ἀναπαύσεως, καθάπερ ὕπνου καὶ μέθης· ταῦτα γὰρ καθ' αὑτὰ μὲν οὔτε τῶν σπουδαίων, ἀλλ' ἡδέα, καὶ ἅμα παύει μέριμναν, ὥς φησιν Εὐριπίδης. διὸ καὶ τάττουσιν αὐτὴν, καὶ χρῶνται πᾶσι τούτοις ὁμοίως, οἴνῳ καὶ μέθῃ καὶ μουσικῇ· τιθέασι δὲ καὶ τὴν ὄρχησιν ἐν τούτοις. ἢ μᾶλλον οἰητέον πρὸς ἀρετήν τι τείνειν τὴν μουσικὴν, ὡς δυναμένην, καθάπερ ἡ γυμναστικὴ τὸ σῶμα ποιόν τι παρασκευάζει, καὶ τὴν μουσικὴν τὸ ἦθος ποιόν τι ποιεῖν, ἐθίζουσαν δύνασθαι χαίρειν ὀρθῶς· ἢ πρὸς διαγωγήν τι συμβάλλεται καὶ πρὸς φρόνησιν· καὶ γὰρ τοῦτο τρίτον θετέον τῶν εἰρημένων. ὅτι μὲν οὖν δεῖ τοὺς νέους μὴ παιδιᾶς ἕνεκα παιδεύειν, οὐκ ἄδηλον· οὐ γὰρ παίζουσι μανθάνοντες· μετὰ λύπης γὰρ ἡ μάθησις. ἀλλὰ μὴν οὐδὲ διαγωγήν τε παισὶν ἁρμόττει καὶ ταῖς ἡλικίαις ἀποδιδόναι ταῖς τοιαύταις· οὐθενὶ γὰρ ἀτελεῖ προσήκει τέλος. ἀλλ' ἴσως ἂν δόξειεν ἡ τῶν παίδων σπουδὴ παιδιᾶς εἶναι χάριν, ἀνδράσι γενομένοις καὶ τελειωθεῖσιν. ἀλλ' εἰ τοῦτ' ἐστὶ τοιοῦτον, τίνος ἂν ἕνεκα δέοι μανθάνειν αὐτοὺς, ἀλλὰ μὴ καθάπερ οἱ τῶν Περσῶν καὶ Μήδων βασιλεῖς, δι' ἄλλων αὐτὸ ποιούντων μεταλαμβάνειν τῆς ἡδονῆς καὶ τῆς μαθήσεως; καὶ γὰρ ἀναγκαῖον βέλτιον ἀπεργάζεσθαι τοὺς αὐτὸ τοῦτο πεποιημένους ἔργον καὶ τέχνην, τῶν τοσοῦτον χρόνον ἐπιμελουμένων, ὅσον πρὸς μάθησιν μόνον. εἰ δὲ δεῖ τὰ τοιαῦτα

xxxx

*De Musica*
*Euripides*
*Persarum & medorum reges*

διατρίβειν αὐτούς, καὶ περὶ τὴν τῶν ὄψων πραγματείαν αὐτοὺς ἂν δέοι παρασκευάζειν, ἀλλ᾽ ἄτοπον. τὴν δ᾽ αὐτὴν ἀπορίαν ἔχει καὶ εἰ δύναται τὰ ἤθη βελτίω ποιεῖν. ταῦτα γὰρ τί δεῖ μανθάνειν αὐτούς, ἀλλ᾽ οὐχ ἑτέρων ἀκούοντας ὀρθῶς τε χαίρειν καὶ δύνασθαι κρίνειν, ὥσπερ οἱ Λάκωνες; ἐκεῖνοι γὰρ οὐ μανθάνοντες, ὅμως δύνανται κρίνειν ὀρθῶς, ὥς φασι, τὰ χρηστὰ καὶ τὰ μὴ χρηστὰ τῶν μελῶν. ὁ δ᾽ αὐτὸς λόγος, κἂν εἰ πρὸς εὐημερίαν καὶ διαγωγὴν ἐλευθέριον χρηστέον αὐτῇ, τί δεῖ μανθάνειν αὐτούς, ἀλλ᾽ οὐχ ἑτέρων χρωμένων ἀπολαύειν; σκοπεῖν δ᾽ ἔξεστι τὴν ὑπόληψιν ἣν ἔχομεν περὶ τῶν θεῶν· οὐ γὰρ ὁ Ζεὺς αὐτὸς ἀείδει καὶ κιθαρίζει τοῖς ποιηταῖς, ἀλλὰ καὶ βαναύσους καλοῦμεν τοὺς τοιούτους καὶ τὸ πράττειν οὐκ ἀνδρὸς μὴ μεθύοντος ἢ παίζοντος. ἀλλ᾽ ἴσως περὶ μὲν τούτων ὕστερον ἐπισκεπτέον. ἡ δὲ πρώτη ζήτησίς ἐστι, πότερον οὐ θετέον εἰς παιδείαν τὴν μουσικήν, ἢ θετέον, καὶ τί δύναται τῶν διαπορηθέντων τριῶν, πότερον παιδείαν, ἢ παιδιάν, ἢ διαγωγήν. εὐλόγως δ᾽ εἰς πάντα τάττεται, καὶ φαίνεται μετέχειν. ἥ τε γὰρ παιδιὰ χάριν ἀναπαύσεώς ἐστι, τὴν δ᾽ ἀνάπαυσιν ἀναγκαῖον ἡδεῖαν εἶναι· τῆς γὰρ διὰ τῶν πόνων λύπης ἰατρεία τίς ἐστι. καὶ τὴν διαγωγὴν ὁμολογουμένως δεῖ μὴ μόνον ἔχειν τὸ καλὸν ἀλλὰ καὶ τὴν ἡδονήν· τὸ γὰρ εὐδαιμονεῖν ἐξ ἀμφοτέρων τούτων ἐστί. τὴν δὲ μουσικὴν πάντες εἶναί φαμεν τῶν ἡδίστων, καὶ ψιλὴν οὖσαν καὶ μετὰ μελῳδίας. φησὶ γοῦν καὶ Μουσαῖος εἶναι βροτοῖς ἥδιστον ἀείδειν. διὸ καὶ εἰς τὰς συνουσίας καὶ διαγωγὰς εὐλόγως παραλαμβάνουσιν αὐτήν, ὡς δυναμένην εὐφραίνειν. ὥστε καὶ ἐντεῦθεν ἄν τις ὑπολάβοι παιδεύεσθαι δεῖν αὐτὴν τοὺς νεωτέρους. ὅσα γὰρ ἀβλαβῆ τῶν ἡδέων, οὐ μόνον ἁρμόττει πρὸς τὸ τέλος ἀλλὰ καὶ πρὸς τὴν ἀνάπαυσιν. ἐπεὶ δ᾽ ἐν μὲν τῷ τέλει συμβαίνει τοῖς ἀνθρώποις ὀλιγάκις γίνεσθαι, πολλάκις δὲ ἀναπαύονται καὶ χρῶνται ταῖς παιδιαῖς, οὐχ ὅσον ἐπὶ πλέον ἀλλὰ καὶ διὰ τὴν

ἡδονὴν

*Lacones & si indo | Eti tamé discerne | re norunt ~~uera~~ | a uitiosa musicá | ab honesta*

*Musica ψιλή καί μετα μελῳδι*

*Musæus*



ἡδονὴν χρήσιμον ἂν εἴη διαναπαύειν ἐν ταῖς ἀπὸ ταύτης ἡδοναῖς. συμβέβηκε δὲ τοῖς ἀνθρώποις ποιεῖσθαι τὰς παιδιὰς τέλος. ἔχει γὰρ ἴσως ἡδονήν τινα καὶ τὸ τέλος, ἀλλ᾽ οὐ τὴν τυχοῦσαν. ζητοῦντες δὲ ταύτην, λαμβάνουσιν ὡς ταύτην ἐκείνην, διὰ τὸ τῷ τέλει τῶν πράξεων ἔχειν ὁμοίωμά τι. τό τε γὰρ τέλος, οὐθενὸς τῶν ἐσομένων χάριν αἱρετόν· καὶ αἱ τοιαῦται τῶν ἡδονῶν, οὐθενός εἰσι τῶν ἐσομένων ἕνεκεν, ἀλλὰ τῶν γεγονότων, οἷον πόνων καὶ λύπης. δι᾽ ἣν μὲν οὖν αἰτίαν ζητοῦσι τὴν εὐδαιμονίαν γίνεσθαι διὰ τούτων τῶν ἡδονῶν, ταύτην ἄν τις εἰκότως ὑπολάβοι τὴν αἰτίαν. περὶ δὲ τοῦ κοινωνεῖν τῆς μουσικῆς, οὐ διὰ ταύτην μόνην, ἀλλὰ καὶ διὰ τὸ χρήσιμον εἶναι πρὸς τὰς ἀναπαύσεις ὡς ἔοικεν. οὐ μὴν ἀλλὰ ζητητέον μήποτε τοῦτο μὲν συμβέβηκε, τιμιωτέρα δ᾽ αὐτῆς ἡ φύσις ἐστὶν ἢ κατὰ τὴν εἰρημένην χρείαν, καὶ δεῖ μὴ μόνον τῆς κοινῆς ἡδονῆς μετέχειν ἀπ᾽ αὐτῆς, ἧς ἔχουσι πάντες αἴσθησιν· ἔχει γὰρ ἡ μουσικὴ τὴν ἡδονὴν φυσικήν, διὸ πάσαις ἡλικίαις καὶ πᾶσιν ἤθεσιν ἡ χρῆσις αὐτῆς ἐστὶ προσφιλής· ἀλλ᾽ ὁρᾶν, εἴ πῃ καὶ πρὸς τὸ ἦθος συντείνει καὶ πρὸς τὴν ψυχήν. τοῦτο δ᾽ ἂν εἴη δῆλον, εἰ ποιοί τινες τὰ ἤθη γινόμεθα δι᾽ αὐτῆς. ἀλλὰ μὴν ὅτι γινόμεθα διὰ τῶν ὀλύμπου μελῶν. ταῦτα γὰρ ὁμολογουμένως ποιεῖ τὰς ψυχὰς ἐνθουσιαστικάς. ὁ δ᾽ ἐνθουσιασμὸς τοῦ περὶ τὴν ψυχὴν ἤθους, πάθος ἐστίν. ἔτι δὲ ἀκροώμενοι τῶν μιμήσεων, γίνονται πάντες συμπαθεῖς, καὶ χωρὶς τῶν ῥυθμῶν καὶ τῶν μελῶν αὐτῶν. ἐπεὶ δὲ συμβέβηκεν εἶναι τὴν μουσικὴν τῶν ἡδέων, τὴν δ᾽ ἀρετὴν περὶ τὸ χαίρειν ὀρθῶς καὶ φιλεῖν καὶ μισεῖν, δεῖ δηλονότι μανθάνειν καὶ συνεθίζεσθαι μηθὲν οὕτως, ὡς τὸ κρίνειν ὀρθῶς, καὶ τὸ χαίρειν τοῖς ἐπιεικέσιν ἤθεσι, καὶ ταῖς καλαῖς πράξεσιν. ἔστι δ᾽ ὁμοιώματα μάλιστα παρὰ τὰς ἀληθινὰς φύσεις ἐν τοῖς ῥυθμοῖς καὶ τοῖς μέλεσιν, ὀργῆς καὶ πρᾳότητος, ἔτι δ᾽ ἀνδρείας καὶ σωφροσύνης, καὶ πάντων τῶν ἐναντίων τούτοις, καὶ τῶν ἄλλων ἠ-

*Olympus music?*

*ῥυθμῶν μελῶν*

XXXX 2

ἠθικῶν. δῆλον δέ, ἐκ τῶν ἔργων· μεταβάλλομεν γὰρ τὴν ψυχὴν ἀκροώμενοι τοιούτων. ὁ δ' ἐν τοῖς ὁμοίοις ἐθισμὸς τοῦ λυπεῖσθαι καὶ χαίρειν, ἐγγύς ἐστι τῷ πρὸς τὴν ἀλήθειαν τὸν αὐτὸν ἔχειν τρόπον. οἷον, εἴ τις χαίρει τὴν εἰκόνα τινὸς θεώμενος, μὴ δι' ἄλλην αἰτίαν, ἀλλὰ διὰ τὴν μορφὴν αὐτήν, ἀναγκαῖον τούτῳ καὶ αὐτὴν ἐκείνην τὴν θεωρίαν, οὗ τὴν εἰκόνα θεωρεῖ, ἡδεῖαν εἶναι. συμβέβηκε δὲ τῶν αἰσθητῶν ἐν μὲν τοῖς ἄλλοις, μηδὲν ὑπάρχειν ὁμοίωμα τοῖς ἤθεσιν, οἷον ἐν τοῖς ἁπτοῖς καὶ τοῖς γευστοῖς, ἀλλ' ἐν τοῖς ὁρατοῖς ἠρέμα· σχήματα γάρ ἐστι τοιαῦτα, ἀλλ' ἐπὶ μικρὸν καὶ πάντες τῆς τοιαύτης αἰσθήσεως κοινωνοῦσιν. ἔτι δὲ οὐκ ἔστι ταῦτα ὁμοιώματα τῶν ἠθῶν, ἀλλὰ σημεῖα μᾶλλον τὰ γινόμενα σχήματα καὶ χρώματα τῶν ἠθῶν. καὶ ταῦτ' ἐστὶν ἐπὶ τοῦ σώματος ἐν τοῖς πάθεσιν. οὐ μὴν ἀλλ' ὅσον διαφέρει καὶ περὶ τὴν τούτων θεωρίαν, δεῖ μὴ τὰ Παύσωνος θεωρεῖν τοὺς νέους, ἀλλὰ τὰ Πολυγνώτου, κἂν εἴ τις ἄλλος τῶν γραφέων, ἢ τῶν ἀγαλματοποιῶν ἐστιν ἠθικός. ἐν δὲ τοῖς μέλεσιν αὐτοῖς ἐστι μιμήματα τῶν ἠθῶν. καὶ τοῦτ' ἐστὶ φανερόν. εὐθὺς γὰρ ἡ τῶν ἁρμονιῶν διέστηκε φύσις, ὥστε ἀκούοντας ἄλλως διατίθεσθαι, καὶ μὴ τὸν αὐτὸν ἔχειν τρόπον πρὸς ἑκάστην αὐτῶν, ἀλλὰ πρὸς μὲν ἐνίας, ὀδυρτικωτέρως καὶ συνεστηκότως μᾶλλον, οἷον, πρὸς τὴν μιξολυδιστὶ καλουμένην. πρὸς δὲ τὰς μαλακωτέρως τὴν διάνοιαν, οἷον, πρὸς τὰς ἀνειμένας. μέσως δὲ καὶ καθεστηκότως μάλιστα πρὸς ἑτέραν, οἷον δοκεῖ ποιεῖν ἡ δωριστὶ μόνη τῶν ἁρμονιῶν· ἐνθουσιαστικοὺς δ' ἡ φρυγιστί. ταῦτα γὰρ καλῶς λέγουσιν οἱ περὶ τὴν παιδείαν ταύτην πεφιλοσοφηκότες. λαμβάνουσι γὰρ τὰ μαρτύρια τῶν λόγων ἐξ αὐτῶν τῶν ἔργων. τὸν αὐτὸν γὰρ τρόπον ἔχει καὶ περὶ τοὺς ῥυθμούς. οἱ μὲν γὰρ ἦθος ἔχουσι στασιμώτερον. οἱ δὲ, κινητικόν. καὶ τούτων οἱ μὲν, φορτικωτέρας ἔχουσι τὰς κινήσεις. οἱ δὲ, ἐλευθεριωτέρας. ἐκ μὲν οὖν τούτων, φανερὸν, ὅτι

δύναται

Pason
Polygnot.

μιξολυδιστί καλουμένη μουσική
Δωριστί
Φρυγιστί
Rhythmi



δύναται ποιόν τι τὸ τῆς ψυχῆς ἦθος ἡ μουσικὴ παρασκευάζειν. εἰ δὲ τοῦτο δύναται ποιεῖν, δῆλον ὅτι προσακτέον καὶ παιδευτέον ἐν αὐτῇ τοὺς νέους. ἔχει δὲ ἁρμοζόντως πρὸς τὴν φύσιν τὴν τηλικαύτην ἡ διδασκαλία τῆς μουσικῆς. οἱ μὲν γὰρ νέοι διὰ τὴν ἡλικίαν, ἀνήδυντον οὐδὲν ὑπομένουσιν ἑκόντες. ἡ δὲ μουσικὴ φύσει τῶν ἡδυσμένων ἐστί. καί τις ἔοικε συγγένεια ταῖς ἁρμονίαις καὶ τοῖς ῥυθμοῖς εἶναι. διὸ πολλοί φασι τῶν σοφῶν, οἱ μὲν, ἁρμονίαν εἶναι τὴν ψυχήν. οἱ δ' ἔχειν ἁρμονίαν. πότερον δὲ δεῖ μανθάνειν αὐτοὺς ᾄδοντάς τε καὶ χειρουργοῦντας, ἢ μὴ, καθάπερ ἠπορήθη πρότερον, νῦν λεκτέον. οὐκ ἄδηλον δέ, ὅτι πολλὴν ἔχει διαφορὰν πρὸς τὸ γίνεσθαι ποιούς τινας, ἐάν τις αὐτὸς κοινωνῇ τῶν ἔργων. ἓν γάρ τι τῶν ἀδυνάτων ἢ χαλεπῶν ἐστι, μὴ κοινωνήσαντας τῶν ἔργων, κριτὰς γενέσθαι καὶ σπουδαίους. ἅμα δὲ, καὶ δεῖ τοὺς παῖδας ἔχειν τινὰ διατριβὴν. καὶ τὴν Ἀρχύτου πλαταγὴν οἴεσθαι γενέσθαι καλῶς, ἣν διδόασι τοῖς παιδίοις, ὅπως χρώμενοι ταύτῃ, μηδὲν καταγνύωσι τῶν κατὰ τὴν οἰκίαν. οὐ γὰρ δύναται τὸ νέον ἡσυχάζειν. αὕτη μὲν οὖν ἐστι τοῖς νηπίοις ἁρμόττουσα τῶν παιδικῶν. ἡ δὲ παιδεία, πλαταγὴ τοῖς μείζοσι τῶν νέων. ὅτι μὲν οὖν παιδευτέον τὴν μουσικὴν οὕτως ὥστε καὶ κοινωνεῖν τῶν ἔργων, φανερὸν ἐκ τῶν τοιούτων. τὸ δὲ πρέπον καὶ τὸ μὴ πρέπον ταῖς ἡλικίαις, οὐ χαλεπὸν διορίσαι καὶ λῦσαι πρὸς τοὺς φάσκοντας βάναυσον εἶναι τὴν ἐπιμέλειαν. πρῶτον μὲν γὰρ, ἐπεὶ τοῦ κρίνειν χάριν μετέχειν δεῖ τῶν ἔργων, διὰ τοῦτο χρὴ νέους μὲν ὄντας, χρῆσθαι τοῖς ἔργοις. πρεσβυτέρους δὲ γενομένους τῶν μὲν ἔργων ἀφεῖσθαι. δύνασθαι δὲ τὰ καλὰ κρίνειν καὶ χαίρειν ὀρθῶς διὰ τὴν μάθησιν τὴν γενομένην ἐν τῇ νεότητι. περὶ δὲ τῆς ἐπιτιμήσεως ἥν τινες ἐπιτιμῶσιν ὡς ποιούσης τῆς μουσικῆς βαναύσους, οὐ χαλεπὸν λῦσαι σκεψαμένους μέχρι τε

ΧΧΧΧ 3

Euripides
νέα γὰρ φροντίς οὐκ ἀλγεῖν φιλ[εῖ]

Quidã animã musicã eẽ dixerũ alij habere musi[cam]

Archytæ πλαταγ[ή]
Hesy. πλαταγὴ κρ... unde crepitaculum posset uer[ti] melius quã tabell[am] ut transfert Leonardus.

οὐ δύναται τὸ νέον ἡσυχάζειν

ἡ παιδεία πλαταγὴ τοῖς μείζοσι τῶν νέων

Harmoniæ
Rhythmorum
Cognatio quædã

πρὸς οὐ τῶν ἔργων κοινωνητέον τοῖς πρὸς ἀρετὴν παιδευομένοις πολιτικήν. καὶ τίνων μελῶν. καὶ ποίων ῥυθμῶν κοινωνητέον ἔτι δέ, ἐν ποίοις ὀργάνοις τὴν μάθησιν ποιητέον. καὶ γὰρ τοῦτο διαφέρειν εἰκός. ἐν τούτοις γάρ ἐστιν ἡ λύσις τῆς ἐπιτιμήσεως. οὐδὲν γὰρ κωλύει τρόπους τινὰς τῆς μουσικῆς ἀπεργάζεσθαι τὸ λεχθέν. φανερὸν τοίνυν, ὅτι δεῖ τὴν μάθησιν αὐτῆς, μήτε ἐμποδίζειν πρὸς τὰς ὕστερον πράξεις. μήτε τὸ σῶμα ποιεῖν βάναυσον καὶ ἄχρηστον πρὸς τὰς πολεμικὰς καὶ πολιτικὰς ἀσκήσεις. πρὸς μὲν τὰς χρήσεις ἤδη πρὸς δὲ τὰς μαθήσεις ὕστερον. συμβαίνοι δ' ἂν περὶ τὴν μάθησιν, εἰ μήτε τὰ πρὸς τοὺς ἀγῶνας τοὺς τεχνικοὺς συντείνοντα διαπονοῖεν, μήτε τὰ θαυμάσια καὶ περιττὰ τῶν ἔργων ἃ νῦν ἐλήλυθεν εἰς τοὺς ἀγῶνας. ἐκ δὲ τῶν ἀγώνων, εἰς τὴν παιδείαν. ἀλλὰ καὶ τὰ τοιαῦτα μέχριπερ ἂν δύνωνται χαίρειν τοῖς καλοῖς μέλεσι καὶ ῥυθμοῖς. καὶ μὴ μόνον τῷ κοινῷ τῆς μουσικῆς ὥσπερ καὶ τῶν ἄλλων ἔνια ζώων. ἔτι δὲ καὶ πλῆθος ἀνδραπόδων καὶ παιδίων. δῆλον δὲ ἐκ τούτων καὶ ποίοις ὀργάνοις χρηστέον. οὔτε γὰρ αὐλοὺς εἰς παιδείαν ἀκτέον. οὔτ' ἄλλο τεχνικὸν ὄργανον. οἷον, κιθάραν. κἂν ἔτι τοιοῦτον ἕτερόν ἐστιν, ἀλλ' ὅσα ποιήσει αὐτῶν ἀκροατὰς ἀγαθούς, ἢ τῆς μουσικῆς παιδείας ἢ τῆς ἄλλης. ἔτι δὲ οὐκ ἔστιν ὁ αὐλὸς ἠθικόν, ἀλλὰ μᾶλλον ὀργιαστικόν. ὥστε πρὸς τοὺς τοιούτους αὐτῷ καιροὺς χρηστέον, ἐν οἷς ἡ θεωρία, κάθαρσιν μᾶλλον δύναται, ἢ μάθησιν. προσθῶμεν δὲ ὅτι συμβέβηκεν ἐναντίον αὐτῷ πρὸς παιδείαν. καὶ τὸ κωλύειν τῷ λόγῳ χρῆσθαι τὴν αὔλησιν. διὸ καλῶς ἀπεδοκίμασαν αὐτοῦ οἱ πρότερον τὴν χρῆσιν ἐκ τῶν νέων, καὶ τῶν ἐλευθέρων. καίπερ χρησάμενοι τὸ πρῶτον αὐτῷ. σχολαστικώτεροι γὰρ γιγνόμενοι διὰ τὰς εὐπορίας καὶ μεγαλοψυχότεροι πρὸς ἀρετήν. ἔτι τε πρότερον καὶ μετὰ τὰ Μηδικὰ φρονηματισθέντες ἐκ τῶν ἔργων, πάσης ἥπτον-



το μαθήσεως. οὐδὲν διακρίνοντες ἀλλ' ἐπιζητοῦντες. διὸ καὶ τὴν αὐλητικὴν ἤγαγον πρὸς τὰς μαθήσεις. καὶ γὰρ ἐν Λακεδαίμονι τις χορηγὸς αὐτὸς ηὔλησε τῷ χορῷ. καὶ περὶ Ἀθήνας οὕτως ἐπιχωρίασεν, ὥστε σχεδὸν οἱ πολλοὶ τῶν ἐλευθέρων μετεῖχον αὐτῆς. δῆλον δὲ ἐκ τοῦ πίνακος, ὃν ἀνέθηκε Θράσιππος Ἐκφαντίδῃ χορηγήσας. ὕστερον δ' ἀπεδοκιμάσθη διὰ τῆς πείρας αὐτῆς, βέλτιον δυναμένων κρίνειν τὸ πρὸς ἀρετήν. καὶ τὸ μὴ πρὸς ἀρετὴν συντεῖνον. ὁμοίως δέ, καὶ πολλὰ τῶν ὀργάνων τῶν ἀρχαίων. οἷον πηκτίδες καὶ βάρβιτοι. καὶ τὰ πρὸς ἡδονὴν συντείνοντα τοῖς ἀκούουσι τῶν χρωμένων ἑπτάγωνα. καὶ τρίγωνα. καὶ σαμβῦκαι. καὶ πάντα τὰ δεόμενα χειρουργικῆς ἐπιστήμης. εὐλόγως δ' ἔχει καὶ τὸ περὶ τῶν αὐλῶν ὑπὸ τῶν ἀρχαίων μεμυθολογημένον. φασὶ γὰρ δὴ τὴν Ἀθηνᾶν εὑροῦσαν ἀποβαλεῖν τοὺς αὐλούς. οὐ κακῶς μὲν οὖν ἔχει φάναι καὶ διὰ τὴν ἀσχημοσύνην τοῦ προσώπου τοῦτο ποιῆσαι, δυσχεράνασαν τὴν θεόν. οὐ μὴν ἀλλὰ μᾶλλον εἰκός, ὅτι πρὸς τὴν διάνοιαν οὐθέν ἐστιν ἡ παιδεία τῆς αὐλήσεως. τῇ δὲ Ἀθηνᾷ τὴν ἐπιστήμην περιτίθεμεν καὶ τὴν τέχνην. ἐπεὶ δὲ τῶν τε ὀργάνων καὶ τῆς ἐργασίας ἀποδοκιμάζομεν τὴν τεχνικὴν παιδείαν. τεχνικὴν δὲ τίθεμεν, τὴν πρὸς τοὺς ἀγῶνας. ἐν ταύτῃ γὰρ ὁ πράττων, οὐ τῆς αὐτοῦ μεταχειρίζεται χάριν ἀρετῆς, ἀλλὰ τῆς τῶν ἀκουόντων ἡδονῆς, καὶ ταύτης φορτικῆς. διόπερ οὐ τῶν ἐλευθέρων κρίνομεν εἶναι τὴν ἐργασίαν ἀλλὰ θητικωτέραν. καὶ βαναύσους δὴ συμβαίνει γίγνεσθαι. πονηρὸς γὰρ ὁ σκοπός, πρὸς ὃν ποιοῦνται τὸ τέλος. ὁ γὰρ θεατὴς φορτικὸς ὤν, μεταβάλλειν εἴωθε τὴν μουσικήν. ὥστε καὶ τοὺς τεχνίτας τοὺς πρὸς αὐτὸν μελετῶντας αὐτούς τε ποιούς τινας ποιεῖ καὶ τὰ σώματα διὰ τὰς κινήσεις. σκεπτέον δ' ἔτι περί τε τὰς ἁρμονίας καὶ τοὺς ῥυθμούς. καὶ πρὸς παιδείαν πότερον, πάσαις χρηστέον ταῖς ἁρμονίαις, καὶ πᾶσι τοῖς ῥυθμοῖς, ἢ διαιρετέον. ἔπειτα τοῖς

Thrasipp?
Ecphantides
πηκτίδες
βάρβιτοι
ἑπτάγωνα
τρίγωνα
σαμβῦκαι
Minerua inuēt tibias abiecisse

πρὸς παιδείαν ἁπανοῦσι· πότερον τὸν αὐτὸν διορισμὸν θήσομεν, ἢ τρίτον δεῖ τινὰ ἕτερον· ἐπειδὴ τιὼ μὲν μουσικὴν ὁρῶ μὲν διὰ μελοποιΐας καὶ ἐνθυμίων οὖσαν· τούτων δὲ ἑκάτερον οὐδεῖ λελήθαμεν ἡμᾶς ἔχειν δύναμιν πρὸς παιδείαν. ⁋ πότερον προαιρετέον μᾶλλον τιὼ ὡμελῆ μουσικὴν· ἢ τιὼ εὔρυθμον· νομίσαντες οὖν πολλὰ καλῶς λέγειν περὶ τούτων, τῶν τε νῦν μουσικῶν ἐνίους, καὶ τῶν ἐκ φιλοσοφίας ὅσοι τυγχάνουσιν ἐμπείρως ἔχοντες φιὼ περὶ τιὼ μουσικὴν παιδείας, τὸ μὲν καθήκαστον ἀκριβολογίαν, ἀποδώσομεν ζητεῖν ῥᾴσθαλομένοις παρ' ἐκείνων· νῦν δὲ νομικῶς διέλω μὲν τοὺς τύπους μόνον εἰ πάντες περὶ αὐτῶν· ἐπεὶ δὲ, τιὼ διαίρεσιν ἀποδεχόμεθα τῶν μελῶν, ὡς διαιροῦσί τινες τῶν ἐνφιλοσοφίᾳ, τὰ μὲν, ἠθικά, τὰ δὲ, πρακτικά· τὰ δ' ἐνθουσιαστικὰ τιθέντες, καὶ τὴν ἁρμονιῶν τιὼ φύσιν πρὸς ἕκαστα τούτων οἰκείαν ἄλλιω πρὸς ἄλλο μέρος τιθέασι· φαμὲν δ' οὐμιᾶς ἕνεκεν ὠφελείας τῇ μουσικῇ χρῆσθαι δεῖν, ἀλλὰ καὶ πλειόνων χάριν· καὶ γὰρ παιδείας ἕνεκεν καὶ καθάρσεως· τί δὲ λέγομεν τιὼ κάθαρσιν, νῦν μὲν ἁπλῶς· πάλιν δ' ἐν τοῖς περὶ ποιητικῆς ἐροῦμεν σαφέστερον· ἕβδομον δὲ πρὸς διαγωγήν· πρὸς ἀνέσιν τε καὶ πρὸς τιὼ φιὼ συντονίας ἀνάπαυσιν, φανερὸν, ὅτι χρηστέον μὲν πάσαις ταῖς ἁρμονίαις· οὐ τὸν αὐτὸν δὲ τρόπον πάσαις χρηστέον· ἀλλὰ πρὸς μὲν τιὼ παιδείαν ταῖς ἠθικωτάταις· πρὸς δὲ ἀκρόασιν ἑτέρων χειρουργούντων· καὶ ταῖς πρακτικαῖς καὶ ταῖς ἐνθουσιαστικαῖς· ὁ γὰρ περὶ ψυχὴν συμβαίνει πάθος ψυχαῖς ἰσχυρῶς, τοῦτο ἐν πάσαις ὑπάρχει· τῶν δὲ ἥττον διαφέρει καὶ τῶν μᾶλλον· οἷον, ἔλεος καὶ φόβος, ἔτι δ' ἐνθουσιασμός· καὶ γὰρ ὑπὸ ταύτης τῆς κινήσεως κατασκώχμοι τινὲς εἰσιν· ἐκ δὲ τῶν ἱερῶν μελῶν ὁρῶμεν τούτους ὅταν χρήσωνται τοῖς ἐξοργιάζουσι τιὼ ψυχὴν, μέλεσι καθιστα

καλλακώχμοι



καθιστα μένους· ὥσπερ ἰατρείας τυχόντας καὶ κατάρσεως· ταὐτὸ δὴ τοῦτο ἀναγκαῖον πάσχειν καὶ τοὺς ἐλεήμονας· καὶ τοὺς φοβητικὸς, καὶ ὅλως παθητικούς· τοὺς δ' ἄλλους καθ' ὅσον ἐπιβάλλει τῶν τοιούτων ἑκάστῳ, καὶ πᾶσι γίνεσθαι τινὰ κάθαρσιν καὶ κουφίζεσθαι μεθ' ἡδονῆς· ὁμοίως δὲ ⁋ τὰ μέλη τὰ καθαρτικὰ, παρέχει χαρὰν ἀβλαβῆ τοῖς ἀνθρώποις· διὸ ταῖς μὲν τοιαύταις ἁρμονίαις, καὶ τοῖς τοιούτοις μέλεσι θεατέον τοὺς τιὼ θεατρικιὼ μουσικιὼ μετειληφότας ἀγωνιστάς· ἐπεὶ δ' ὁ θεατὴς δισσὸς, ὁ μὲν, ἐλεύθερος καὶ πεπαιδευμένος· ὁ δὲ φορτικὸς, ἐκβαναύσων καὶ θητῶν καὶ ἄλλων τοιούτων συγκείμενος, ἀποδοτέον ἀγῶνας καὶ θεωρίας καὶ τοῖς τοιούτοις πρὸς ἀνάπαυσιν· εἰσὶ δ' ὥσπερ αἱ τῶν ψυχαὶ παρεσκευασμέναι φιὼ τὴν φύσιν ἕξεσι· οὕτω καὶ τὰ ἁρμονιῶν παρεκβάσεις εἰσί· ⁋ τὰ μελῶν τὸ σύνταγμα, ἢ παρακεχωσμένα· ποιεῖ δὲ τιὼ ἡδονιὼ ἑκάστοις τὸ κατὰ φύσιν οἰκεῖον· διὸ πάντα τὸν ἐξουσίαν τοῖς ἀγωνιζομένοις πρὸς τὸν θεατιὼ τὸν τοιοῦτον, ῥιδίως χρῆσθαι τῇ φύσει φιὼ μουσικῇ· πρὸς δὲ παιδείαν, ὥσπερ εἴρηται τοῖς ἠθικοῖς τῶν μελῶν χρηστέον· καὶ ταῖς ἁρμονίαις ταῖς ῥιαύταις· τοιαύτη δ' ἡ δωριστὶ, καθάπερ εἴπομεν πρότερον· δεχθεὶς δὲ δεῖ καὶ τινας ἄλλιω ἢ μίαν δοκιμάζωσιν οἰκείως οἱ φιὼ ἐνφιλοσοφίᾳ δεδαπηριβῆς· καὶ φιὼ περὶ τιὼ μουσικιὼ παιδείας· ὅδ' ἐν τῇ πολιτείᾳ Σωκράτης, οὐ καλῶς τιὼ φρυγιστὶ μόνιω καταλείπει μετὰ φιὼ δωριστί· καὶ ταῦτα ἀποδοκιμάσας τῶν ὀργάνων τὸν αὐλόν· ἔχει γὰρ τιὼ αὐτιὼ δύναμιν ἡ φρυγιστὶ τῶν ἁρμονιῶν, ὧν ὥσπερ αὐλὸς ἐν τοῖς ὀργάνοις· ἄμφω γὰρ ὀργιαστικὰ καὶ παθητικά· δηλοῖ δ' ἡ ποίησις· πᾶσα γὰρ βακχεία μὴ πᾶσα ἡ τοιαύτη κίνησις, μάλιστα τῶν ὀργάνων ὄντων ἐν τοῖς αὐλοῖς· τῶν δ' ἁρμονιῶν ἐν τοῖς φρυγιστὶ μέλεσι λαμβάνεται τὰ πρέποντα· οἷον, ὁ διθύραμβος ὁμολογουμένως εἶναι δοκεῖ φρύγιος.

Socrates

Dithyrámbos ad phrygiá muſa attinere.

ἐμβάλλει

ι καὶ φρύγιον τῶν παραδειγμάτων λέγουσιν οἱ περὶ τὴν σύνεσιν ταύτην ἄλλα τε, καὶ διότι Φιλόξενος ἐγχειρήσας ἐν τῇ δωριστὶ ποιῆσαι διθύραμβον τοὺς μύθους, οὐχ οἷός τ' ἦν· ἀλλ' ὑπὸ τῆς φύσεως αὐτῆς, ἐξέπεσεν, εἰς τὴν φρυγιστὶ τὴν προσήκουσαν ἁρμονίαν πάλιν· περὶ δὲ τῆς δωριστὶ πάντες ὁμολογοῦσι, ὡς στασιμωτάτης οὔσης· καὶ μάλιστ' ἦθος ἐχούσης ἀνδρεῖον· ἔτι δὲ, ἐπεὶ τὸ μέσον μὲν τῶν ὑπερβολῶν ἐπαινοῦμεν· καὶ χρῆναι διώκειν φαμέν· ἡ δὲ δωριστὶ ταύτην ἔχει τὴν φύσιν, πρὸς τὰς ἄλλας ἁρμονίας, φανερὸν ὅτι τὰ δώρια μέλη πρέπει παιδεύεσθαι μᾶλλον τοῖς νεωτέροις· εἰσὶ δὲ δύο σκοποί· τό, τε δυνατὸν, καὶ τὸ πρέπον· καὶ γὰρ τὰ δυνατὰ δεῖ μεταχειρίζεσθαι μᾶλλον, καὶ τὰ πρέποντα ἑκάστους· ἔστι δὲ καὶ ταῦτα ὡρισμένα ταῖς ἡλικίαις· οἷον, τοῖς ἀπειρηκόσι διὰ χρόνον· οὐ ῥᾴδιον ᾄδειν τὰς συντόνους ἁρμονίας· ἀλλὰ τὰς ἀνειμένας ἡ φύσις ὑποβάλλει τοῖς τηλικούτοις· διὸ καλῶς ἐπιτιμῶσι καὶ τοῦτο σωκράτει, τῶν περὶ τὴν μουσικὴν τινές· ὅτι τὰς ἀνειμένας ἁρμονίας ἀποδοκιμάσειεν εἰς τὴν παιδείαν, ὡς μεθυστικὰς λαμβάνων αὐτάς· οὐ κατὰ τὴν τῆς μέθης δύναμιν· βακχευτικὸν γὰρ ἥ γε μέθη ποιεῖ μᾶλλον, ἀλλ' ἀπειρηκυίας· ὥστε καὶ πρὸς τὴν ἐσομένην ἡλικίαν τὴν τῶν πρεσβυτέρων δεῖ· καὶ τῶν τοιούτων ἁρμονιῶν ἅπτεσθαι, καὶ τῶν μελῶν τῶν τοιούτων· ἔτι δ' εἴ τίς ἐστι τοιαύτη τῶν ἁρμονιῶν, ἣ πρέπει τῇ τῶν παίδων ἡλικίᾳ· διὰ τὸ δύνασθαι κόσμον τ' ἔχειν ἅμα καὶ παιδείαν· οἷον, ἡ λυδιστὶ φαίνεται πεπονθέναι μάλιστα τῶν ἁρμονιῶν· δῆλον ὅτι τούτους ὅρους τρεῖς ποιητέον εἰς τὴν παιδείαν· τό τε μέσον· καὶ τὸ δυνατὸν καὶ τὸ πρέπον:~

Philoxen

Dorica. Mus.

Lydia musica

ΤΈΛΟΣ. ἈΡΙΣΤΟΤΈΛΟΥΣ ΠΟΛΙΤΙΚΩ͂Ν.

Τῷ θεῷ χάριτας

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΟΙΚΟΝΟΜΙΚΩΝ. Α.

Ἡ οἰκονομικὴ καὶ πολιτικὴ διαφέρει, οὐ μόνον τοσοῦτον ὅσον οἰκία καὶ πόλις. ταῦτα μὲν γὰρ αὐταῖς ἐστι τὰ ὑποκείμενα. ἀλλὰ καὶ ὅτι ἡ μὲν πολιτικὴ ἐκ πολλῶν ἀρχόντων ἐστίν, ἡ οἰκονομικὴ δὲ μοναρχία. ἔνιαι μὲν οὖν τῶν τεχνῶν διῄρηνται. καὶ οὐ τῆς αὐτῆς ἐστι ποιῆσαι καὶ χρήσασθαι τῷ ποιηθέντι, ὥσπερ λύρα καὶ αὐλοῖς. τῆς δὲ πολιτικῆς ἐστι καὶ πόλιν ἐξ ἀρχῆς συστήσασθαι. καὶ ὑπαρχούσῃ χρήσασθαι καλῶς. ὥστε δῆλον ὅτι καὶ τῆς οἰκονομικῆς ἂν εἴη καὶ κτήσασθαι οἶκον καὶ χρήσασθαι αὐτῷ. πόλις μὲν οὖν οἰκιῶν πλῆθός ἐστι καὶ χώρας καὶ κτημάτων αὐτάρκες πρὸς τὸ εὖ ζῆν. φανερὸν δέ. ὅταν γὰρ μὴ δυνατοὶ ὦσι τούτου τυγχάνειν διαλύεται καὶ ἡ κοινωνία. ἔτι δὲ ἕνεκα τούτου συνέρχονται, οὗ δὲ ἕνεκα ἕκαστόν ἐστι καὶ γέγονε. καὶ ἡ οὐσία αὐτοῦ αὐτὴ τυγχάνει οὖσα. ὥστε δῆλον ὅτι πρότερον γενέσει ἡ οἰκονομικὴ πολιτικῆς ἐστι. καὶ γὰρ τὸ ἔργον. μόριον γὰρ οἰκία πόλεώς ἐστι. σκεπτέον οὖν περὶ τῆς οἰκονομικῆς. καὶ τί τὸ ἔργον αὐτῆς. μέρη δὲ οἰκίας ἄνθρωπός τε καὶ κτῆσίς ἐστιν. ἐπεὶ δὲ πρῶτον ἐν τοῖς ἐλαχίστοις ἡ φύσις ἑκάστου θεωρεῖται, καὶ περὶ οἰκίας ἂν ὁμοίως ἔχοι, ὥστε καθ' Ἡσίοδον δέοι ἂν ὑπάρχειν. οἶκον μὲν πρώτιστα γυναῖκά τε βοῦν τ' ἀροτῆρα. τὸ μὲν γὰρ τῆς τροφῆς πρῶτον. τὸ δὲ τῶν ἐλευθέρων. ὥστε δέοι ἂν τὰ περὶ τὴν τῆς γυναικὸς

Vrbs qd !

οὗ ἕνεκα ἕκαστόν ἐστι καὶ γέγονε

Hesiodus

ὁμιλίαν οἰκονομήσασθαι καλῶς. τοῦτο δ' ἐστὶ τὸ, ποίαν τινὰ δεῖ ταύτην εἶναι παρασκευάσαι. Κτήσεως δὲ πρώτη ἐπιμέλεια ἡ κατὰ φύσιν. κατὰ φύσιν δὲ γεωργικὴ προτέρα. καὶ δεύτεραι ὅσαι ἀπὸ τῆς γῆς, οἷον μεταλλευτικὴ καὶ εἴ τις ἄλλη τοιαύτη. ἡ δὲ γεωργικὴ μάλιστα ὅτι δικαία. οὐ γὰρ ἀπ' ἀνθρώπων οὔθ' ἑκόντων ὥσπερ καπηλεία καὶ αἱ μισθαρνικαί. οὔτ' ἀκόντων ὥσπερ αἱ πολεμικαί. ἔτι δὲ καὶ τῶν κατὰ φύσιν. φύσει γὰρ ἀπὸ τῆς μητρὸς ἡ τροφὴ πᾶσιν ἐστὶν, ὥστε καὶ τοῖς ἀνθρώποις ἀπὸ τῆς γῆς. πρὸς δὲ τούτοις καὶ πρὸς ἀνδρίαν συμβάλλεται μεγάλα. οὐ γὰρ ὥσπερ αἱ βάναυσοι τὰ σώματα ἀχρεῖα ποιοῦσιν, ἀλλὰ δυνάμενα θυραυλεῖν καὶ πονεῖν. ἔτι δὲ δυνάμενα κινδυνεύειν πρὸς τοὺς πολεμίους. μόνων γὰρ τούτων τὰ κτήματα ἔξω τῶν ἐρυμάτων ἐστί. Τῶν δὲ περὶ τοὺς ἀνθρώπους ἡ περὶ γυναῖκα πρώτη ἐπιμέλεια. κοινωνία γὰρ φύσει τῷ θήλει καὶ τῷ ἄρρενι μάλιστα ἐστίν. ὑπόκειται γὰρ ἡμῖν ἐν ἄλλοις ὅτι πολλὰ τοιαῦτα ἡ φύσις ἐφίεται ἀποτελέσαι, ὥσπερ καὶ τῶν ζῴων ἕκαστον. ἀδύνατον δὲ τὸ θῆλυ ἄνευ τοῦ ἄρρενος ἢ τὸ ἄρρεν ἄνευ τοῦ θήλεος ἀποτελέσαι τοῦτο. ὥστ' ἐξ ἀνάγκης αὕτη ἡ κοινωνία συνέστηκεν. ἐν μὲν οὖν τοῖς ἄλλοις ζῴοις ἀλόγως τοῦτο ὑπάρχει. καὶ ἐφ' ὅσον μετέχουσι τῆς φύσεως, ἐπὶ τοσοῦτον καὶ τεκνοποιίας μόνον χάριν. ἐν δὲ τοῖς ἡμέροις καὶ φρονιμωτέροις διήρθρωται μᾶλλον. φαίνονται γὰρ μᾶλλον βοήθειαι γινόμεναι καὶ εὔνοιαι καὶ συνεργίαι ἀλλήλοις, ἐν ἀνθρώπῳ δὲ μάλιστα. ὅτι οὐ μόνον τοῦ εἶναι ἀλλὰ καὶ τοῦ εὖ εἶναι συνεργὰ ἀλλήλοις τὸ θῆλυ καὶ τὸ ἄρρεν ἐστί. καὶ ἡ τῶν τέκνων κτῆσις οὐ λειτουργίας ἕνεκεν τῇ φύσει μόνον οὖσα τυγχάνει, ἀλλὰ καὶ ὠφελείας. ἃ γὰρ ἂν δυνάμενοι εἰς ἀδυνάτους πονήσωσι, πάλιν κομίζονται παρὰ δυναμένων ἀδυνατοῦντες ἐν τῷ γήρᾳ. ἅμα δὲ καὶ ἡ φύσις ἀναπληροῖ ταύτῃ τῇ περιόδῳ τὸ ἀεὶ εἶναι, ἐπεὶ κατ' ἀριθμὸν οὐ δύναται, ἀλλὰ κατὰ τὸ εἶδος. οὕτω προῳκονόμηται ὑπὸ τοῦ θείου ἑκατέ-

ρου

Agricultura ad uirs & robur confert

ἐρυμάτων munitiones

Naturalē ee cōmunctionē maris & foeminae

Filiorū utilitas



ρου ἡ φύσις τοῦ τε ἀνδρὸς καὶ τῆς γυναικὸς πρὸς τὴν κοινωνίαν. διείληπται γὰρ τῷ μὴ ἐπὶ ταυτὰ πάντα χρήσιμον ἔχειν τὴν δύναμιν, ἀλλ' ἔνια μὲν ἐπὶ τἀναντία, εἰς ταυτὸ δὲ συντείνοντα. τὸ μὲν γὰρ ἰσχυρότερον, τὸ δὲ ἀσθενέστερον ἐποίησεν, ἵνα τὸ μὲν φυλακτικώτερον ᾖ διὰ τὸν φόβον, τὸ δὲ ἀμυντικώτερον διὰ τὴν ἀνδρίαν. καὶ τὸ μὲν πορίζῃ τὰ ἔξωθεν, τὸ δὲ σώζῃ τὰ ἔνδον. καὶ πρὸς ἐργασίαν τὸ μὲν δυνάμενον ἑδραῖον εἶναι, πρὸς δὲ τὰς ἔξωθεν θυραυλίας ἀσθενές. τὸ δὲ πρὸς μὲν τὰς ἡσυχίας χεῖρον, πρὸς δὲ τὰς κινήσεις ὑγιεινόν. καὶ περὶ τέκνων τὴν μὲν γένεσιν κοινήν, τὴν δὲ ὠφέλειαν ἰδίαν. τῶν μὲν γὰρ τὸ θρέψαι, τῶν δὲ τὸ παιδεῦσαι ἐστί. Πρῶτον μὲν οὖν νόμοι πρὸς γυναῖκα, καὶ τὸ μὴ ἀδικεῖν. οὕτως γὰρ ἂν οὐδ' αὐτὸς ἀδικοῖτο. τοῦθ' ὑφηγεῖται δὲ καὶ ὁ κοινὸς νόμος, καθάπερ οἱ Πυθαγόρειοι λέγουσιν, ὥσπερ ἱκέτιν καὶ ἀφ' ἑστίας ἠγμένην, ὡς ἥκιστα δεῖν δοκεῖν ἀδικεῖν. ἀδικία δὲ ἀνδρὸς αἱ θύραζε συνουσίαι γινόμεναι. περὶ δὲ ὁμιλίας μήτε δεῖσθαι, μήθ' ὡς ἀτρεμούντων ἀδυνατεῖν ἡσυχάζειν, ἀλλ' οὕτως ἐθίζειν ὥστε ἱκανῶς ἔχειν παρόντος καὶ μὴ παρόντος. εὖ δ' ἔχει τὸ Ἡσιόδου. παρθενικὴν δὲ γαμεῖν, ἵνα ἤθεα κεδνὰ διδάξῃς. αἱ γὰρ ἀνομοιότητες τῶν ἠθῶν ἥκιστα φιλικόν. περὶ δὲ κοσμήσεως, ὥσπερ δὲ τὰ ἤθη δεῖ ἀλαζονευομένους ἀλλήλοις πλησιάζειν, οὕτως οὐδὲ τὰ σώματα. εἰ δὲ διὰ τῆς κοσμήσεως, οὐδὲν διαφέρουσα ἐστὶ τῆς τῶν τραγῳδῶν ἐν τῇ σκηνῇ πρὸς ἀλλήλους ὁμιλίας. Τῶν δὲ κτημάτων πρῶτον μὲν καὶ ἀναγκαιότατον, τὸ βέλτιστον καὶ ἡγεμονικώτατον. τοῦτο δ' ἦν ἄνθρωπος. διὸ δεῖ πρῶτον δούλους παρασκευάζεσθαι σπουδαίους. δούλων δὲ εἴδη δύο, ἐπίτροπος καὶ ἐργάτης. ἐπεὶ δὲ ὁρῶμεν ὅτι αἱ παιδεῖαι ποιούς τινας ποιοῦσι τοὺς νέους, ἀναγκαῖον καὶ παρασκευασάμενον τρέφειν, οἷς τὰ ἐλευθέρια τῶν ἔργων προστακτέον. ὁμιλία δὲ πρὸς δούλους ὡς μήτε ὑβρίζειν ἐᾶν, μήτε ἀνιέναι. καὶ τοῖς μὲν ἐλευθεριωτέροις τιμῆς μεταδιδόναι, τοῖς δ' ἐργάταις τροφῆς πλῆθος. καὶ ἐπειδὴ ἡ τοῦ οἴνου πόσις καὶ τοὺς ἐλευθέρους ὑβριστὰς ποιεῖ



Cur mas a natura robustus factus fit: foemi. imbec

Hesiodus

Dissimiles mores nō gignūt amicitiam

κτήματα qd.

Seruī qm tractandi

Vini pnities

Carthaginenses qui militant a uino abstinere

Seruii quomodo tractandi. pul.

Perors fieri homines si desint praemia uirtutis

καὶ πολλὰ ἔθνη ἀπέχεται καὶ τῶν ἐλευθέρων, οἷον Καρχηδόνιοι
ἐπὶ στρατιᾶς. Φανερὸν οὖν τοῦτο οὐ μηδὲν ἢ ὀλίγον μεταδοτέον
ὄντων δὲ ξιῶν ἔργου καὶ κολάσεως καὶ τροφῆς· τὸ μὲν μὴ τε
κολάζεσθαι μὴ τυγχάζεσθαι τροφῆς δεῖ χεῖν, ὕβριν ἐμποιεῖ· τὸ δὲ
ἔργα μὲν ἔχειν καὶ κολάσεις, τροφὴν δὲ μή, βίαιον καὶ ἀδύνα
μίαν ποιεῖ· λείπεται δὴ ἔργα παρέχειν καὶ ξοφὴν ἱκανήν, ἀ
μίσθων γὰρ οὐχοἱόντε ἄρχειν· δούλων δὲ μισθὸς ξοφὴ ὥστερ ἢ
καὶ ῥῖς ἄλλοις ὅτων μὴ γίνηται ῥῖς βελτίοσι βέλτιον· μὴ δὲ
ἆθλα ἢ ἀρετῆς καὶ κακίας, γίνοιτ' ἂν χείρους· οὕτω καὶ ὥστερ
οἰκέτας· διὸ ὥστερ δεῖ ποιεῖσθαι σκέψιν καὶ διανέμειν τι καὶ αὐ
έμασι κατ' ἀξίαν ἑκάστοις· καὶ τροφὴν καὶ ἆθῆτα· καὶ ἀργίαν· καὶ
κολάσεις· λόγῳ καὶ ἔργῳ μιμουμένους τὸν τῶν ἰατρῶν δι' ὧν ἀ
μινοῦσι φάρμακον λόγῳ προσθεωροῦντας ὅτι ἡ ξοφὴ οὐ φάρμα
κον δὲ ἀλλὰ τὸ σωματοειδὲς ἡ δὲ ἀνεῖσα πρὸς τὰ ἔργα βέλτιστα· μήτε
δειλὰ· μήτε ἀνδρεῖα ἄγαν· ἀμφότερα γὰρ ἀδικοῦσι· καὶ γὰρ
οἰάγαν δειλοὶ οὐ χυρμένουσι· καὶ οἰθυμοειδεῖς οὐκὶ ἄρχοι· χεὴ
δὲ καὶ τέλος ὡρίσθαι πᾶσι· δίκαιον γὰρ καὶ συμφέρον τῷ ἐλευ
θερίαν κεῖσθαι ἆθλον· βούλονται γὰρ πονεῖν, ὅταν ἢ ἆθλον· καὶ ὁ
χάνος ὠφελιμέρος· δεῖ δὲ καὶ ἐξομηρύθαι τὰς τεκνοποιίας·
καὶ μὴ κεῖσθαι ὁμοεθνεῖς πολλοὺς ὥσπερ καὶ ἐν ταῖς πόλεσι
καὶ τὰς θυσίας καὶ τὰς ἀπολαύσεις μᾶλλον τῶν δούλων ἕνε
κα ποιεῖσθαι· ἢ τῶν ἐλευθέρων· ὠλείονα γὰρ ἔχουσιν οὗτοι ὅσπερ
ἕνεκα τὰ τοιαῦτα νομίζεται· δὲ τοῦ οἰκοδόμου τὸ παρα
δεῖσθαι ἔχειν περὶ τὸ χήματα· καὶ γὰρ τὸ κτᾶσθαι δίκαιον χὴ
εἶναι καὶ φυλάττειν· εἰ δὲ μή, οὐδὲν ὄφελος τοῦ κτᾶσθαι· ὁμοίως γὰρ
ἢθμῷ ἀντλεῖν τοῦτ' ἔστιν· καὶ ὁ λεσόμβος τετρημβος πίθος· ἔτι
δὲ καὶ εἶναι κοσμητικὸν τῶν ὑπερχόντων· καὶ χρηστικὸν· ῥύτων
γὰρ ἕνεκα κἀκείνων δεόμεθα· διωρῆσθαι δὲ δεῖ τῶν κτημάτων
ἕκαστον· καὶ πλείω τὸ καρπίμα εἶναι τῶν ἀκαρπίμων· καὶ τὰς
ἐργασίας οὕτω νενεμῆσθαι, ὅπως μὴ ἔμακιν δυνήσωσιν ἄπασι·

πρὸς



πρὸς δὲ φυλακὴν ῥῖς τὸ τῶν οἰκοῖς συμφέρῃ χῆδας καὶ τοῖς
λακωνικοῖς· καὶ ἡ ἀπὶ κὴ δὲ οἰκονομία χρήσιμος· ἀποδιδόμενοι
γὰρ ὠνοῦνται· καὶ ἡ τοῦ τα μιεῖ θέσις οὐκ ἔστιν ἐν ταῖς μικρο
τέραις οἰκονομίαις· ὥτερ οὖν καὶ δεῖ ἦν τὸ παίτα τι τύχαι ἢ πάν
τ' ἄφορα αὐτὸν· καὶ ὁ ἔλεγε δίων περὶ δούλου σίου· οὐθεὶς γὲ ὡ
μελεῖ ταῖ ὁμοίως τῶν ἀλλοζίων καὶ τῶν οἰκείων, ὥστε ὅσα ἐν δέ
χεται δαῶ, τοῦ ποιεῖσθαι χὴ τὴν ἐπιμέλειαν· καὶ τὸ τοῦ πῦρ
σου καὶ τὸ λίβυος ἀπόφθεγμα οὗ αὐ ἔχοι· ὁμοῖ γὲ ἐρωτηθεὶς·
τί μάλιστα ἴσον παίμει, ὁ τοῦ δαιδάλου ὀφθαλμὸς ἔφη·
ὁδὲ λίβυς ἐρωτηθεὶς ποία κόπος ἀείζη, τὰ τοῦ δαιδάλου ἴ-
χνη ἔφη ἐπισκεπέον οὖν τὰ μὲν αὐτόν· τὰ δὲ τὴν γυναῖκα,
ὡς ἑκατέροις δαιρεῖται τὰ ἔργα τῆς οἰκονομίας· καὶ τοῦτο
πρωτίστη ἐν μικραῖς οἰκονομίαις ὀλιγάκις· ἐν δὲ τοῖς πολυ
μυθίαις, πολλάκις· οὐ γὰρ οἷόν τε μὴ καλῶς ὑποδεικνύντες,
καλῶς μιμεῖσθαι, οὔτε παρ' ἄλλοις, οὔτε παρ' ἐπιστροπέως· ὡς ἀδύ
νατον μὴ ἐπιμελεῖσθαι δαῶν τῶν, ἐπιμελεῖς εἶναι τοὺς ἐφεξῆς·
ἐπεὶ δὲ ταῦτα καὶ καλὰ πρὸς ἀρετὴν καὶ ὠφέλιμα πρὸς οἰ
κονομίαν, ἐγείρεσθαι χὴ πρότερον δεῖ τοὺς οἰκετῶν, καὶ καθεύ
δειν ὕστερον καὶ μηδέποτε ἀφύλακτον οἰκίαν εἶναι, ὥσπερ
πάλιν ὅσα τελεῖσθαι ποιεῖν, μήτε νυκτὸς μήτε ἡμέρας παριέναι
τὸ τελειανίζεσθαι νύκτωρ· τοῦτο γὰρ καὶ πρὸς ὑγίειαν καὶ οἰκο
νομίαν καὶ φιλόσοφον χρήσιμον· ἐν μὲν οὖν ταῖς μικραῖς κτή
σεσιν ἀπλοῦς ὁ τρόπος τῆς διαθέσεως· τὸ δὲ ἐπικαρσίων χρήσιμος
ἐν δὲ ταῖς μεγάλαις διαμεμεριθέντων καὶ τῶν πρὸς ζῴαν ὁ
τῶν καὶ τὸ μῆνα δεῖ σκοπεῖν μόνον, ὁμοίως δὲ καὶ περὶ σκευῶν
χρήσεως τῶν καθ' ἡμέραν, καὶ τῶν ὀλιγάκις, ταῦτα παραδοτέ
ον τοῖς ἐφεξῆς, ἐπὶ τούτοις καὶ τοῖς ἐπὶ σκευῇ μὲν αὐτῶν διὰ
παντὸς χρόνου τηρητέον· ἵνα μὴ λανθάνῃ τὸ σωζόμενον καὶ τὸ ἐλλεῖ
πον· οἰκίαν δὲ πρόσκτησιν τὸ κτήματος ἀποβλέποντα κατασκευ
αστέον· καὶ πρὸς ὑγίειαν καὶ πρὸς εὐημερίαν αὐτῶν· λέγω δὲ

4444 3

Dio dicebat ne
ne ita curarpa
pna ut sua

Oculũ domini pr
gue facere equi

Optimũ stercu
domini uestigiu

Si domini sũt n
gligetes & seruu

μηδέποτε ἀφυ
λακτον οἰκίαν
εἶναι

Ante luce surgen
ad. 3. conduce.

Domus q̃ his esse
debeat

Apophthegma. 7. sententia

∴ Π. καταβορρος



κτήματα μὲν, οἷον καρποῖς καὶ ἐσθῆτι ποία συμφέρει· καὶ τῶν καρπῶν ποία ξηροῖς καὶ ποία ὑγροῖς· καὶ τῶν ἄλλων κτημάτων, ποία ἐμψύχοις καὶ ποία ἀψύχοις· καὶ δούλοις καὶ ἐλευθέροις καὶ γυναιξὶ καὶ ἀνδράσι· καὶ ξένοις καὶ ἀστοῖς· καὶ πρὸς εὐημερίαν δὲ καὶ πρὸς ὑγίειαν δεῖ εἶναι εὔπνουν μὲν τοῦ θέρους, εὐήλιον δὲ τοῦ χειμῶνος, εἴη δ' ἂν ἡ τοιαύτη κατάκορρος οὖσα καὶ μὴ ἰσοπλατής. δοκεῖ δὲ καὶ ἐν ταῖς μεγάλαις οἰκονομίαις χρήσιμος εἶναι θυρωρός, ὃς ἂν ᾖ ἄχρηστος τῶν ἄλλων ἔργων, πρὸς σωτηρίαν τῶν εἰσφερομένων καὶ ἐκφερομένων· πρὸς δὲ χρῆσιν τῶν σκευῶν, τὸ λακωνικόν. χρὴ γὰρ ἕκαστον ἐν τῇ αὐτοῦ χώρᾳ κεῖσθαι· οὕτω γὰρ ἂν ἕτοιμον ὂν οὐ ζητοῖτο.

καταβορρος

Lacomicu praeceptu instrumentis singulis p̄pria loca destinanda

## ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΟΙΚΟΝΟΜΙΚΩΝ Β.

Τὸν οἰκονομεῖν μέλλοντα κατά τινα τρόπον, τῶν τε τόπων οὓς ἂν πραγματεύηται μὴ ἀπείρως ἔχειν καὶ τῇ φύσει εὐφυῆ εἶναι· καὶ τῇ προαιρέσει φιλόπονόν τε καὶ δίκαιον· ὅτι γὰρ ἂν ἀπῇ τούτων τῶν μερῶν, πολλὰ διαμαρτήσεται περὶ τὴν πραγματείαν ἣν μεταχειρίζεται. οἰκονομίαι δ' εἰσὶ τέτταρες ὡς ἐν τύπῳ διελέσθαι· τὰς γὰρ ἄλλας εἰς τοῦτο ἐμπιπτούσας εὑρήσομεν, βασιλική, σατραπική, πολιτική, ἰδιωτική. τούτων δὲ μεγίστη μὲν καὶ ἁπλουστάτη ἡ βασιλική· ποικιλωτάτη δὲ καὶ ῥᾴστη ἡ πολιτική· ἐλαχίστη δὲ καὶ ποικιλωτάτη ἡ ἰδιωτική. ἐπικοινωνεῖν μὲν τὰ πολλὰ ἀλλήλαις ἀναγκαῖόν ἐστιν· ὅσα δὲ μάλιστα ἰδίᾳ τῇ ἑκάστῃ συμβαίνει, ταῦτα ἐπισκεπτέον ἡμῖν ἐστι. πρῶτον μὲν τοίνυν τὴν βασιλικὴν ἴδωμεν. ἔστι δὲ αὕτη δυναμένη μὲν τὸ καθόλου· εἴδη δὲ ἔχουσα τέτταρα,

Oeconomia q̄druplex

περὶ



περὶ νόμισμα· περὶ τὰ ἐξαγώγιμα· περὶ τὰ εἰσαγώγιμα· περὶ τὰ ἀναλώματα. τούτων δὲ ἕκαστον μὲν περὶ τὸ νόμισμα λέγω ποῖον καὶ πότε τίμιον ἢ εὔωνον ποιητέον· περὶ δὲ τὰ εἰσαγώγιμα καὶ ἐξαγώγιμα· πότε καὶ τίνα παρὰ τῶν σατραπῶν ἐν τῇ τάξει ἐκλαβόντι αὐτῷ λυσιτελήσει διατίθεσθαι· περὶ δὲ τὰ ἀναλώματα τίνα περιαιρετέον· καὶ πότε καὶ πότερον δοτέον νόμισμα εἰς τὰς δαπάνας, ἢ ἀντὶ νομίσματος ὤνια. δεύτερον δὲ τὴν σατραπικήν. ἔστι δὲ ταύτης εἴδη ἓξ τῶν προσόδων· ἀπὸ γῆς· ἀπὸ τῶν ἐν τῇ χώρᾳ ἰδίων γινομένων· ἀπὸ ἐμπορίων· ἀπὸ τελῶν, ἀπὸ βοσκημάτων, ἀπὸ τῶν ἄλλων. αὐτῶν δὲ τούτων πρώτη μὲν καὶ κρατίστη ἡ ἀπὸ τῆς γῆς. αὕτη δέ ἐστιν ἣν οἱ μὲν ἐκφόριον· οἱ δὲ δεκάτην προσαγορεύουσι. δευτέρα δὲ ἡ ἀπὸ τῶν ἰδίων γινομένων, ὅπου μὲν χρυσίον, ὅπου δὲ ἀργύριον· ὅπου δὲ χαλκός, ὅπου δὲ ὁπόσα δύναται γίνεσθαι. τρίτη δὲ ἡ ἀπὸ τῶν ἐμπορίων. τετάρτη δὲ ἡ ἀπὸ τῶν κατὰ γῆν τε καὶ ἀγοραίων τελῶν γινομένη. πέμπτη δὲ ἡ ἀπὸ τῶν βοσκημάτων ἐπικαρπία τε ἢ δεκάτη καλουμένη. ἕκτη δὲ ἡ ἀπὸ τῶν ἄλλων, ἐπικεφάλαιόν τε καὶ χειρωνάξιον προσαγορευομένη. τρίτην δὲ τὴν πολιτικήν. ταύτης δὲ κρατίστη μὲν πρόσοδος ἡ ἀπὸ τῶν ἰδίων ἐν τῇ χώρᾳ γινομένων. εἶτα ἡ ἀπὸ ἐμπορίων καὶ διαγωγῶν, εἶτα ἡ ἀπὸ τῶν ἐγκυκλίων. τέταρτον δὲ καὶ τελευταῖον τὴν ἰδιωτικήν. αὕτη δέ ἐστιν ἀνώμαλος μὲν διὰ τὸ δεῖν μὴ πρὸς ἕνα σκοπὸν οἰκονομεῖν· ἐλαχίστη δὲ διὰ τὸ καὶ τὰς προσόδους καὶ τὰ ἀναλώματα βραχέα γίνεσθαι. αὐτῆς δὲ ταύτης κρατίστη μὲν πρόσοδος, ἡ ἀπὸ γεωργίας· δευτέρα δὲ ἡ ἀπὸ τῶν ἄλλων ἐγκυκλημάτων· τρίτη δὲ ἡ ἀπὸ ἀργυρίου. χωρὶς δὲ τούτων ὃ πᾶσι μὲν ἐπικοινωνεῖ ταῖς οἰκονομίαις καὶ προσήκει σκοπεῖν αὐτὸ μὴ παρέργως· μάλιστα δὲ ταύτῃ, τὸ τὰ ἀναλώματα μὴ μείζω τῶν προσόδων γίνεσθαι. ἐπεὶ τοίνυν τὰς διαιρέσεις εἰρήκαμεν, μετὰ τοῦτο πάλιν νοητέον ἡμῖν ἡ σατραπεία περὶ ἣν ἂν πραγματευώμεθα ἢ πόλις πότερον ἃ πάντα ἄρτι διειλόμεθα, ἢ τὰ μέγιστα τούτων ἐ-

Satrapica

ἐκφόριον ἢ δεκάτη

ἐπικαρπία ἢ δεκάτη

ἐπικεφάλαιοι

χειρωνάξιον

Politica

Idiotica

Sumptus nō debent ee maiori redditib.



ἐγκυκλίων

δύνασθαι τὸ φέρειν ἐστί, τούτοις χρηστέον· μετὰ δὲ τοῦτο τίνα τῶν προσόδων ἢ τὸ παράπαν ἐκλειπούσας, ἢ μικρὰ μὲν ὅσαι, μείζους δ' αἵτινες κατασκευασθῆναι, τῶν τε ἀναλωμάτων τῶν νῦν ἀναλισκομένων, τίνα τε καὶ πόσα περιαιρεθέντα ὅλα μηδὲν βλάψει. τὰ μὲν οὖν περὶ τὰς οἰκονομίας τίνα καὶ τὰ μέρη τὰ τούτων εἰρήκαμεν. ὅσα δέ τινες τῶν πρότερον πεπράχασιν εἰς πόρον χρημάτων ἢ τεχνικῶς διῳκήκασιν, ἃ ὑπολαμβάνομεν ἀξιόλογα αὐτῶν εἶναι, συναγηόχαμεν. οὐδὲ γὰρ ταύτην τὴν ἱστορίαν ἀχρεῖον ὑπολαμβάνομεν εἶναι· ἔστι γὰρ ὅτε τούτων ἐφαρμόσει τοῖς οἷα αὐτοὶ πραγματεύονται.

*Cypselus Corinthius* Κύψελος ὁ Κορίνθιος, εὐξάμενος τῷ θεῷ, ἐὰν κύριος γένηται τῆς πόλεως, τὰ ὄντα Κορινθίοις πάντα ἀναθήσειν, ἐκέλευσεν αὐτοὺς ἀπογράψασθαι. ἀπογραψαμένων δὲ τούτων, τὸ δέκατον μέρος παρ' ἑκάστου ἔλαβε, τοῖς δὲ λοιποῖς ἐκέλευσεν ἐργάζεσθαι. περιελθόντος δὲ τοῦ ἐνιαυτοῦ, τὸ αὐτὸ ἐποίησεν· ὥστε συνέβαινεν ἐν δέκα ἔτεσι κεῖνον ἔχειν ἅπαντα ἅπερ ἀνιέρωσε, τοὺς τε Κορινθίους ἑτέρα κεκτῆσθαι.

*Lygdamis Naxius* Λύγδαμις Νάξιος ἐκβαλὼν φυγάδας, ἐπειδὴ τὰ κτήματα αὐτῶν οὐθεὶς ἤθελεν, ἀλλ' ἢ βραχέος ἀγοράζειν, αὐτοῖς τοῖς φυγάσιν ἀπέδοτο. τά τε ἀναθήματα ὅσα ἦν αὐτῶν ἐν τοῖς ἐργαστηρίοις ἡμίεργα ἀνακείμενα, ἐπώλει τοῖς φυγάσι, καὶ τῶν ἄλλων τῷ βουλομένῳ, ὥστε ἐπιγραφῆναι τὸ τοῦ πριαμένου ὄνομα.

*Byzantii* Βυζάντιοι δεηθέντες χρημάτων, τὰ τεμένη τὰ δημόσια ἀπέδοντο, τὰ μὲν κάρπιμα χρόνον τινά, τὰ δὲ ἄκαρπα ἀενάως· τά τε θιασωτικὰ καὶ τὰ πατριωτικὰ ὡσαύτως, καὶ ὅσα ἐν χωρίοις ἰδιωτικοῖς ἦν· ὠνοῦντο γὰρ πολλῷ ἦν πρὸ ἄλλο κτῆμα. τοῖς δὲ θιασώταις ἕτερα τὰ δημόσια, ὅσα ἦν περὶ γυμνάσιον ἢ τὴν ἀγορὰν ἢ τὸν λιμένα. τούς τε τόπους τοὺς ἀγοραίους ἐν οἷς ἐπώλει τις τι, καὶ τῆς θαλάττης τὴν ἁλιείαν, καὶ τὴν τῶν ἁλῶν ἁλατοπωλίαν. *ἁλαντοπωλίαν* τῶν τε ἐργαζομένων θαυματοποιῶν καὶ μάντεων καὶ φαρμακοπωλῶν καὶ τῶν ἄλλων τῶν τοιούτων τὸ τρίτον

μέρος

μέρος τοῦ ἐργαζομένου ἀποτελεῖν ἔταξαν. τὴν τε νομισμάτων τὴν καταλλαγὴν ἀπέδοντο μιᾷ τραπέζῃ· ἑτέρῳ δὲ οὐκ ἦν οὐθενὶ οὔτε ἀποδόσθαι ἑτέρῳ οὔτε πρίασθαι παρ' ἑτέρου· εἰ δὲ μή, στέρησις ἦν. ὄντος δὲ νόμου αὐτοῖς μὴ εἶναι πολίτην ὃς ἂν μὴ ἐξ ἀμφοτέρων ᾖ, χρημάτων δεηθέντες, ἐψηφίσαντο τὸν ἐξ ἑνὸς ὄντα αὐτοῦ καταβαλόντα μνᾶς τριάκοντα εἶναι πολίτην. σιτοδείας δὲ γενομένης καὶ ἀπορούντες χρημάτων, κατῆγον τὰ πλοῖα τὰ ἐκ τοῦ Πόντου· χρόνου δὲ γενομένου, οἱ ἔμποροι ἠγανάκτουν· ἐτίνουν αὐτοῖς τόκους ἐπιδεκάτους. τοῖς δὲ ὠνουμένοις τὸ ἔταξαν χωρὶς τῆς τιμῆς διδόναι καὶ ἐπιδέκατον. μετοίκων δέ τινων ἐπιδεδανεικότων ἐπὶ κτήμασιν, οὐκ οὔσης αὐτοῖς ἐγκτήσεως, ἐψηφίσαντο τὸ τρίτον μέρος εἰσφέροντα τοῦ δανείου τὸν βουλόμενον κυρίως ἔχειν τὸ κτῆμα.

*Hippias* Ἱππίας ὁ Ἀθηναῖος τὰ ὑπερέχοντα τῶν ὑπερῴων εἰς τὰς δημοσίας ὁδοὺς καὶ τοὺς ἀναβαθμοὺς καὶ τὰ προφράγματα καὶ τὰς θύρας τὰς ἀνοιγομένας ἔξω ἐπώλησεν. ὠνοῦντο οὖν ὧν ἦν τὰ κτήματα, καὶ συνελέγη χρήματα οὕτως συχνά. τό τε νόμισμα τὸ ὂν Ἀθηναίοις ἀδόκιμον ἐποίησε, τάξας δὲ τιμὴν ἐκέλευσε πρὸς αὐτὸν ἀνακομίζειν. συνελθόντων δὲ ἐπὶ τῷ κόψαι ἕτερον χαρακτῆρα, ἐξέδωκε τὸ αὐτὸ ἀργύριον. ὅσοι τε ἔμελλον τριηραρχεῖν ἢ φυλαρχεῖν ἢ χορηγεῖν ἤ τινα εἰς ἑτέραν λειτουργίαν τοιαύτην μέλλοντα δαπανᾶν, τίμημα τάξας μέτριον, ἐκέλευσε τὸν βουλόμενον ἀποτίσαντα τοῦτο ἐγγράφεσθαι εἰς τοὺς λελειτουργηκότας. *τριηραρχεῖν φυλαρχεῖν χορηγεῖν* τῇ τε ἱερείᾳ τῆς Ἀθηνᾶς τῆς ἐν ἀκροπόλει ὑπὲρ τοῦ ἀποθανόντος φέρειν χοίνικα κριθῶν καὶ πυρῶν ἑτέραν καὶ ὀβολόν, καὶ ὅτῳ ἂν παιδάριον γένηται, τὸ αὐτὸ τοῦτο.

*Potidaeatae* Ἀθηναῖοι οἱ ἐν Ποτιδαίᾳ οἰκοῦντες, δεόμενοι χρημάτων εἰς τὸν πόλεμον, ἀπογράψασθαι ἅπασι συνέταξαν τὰς οὐσίας μὴ ἀθρόας εἰς τὸν αὐτοῦ δῆμον ἕκαστον, ἀλλὰ κατὰ κτῆμα ἐν ᾧ τόπῳ ἕκαστον εἴη, ἵνα οἱ πένητες δύνωνται ὑποτιμᾶσθαι. ὅτῳ δὲ μὴ ἦν κτῆμα

ψψψψ 5

μηθέν, τὸ σῶμα δημόσιον τιμήσασθαι. ἀπὸ τούτων οὖν εἰσέφερον τὸ ἐπιγραφὲν ἕκαστος σώζων τῇ πόλει. Antissæi Ἀντισσαῖοι δὲ δεηθείσης τῆς πόλεως χρημάτων, εἰθισμένων λαμπρῶς ἄγειν Διονύσια, ἔν οἷς ἄλλα τε πολλὰ ἀνήλισκον ἐξ ἐνιαυτοῦ παρασκευάζοντες, καὶ ἱερεῖα πολυτελῆ, ὑπεγγύου δὲ οὔσης ταύτης τῆς ἑορτῆς, ἔπεισεν αὐτοὺς τῷ μὲν Διονύσῳ εὔξασθαι εἰς νέωτα ἀποδώσειν διπλάσια. ταῦτα δὲ συναγαγόντας ἀποδόσθαι. συνελέγη οὖν αὐτοῖς χρήματα οὐκ ὀλίγα πρὸς τὴν χρείαν.

Lampsaceni Λαμψακηνοὶ δὲ προσδοκίμων οὐσῶν τριήρων πολλῶν πρὸς αὐτοὺς, ὄντος μεδίμνου τῶν ἀλφίτων τετραδράχμου, προσέταξαν τοῖς ἀγοραίοις πωλεῖν ἑξαδράχμου. καὶ τοῦ ἐλαίου τὸν χοᾶ ὄντα δραχμῶν τεττάρων καὶ τριωβόλου. τοῦ τε οἴνου καὶ τῶν ἄλλων ὡσαύτως. τὴν μὲν οὖν ἀρχαίαν τιμὴν ἐλάμβανεν ὁ ἰδιώτης. τὸ δὲ πλέον ἡ πόλις. καὶ εὐπόρησε χρημάτων.

Heracleotæ Ἡρακλεῶται πέμποντες ναῦς τετταράκοντα ἐπὶ τοὺς ἐν Βοσπόρῳ τυράννους, οὐκ εὐπορούμενοι χρημάτων παρὰ τῶν ἐμπόρων συνηγόρασαν τόν τε σῖτον πάντα καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον. καὶ τὴν ἄλλην ἀγοράν. χρόνου δὲ ἱσαμένου ἐν ᾧ ἔμελλον ἀποδώσειν τὴν τιμήν. τοῖς δὴ ἐμπόροις καλῶς εἶχε μὴ κοτυλίζειν, ἀλλ' ἀθρόα τὰ φορτία πεπρᾶσθαι. ἐκεῖνοί τε διδόντες διμήνου μισθὸν παρῆγον, ἀλλὰ τὴν ἀγορὰν ἐν ὁλκάσιν ἄνδρα ταμίαν ἐπέστησαν ἐφ' ἑκάστῃ τῶν νεῶν. ἀφικομένων δὲ εἰς τὴν πολεμίαν αὐτῶν, ἠγόραζον οἱ στρατιῶται παρὰ τούτων ἅπαντα. πρότερον συνελέγη τὸ ἀργύριον ἐδίδοσαν οἱ στρατηγοὶ πάλιν τὸν μισθόν. ὥστε συνέβαινε ταὐτὸ τὸ ἀργύριον δίδοσθαι ἕως εἰς οἶκον ἀπῆλθον.

Lacedæmonij Λακεδαιμόνιοι Σαμίων δεηθέντων χρήματα αὐτοῖς εἰς τὴν κάθοδον δοῦναι, ἐψηφίσαντο μίαν ἡμέραν καὶ αὐτοὺς καὶ τοὺς οἰκέτας καὶ τὰ ὑποζύγια νηστεῦσαι. ὅσον δὲ ἔδει δαπανᾶν ἕκαστον, τοσοῦτον δοῦναι τοῖς Σαμίοις.

Carthaginēses Καρχηδόνιοι δὲ ξένων ἐν τῇ πόλει συχνῶν παρ' αὐτοῖς στρατευομένων, ὀφείλοντες αὐτοῖς μισθὸν

οὐκ ἠ



οὐκ ἠδύναντο διαλῦσαι. ἀνήγγειλαν οὖν, εἴ τις τῶν πολιτῶν ἢ μετοίκων, σύλην ἔχει κατὰ πόλεως ἢ ἰδιώτου, ἢ βούλεται λαβεῖν, ἀπογράφεσθαι. ἀπογραψαμένων δὲ συχνῶν, τὰ πλοῖα τὰ πλέοντα εἰς τὸν Πόντον ἐσύλων μετὰ προφάσεως εὐλόγου. ἔταξε δὲ χρόνον, ἐν ᾧ λόγον ὑπὲρ αὐτῶν ἔφασαν ποιήσασθαι. συλλεγέντων δὲ χρημάτων συχνῶν, τοὺς μὲν στρατιώτας ἀπήλλαξαν. ὑπὲρ δὲ τῶν συλῶν διεδικάσαντο. τοῖς δὲ μὴ δικαίως συληθεῖσιν, ἡ πόλις ἀπὸ τῶν προσόδων ἀπεδίδου. σύλαν

Cyziceni Κυζικηνοὶ δὲ στασιασάντες πρὸς ἀλλήλους ἐπικρατήσαντος τοῦ δήμου. τῶν δὲ πλουσίων συνειλημμένων, ὀφείλοντες χρήματα στρατιώταις ἐψηφίσαντο μὴ θανατῶσαι τοὺς συνειλημμένους, ἀλλὰ χρήματα πραξαμένους φυγαδεῦσαι.

Chij Χῖοι δὲ νόμου ὄντος αὐτοῖς ἀπογράφεσθαι τὰ χρέα εἰς τὸ δημόσιον, δεηθέντες χρημάτων, ἐψηφίσαντο τοὺς ὀφείλοντας μὲν ἀποδοῦναι τῇ πόλει τὰ δάνεια. τὴν δὲ πόλιν ἐκ τῶν προσόδων τοὺς τόκους τοῖς δεδανεικόσι καταφέρειν. ἕως ἂν καὶ τὸ ἀρχαῖον εὐπορήσωσι.

Mausolus Μαύσωλος ὁ Καρίας τύραννος πέμποντος βασιλέως πρὸς αὐτὸν ἐπὶ τὸ τοὺς φόρους δοῦναι, συναγαγὼν τοὺς εὐπορωτάτους ἐν τῇ χώρᾳ, ἔλεγεν ὅτι ὁ βασιλεὺς, αἰτεῖ τοὺς φόρους. αὐτὸς δὲ οὐκ εὐπορεῖται. κατασκευαστοὶ δὲ ἄνδρες αὐτῷ εὐθέως ἐπηγγέλλοντο ὅσον εἰσοίσει ἕκαστος. τούτων δὲ τοῦτο πραξάντων, οἱ εὐπορώτεροι, τὰ μὲν αἰσχυνόμενοι τὰ δὲ φοβούμενοι, πολλῷ τούτων πλείω ἐπηγγέλλοντό τε καὶ εἰσέφερον.

Mausolus Πάλιν δεηθεὶς χρημάτων, ἐξεκκλησιάσας τοῖς Μυλασεῦσιν ἔλεγεν, ὅτι μητρόπολις οὖσα ἡ πόλις αὐτοῦ ἀτείχιστός ἐστιν. ὁ δὲ βασιλεὺς ἐπ' αὐτὸν στρατεύει. ἐκέλευσεν οὖν τοὺς Μυλασεῖς φέρειν ἕκαστον ὅτι πλεῖστα χρήματα, φάσκων, αὐτοὺς τοῖς νῦν εἰσενεχθεῖσι καὶ τὰ λοιπὰ σώζειν. εἰσενεχθέντων δὲ πολλῶν, τὰ μὲν χρήματα εἶχε. τὸ δὲ τεῖχος οὐκ ἔφη τὸν θεὸν ἐν τῷ παρόντι οἰκοδομεῖν.

Condalus Κονδάλος Μαυσώλου ὕπαρχος ὁπότε διὰ πορευομένῳ αὐτῷ

διὰ τῆς χώρας, προσενέγκοι τις πρόβατον ἢ μόσχον, ἀπογραψά-
μενος τὸν δόντα καὶ τὸν χρόνον, ἀπαγαγόντα εἰς οἶκον, ἐκέλευσε
τρέφειν ἕως ἂν ἐπανέλθοι. ὁπότε δὲ δοκοίη χρόνος ἱκανὸς εἶναι,
αὐτό τε τὸ τραφὲν καὶ τὴν ἐπικαρπίαν λογισάμενος ἀπῄτει.
τῶν τε δένδρων τὰ ὑπερέχοντα ἢ πίπτοντα εἰς τὰς ὁδοὺς τὰς
βασιλικὰς ἐπώλει τὰς ἐπικαρπίας. τῶν δὲ στρατιωτῶν εἴ τις τε-
λευτήσειε, διαπύλιον ἐπώλει δραχμὴν τοῦ σώματος· ἅμα
οὖν ἐντεῦθεν καὶ ἀργύριον ἐλάμβανεν· ἅμα τε οἱ ἡγεμόνες οὐ-
παρεκρούοντο αὐτόν, πότε τις τετελεύτηκεν ὁ στρατιώτης. Τοὺς

Lycij comati

τε Λυκίους ὁρῶν ἀγαπῶντας τὸ τρίχωμα φέρειν, ἔφησε γράμ-
ματα ἥκειν παρὰ βασιλέως, κόμας ἀποστεῖλαι εἰς προσκό-

προσκόμια

μια· προστετάχθαι οὖν αὐτῷ ὑπὸ Μαυσώλου ἀποκεῖραι αὐ-
τούς. ἔφησεν οὖν, εἰ βούλονται ἐπικεφάλαιον τακτὸν δοῦναι,

ἐπικεφάλαι

μεταπέμψασθαι ἐκ τῆς Ἑλλάδος κόμην. οἱ δὲ ἀσμένως ἔδοσαν
ὃ ᾔτει. καὶ συνελέγη χρήματα πολλὰ ἀπὸ πολλοῦ ὄχλου. Ἀ-
ριστοτέλης ῥόδιος ἄρχων Φωκαίας ἀπορῶν χρημάτων, ὁρῶν

Aristoteles rhodius

στάσεις οὔσας δύο τῶν Φωκαιέων, λόγους ἐποιήσατο πρὸς τὴν ἑ-
τέραν στάσιν ἐν ἀπορρήτοις φάσκων αὐτῷ διδόναι χρήματα τοὺς
ἑτέρους, ἐφ' ᾧ αὐτοῖς τὰ πράγματα ἐγκλῖναι· αὐτὸς δ' ἂν μᾶλλον

Phocea. V.

βούλεσθαι παρὰ τούτων λαβεῖν καὶ τὰ περὶ τὴν πόλιν τού-
τοις διοικεῖν παραδοῦναι. ἀκούσαντες δὲ ταῦτα, εὐθέως τὰ χρή-
ματα οἱ παρόντες ὅσα ἐκέλευσεν ἔδωκαν. ὁ δὲ τοῖς ἑτέροις πᾶ-
σιν ἔδειξεν ἃ εἰληφὼς εἴη παρὰ τῶν ἑτέρων. οἱ δὲ καὶ αὐτοὶ ἔδο-
σαν οὐκ ἐλάττω. λαβὼν δὲ παρ' ἀμφοτέρων κατήλλαξεν αὐτοὺς
πρὸς ἀλλήλους. τοῖς τε πολίταις κατιδὼν οὔσας δίκας πολλάς,
καὶ μεγάλας ἐκ πολλοῦ χρόνου ἀδικίας, τούτοις διὰ πολέμου δικα-
στήριον καθίσας, προεῖπεν ὅσοι ἂν μὴ δικάσωνται, μόνον δ' ἔθη-
κε μηκέτι εἶναι ὑπὲρ τῶν προτέρων ἐγκλημάτων κρίσεις. τό τε
δὴ παράβολον πολλῶν δικῶν καὶ τοὺς ἐγκλήτους μετεπιτιμί-
ου ἐφ' αὑτὸν ποιούμενος καὶ παρ' ἑκατέρων δι' ἑτέρων λαμβάνων

συνήγα



συνήγαγεν οὐκ ὀλίγα χρήματα. Κλαζομένιοι δὲ ἐν σιτοδείᾳ

Clazomenij

ὄντες χρημάτων ἀποροῦντες, ἐψηφίσαντο παρ' οἷς ἔλαιόν ἐστι
τῶν ἰδιωτῶν δανεῖσαι τῇ πόλει ἐπὶ τόκῳ· γίνεται δὲ πολὺς οὗτος ὁ καρ-
πὸς ἐν τῇ χώρᾳ αὐτῶν. δανεισάντων δὲ, μισθωσάμενοι πλοῖα
ἀπέστειλαν εἰς τὰ ἐμπόρια, ὅθεν αὐτοῖς ἧκε σῖτος, ὑποθή-
κης γενομένης τῆς τοῦ ἐλαίου τιμῆς. ὀφείλοντες στρατιώταις μι-
σθὸν εἴκοσι τάλαντα καὶ οὐ δυνάμενοι, τόκον ἔφερον τοῖς ἡγεμόσι
τέσσαρα τάλαντα τοῦ ἐνιαυτοῦ. ἐπεὶ δὲ τοῦ μὲν ἀρχαίου ἀπέκο-
πτον οὐθὲν, ἀεὶ δὲ μάτην ἐδαπάνων, νόμισμα ἐκόψαντο σιδηροῦν
εἰς ἀργυρίου λόγον, εἴκοσι ταλάντων. εἶτα διέδοσαν τοῖς εὐπορω-
τάτοις ἐν τῇ πόλει κατὰ λόγον ἑκάστῳ, παρ' ἐκείνων ἔλαβον ἴ-
σον. οἵ τε οὖν ἰδιῶται εἶχον εἰς τὰς καθ' ἡμέραν χρείας ἀναλί-
σκειν, καὶ ἡ πόλις τοῦ χρέους ἀπηλλάγη. δεύτερον δὲ ἐκ τῶν προσό-
δων ἐκείνοις τόν τε τόκον κατέφερον ἀεὶ διαιροῦντες ἑκάστῳ
πρὸς μέρος διέδοσαν. τοὺς δὲ σιδηροῦς ἐκόμιζον. Σηλυβριανοὶ

Selybriani

δὲ δεηθέντες χρημάτων, νόμου ὄντος αὐτοῖς σῖτον μὴ ἐξάγειν ἐν λι-
μῷ γενομένοις, ἐκείνοις δὲ ὑπάρχοντος σίτου παλαιοῦ, ἐψηφί-
σαντο τῇ πόλει παραδοῦναι τοὺς ἰδιώτας τὸν σῖτον τῆς τε-
ταγμένης τιμῆς, ὑπολειπόμενον ἕκαστον ἐνιαυτοῦ τροφήν. εἶτα
ἐξαγωγὴν ἔδωκαν τῷ βουλομένῳ, τάξαντες τιμὴν ἣν ἐδόκει
καλῶς ἔχειν αὐτοῖς. Ἀβυδηνοὶ δὲ διὰ στασιασμὸν τῆς χώρας ἀρ-

Abydeni

γοῦ γενομένης, καὶ τῶν μετοίκων οὐ προϊεμένων αὐτοῖς οὐδὲν διὰ τὸ
ἔτι ὀφείλειν, ἐψηφίσαντο τὸν βουλόμενον τοῖς γεωργοῖς δα-
νείζειν, ὡς ἐργάσωνται, ὡς πρώτοις αὐτοῖς ἐσομένης τῆς κομι-
δῆς ἐκ τοῦ καρποῦ, τοῖς δ' ἄλλοις ἐκ τῶν λειπομένων. Ἐφέσιοι

Ephesij

δεηθέντες χρημάτων, νόμον ἔθεντο μὴ φορεῖν χρυσὸν τὰς γυ-
ναῖκας, ὅσον δὲ νῦν ἔχουσι δανεῖσαι τῇ πόλει. τῶν τε κιόνων τῶν
ἐν τῷ νεῷ τάξαντες ἀργύριον ὃ δεῖ καταβαλεῖν, εἴων ἐπι-
γράφεσθαι τὸ ὄνομα τοῦ δόντος ἀργύριον ὡς ἀνατεθεικότος.
Διονύσιος Συρακουσίοις βουλόμενος χρήματα συναγαγεῖν,

Dionysius Syracu

ἐκκλησίαν ποιήσας ἔφησεν ἑωρακέναι τὴν Δήμητρα· καὶ

χώρας ἀργοῦ

κελεύσας τὸν τῶν γυναικῶν κόσμον εἰς τὸ ἱερὸν ἀποκομίζειν· αὐτὸς μὲν οὖν τῶν παρ' αὑτῷ γυναικῶν τὸν κόσμον φὰς τεθεικέναι ἠξίου δὲ καὶ τοὺς ἄλλους, μή τι μήνιμα παρὰ τῆς θεοῦ γένηται. τὸν δὲ μὴ τοῦτο ποιήσαντα, ἔνοχον ἔφησεν ἱεροσυλίας ἔσεσθαι. ἀνενεγκάντων δὲ πάντων ἃ εἶχον διὰ τὴν θεὸν καὶ διὰ ἐκεῖνον, θύσας τῇ θεῷ, τὸν κόσμον ἀπηνέγκατο, ὡς παρὰ τῆς θεοῦ δεδανεισμένος. προελθόντος δὲ χρόνου καὶ τῶν γυναικῶν πάλιν φορουσῶν, ἐκέλευσε τὴν βουλομένην χρυσοφορεῖν, τάγματα ἀνατιθέναι ἐν τῷ ἱερῷ. τριήρεις δὲ ναυπηγήσειν μέλλων, ᾔδει ὅτι δεήσοι τῶν χρημάτων. ἐκκλησίαν οὖν συναγαγὼν, ἔφη πόλιν αὐτῷ τινα προδίδοσθαι, εἰς ἣν δεῖσθαι χρημάτων. ἠξίου τε αὐτῷ τοὺς πολίτας εἰσενεγκεῖν δύο στατῆρας ἕκαστον. οἱ δὲ εἰσήνεγκαν. διαλιπὼν δὲ δύο ἢ τρεῖς ἡμέρας, ὡς διημαρτηκὼς τῆς πράξεως, ἐπαινέσας αὐτοὺς, ἀπέδωκεν ἑκάστῳ ὃ εἰσήνεγκαν. ποιήσας δὲ τοῦτο ἀνεκτήσατο τοὺς πολίτας. εἶτα πάλιν οἰόμενοι ἀπολήψεσθαι εἰσήνεγκαν. ὁ δὲ λαβὼν εἶχεν εἰς τὴν ναυπηγίαν. οὐκ εὐπορῶν δὲ ἀργυρίου, νόμισμα ἔκοψε καττιτέρου καὶ συναγαγὼν ἐκκλησίαν, πολλὰ ὑπὲρ τοῦ κεκομμένου νομίσματος ὑπερεῖπεν. οἱ δὲ ἐψηφίσαντο καὶ μὴ βουλόμενοι ἕκαστος ὃ ἂν ἕλοιτο ἔχειν ὡς ἀργυροῦν, ἀλλὰ μὴ καττιτέρινον. πάλιν τε δεηθεὶς χρημάτων, ἠξίου τοὺς πολίτας εἰσενεγκεῖν αὐτῷ. οἱ δ' οὐκ ἔφασαν ἔχειν. ἐξενέγκας οὖν τὰ σκεύη τὰ παρ' αὐτοῦ, ἐπώλει ὡς δι' ἀπορίαν. τούτων δὲ ἀγοραζόντων τῶν Συρακοσίων, ἀπεγράφετο τί ἕκαστος ἀγοράσειεν. ἐπεὶ δὲ τὴν τιμὴν κατέβαλον, ἐκέλευσε τὸ σκεῦος ἀναφέρειν ἕκαστον ὃ ἠγόρασε. τῶν δὲ πολιτῶν διὰ τὰς εἰσφορὰς οὐ τρεφόντων βοσκήματα, εἶπεν ὅτι ἱκανὰ ἔχει αὐτῷ πρὸς τὸ νῦν· τοὺς οὖν νῦν κτησαμένους ἀτελεῖς ἔσεσθαι. πολλῶν δὲ ταχὺ κτησαμένων πολλὰ βοσκήματα ὡς ἀτελῆ ἑξόντων, ἐπεὶ καιρὸς τὸ εἶναι τιμήσασθαι κελεύσας, ἐπέβαλε τέλος. οἱ δὲ πολῖται ἀγανακτήσαντες ἐπὶ τῷ ἐξηπατῆσθαι, σφάζοντες ἐπώλουν. ὡς δὲ πρὸς τοῦτο

ἔταξε



ἔταξε σφάζεσθαι ὅσα δέοι τῆς ἡμέρας. οἱ δὲ πάλιν ἱερεῖα ἔθυον. ὁ δὲ ἀπεῖπε θῆλυ μὴ θύειν. πάλιν δεηθεὶς χρημάτων ἐκέλευσεν ἀπογράψασθαι χρήματα πρὸς αὐτὸν ὅσοι οἶκοι εἰσὶν ὀρφανικοί. ἀπογραψαμένων δὲ ἄλλων, τὰ τούτων χρήματα ἀπεχρᾶτο ἕως ἕκαστος εἰς ἡλικίαν ἔλθοι. Ῥήγιόν τε καταλαβὼν, ἐκκλησίαν συναγαγὼν εἶπε διότι δικαίως μὲν ἂν ἐξανδραποδισθείη ὑπ' αὐτοῦ. νῦν μέντοι τὰ εἰς τὸν πόλεμον ἀνηλωμένα χρήματα κομισάμενος καὶ ὑπὲρ ἑκάστου σώματος τρεῖς μνᾶς, ἀφήσειν αὐτούς. οἱ δὲ Ῥηγῖνοι ὅσα ποτὲ ἦν αὐτοῖς ἀποκεκρυμμένα ἐμφανῆ ἐποίουν. καὶ οἱ ἄποροι παρὰ τῶν εὐπορωτέρων καὶ παρὰ τῶν ξένων δανειζόμενοι ἐπόρισαν ἃ ἐκέλευε χρήματα. λαβὼν δὲ ταῦτα παρ' αὐτῶν, τά τε σώματα πάντα οὐδὲν ἧττον ἀπέδοτο, τά τε σκεύη ἃ τότε ἦν ἀποκεκρυμμένα ἐμφανῆ, ἅπαντα ἔλαβε. δανεισάμενός τε παρὰ τῶν πολιτῶν χρήματα ἐπ' ἀποδόσει, ὡς ἀπῄτουν αὐτὸν, ἐκέλευσεν ἀναφέρειν ὅσον ἔχει τις ἀργύριον πρὸς αὐτόν. εἰ δὲ μὴ, θάνατον ἔταξε τὸ ἐπιτίμιον. ἀνενεχθέντος δὲ τοῦ ἀργυρίου, ἐπικόψας χαρακτῆρα ἐξέδωκε, τὴν δραχμὴν δύο δύνασθαι δραχμάς, καὶ τό, τε ὀφειλόμενον πρότερον ἀνήνεγκαν πρὸς αὐτόν. ἐς Τυρρηνίαν τε πλεύσας ναυσὶν ἑκατὸν, ἔλαβεν ἐκ τοῦ τῆς Λευκοθέας ἱεροῦ, χρυσίον τε καὶ ἀργύριον πολὺ καὶ τὸν ἄλλον κόσμον οὐκ ὀλίγον. εἰδὼς δὲ ὅτι καὶ οἱ ναῦται πολλὰ ἔχουσι, κήρυγμα ἐποίησε τὰ ἡμίσεα ὧν ἔχει ἕκαστος ἀναφέρειν πρὸς αὐτόν. τὰ δὲ ἡμίσεα ἔχειν τὸν λαβόντα. τῷ δὲ μὴ ἀνενέγκαντι θάνατον ἔταξε τὸ ἐπιτίμιον. ὑπολαβόντες δὲ οἱ ναῦται ἀνενεγκόντες τὰ ἡμίσεα τὰ λοιπὰ ἕξειν ἀδεῶς, ἀνήνεγκαν. ὁ δὲ ἐπεὶ ταῦτα ἔλαβεν, ἐκέλευσε πάλιν τὰ ἡμίσεα ἀναφέρειν. Μενδαῖοι δὲ τὰ μὲν ἀπὸ λιμένων καὶ τῶν ἄλλων τελῶν αὐτοῖς προσποριζόμενα ἐχρῶντο εἰς διοίκησιν τῆς πόλεως. τὰ δὲ ἀπὸ τῆς γῆς καὶ οἰκιῶν τέλη, οὐκ ἔπραττον, ἀλλ' ἀνέγραφον τοὺς ἔχοντας

Mnedæi

∴ Μενδαῖοι

ὁπόταν δὲ δεηθεῖεν χρημάτων ἀπεδίδοσαν ὀφείλοντες. ἐκέρδαινον οὖν τὸν παρεληλυθότα χρόνον ἀτόκοις τοῖς χρήμασιν. ἀποκεχρημένοι πολεμοῦντες πρὸς Ὀλυνθίους καὶ δεόμενοι χρημάτων, ὄντων αὐτοῖς ἀνδραπόδων, ἐψηφίσαντο καταλειπομένων ἑνὶ ἑκάστῳ θήλεος καὶ ἄρρενος, τὰ ἄλλα ἀποδόσθαι τῇ πόλει, ὥστε ἐκδανεῖσαι τοὺς ἰδιώτας χρήματα.

*Callistratus*

Καλλίστρατος ἐν Μακεδονίᾳ πωλουμένου τοῦ ἐλλιμενίου ὡς ἐπὶ τὸ πολὺ εἴκοσι ταλάντων ἐποίησεν εὑρεῖν τὸ διπλάσιον. κατιδὼν γὰρ ὠνουμένους τοὺς εὐπορωτέρους ἀεὶ διὰ τὸ δεῖν ταλαντιαίους καθιστάναι τοὺς ἐγγύους τῶν εἴκοσι ταλάντων, προεκήρυξεν ὠνεῖσθαι τὸν βουλόμενον, καὶ τοὺς ἐγγύους καθιστάναι τοῦ τρίτου μέρους καὶ καθ᾽ ὁπόσον ἕκαστος δύναιτο πείθειν.

*Timotheus*

Τιμόθεος Ἀθηναῖος πολεμῶν πρὸς Ὀλυνθίους καὶ ἀπορούμενος ἀργυρίου, κόψας χαλκὸν διεδίδου τοῖς στρατιώταις. ἀγανακτούντων δὲ τῶν στρατιωτῶν, ἔφη αὐτοῖς τοὺς ἐμπόρους τε καὶ ἀγοραίους ἅπαντας ὡσαύτως πωλήσειν. τοῖς δὲ ἐμπόροις προεῖπεν ὃν ἄν τις λάβῃ χαλκόν, τούτου πάλιν ἀγοράζειν τά τε ἐκ τῆς χώρας ὤνια καὶ τὰ ἐκ τῶν λειῶν ἀγόμενα. ὃς δ᾽ ἂν περιλειφθῇ αὐτοῖς χαλκὸς πρὸς αὐτὸν ἀναφέροντας ἀργύριον λαμβάνειν. περὶ Κέρκυραν δὲ πολεμῶν καὶ ἀπόρως διακείμενος, καὶ τῶν στρατιωτῶν αἰτούντων τοὺς μισθοὺς καὶ ἀπειθούντων αὐτῷ, καὶ πρὸς τοὺς ἐναντίους φασκόντων ἀποτρέψεσθαι, ἐκκλησίαν συναγαγὼν ἔφησεν οὐ δύνασθαι διὰ τοὺς χειμῶνας παραγίνεσθαι αὐτῷ ἀργύριον. ἐπεὶ τοσαύτην εἶναι περὶ αὐτὸν εὐπορίαν, ὥστε τὴν προδεδομένην τρίμηνον σιταρκίαν δωρεὰν αὐτοῖς διδόναι. οἱ δὲ ὑπολαβόντες οὐκ ἄν ποτε προέσθαι τοσαῦτα χρήματα τὸν Τιμόθεον αὐτοῖς, εἰ μὴ τῇ ἀληθείᾳ προσεδόκα ἥξειν τὰ χρήματα πρὸς αὐτόν, ἡσυχίαν εἶχον ὑπὲρ τῶν μισθῶν, ἕως ἐκεῖνος διῴκησεν ἃ ἐβούλετο. Σάμον δὲ πολιορκῶν τοὺς καρποὺς καὶ





τὰ ἐπὶ τῶν ἀγρῶν ἀπεδίδοτο αὐτοῖς τοῖς Σαμίοις, ὥστε εὐπορεῖν χρημάτων εἰς μισθοὺς τοῖς στρατιώταις. τῶν τε ἐπιτηδείων ἐπεὶ σπάνις ἦν ἐν τῷ στρατοπέδῳ διὰ τοὺς ἀφικνουμένους, ἀπηγόρευσε μὴ πωλεῖν σῖτον ἀληλεσμένον, μηδὲ μέτρον ἔλασσον ἢ μέδιμνον, μηδὲ τῶν ὑγρῶν μηδὲν ἔλαττον ἢ μετρητόν. οἱ μὲν οὖν ταξίαρχαί τε καὶ λοχαγοὶ ἀγοράζοντες ἀθρόα, διεδίδοσαν τοῖς στρατιώταις, οἱ δὲ εἰσαφικνούμενοι ἦγον αὐτοῖς τὰ ἐπιτήδεια, ὁπότε ἀπαλλάττοιντο, τὸ ἔτι περίλοιπον εἴη, αὐτοῖς ἐπώλουν. ὥστε συνέβαινεν εὐπορεῖσθαι τοὺς στρατιώτας τῶν ἐπιτηδείων.

*Didales*

Διδάλης Πέρσης ἔχων στρατιώτας, τὰ μὲν καθ᾽ ἡμέραν πορίζειν ἐδύνατο ἐκ τῆς πολεμίας αὐτοῖς. νόμισμα δὲ οὐκ ἔχων διδόναι, ἀπαιτούμενος δέ, χρόνου γενομένου, οὗ ὤφειλε, τεχνάζει τοιόνδε. ἐκκλησίαν συνάγων ἔφη οὐκ εὐπορεῖσθαι χρημάτων ἀλλ᾽ εἶναι αὐτῷ ἐν χωρίῳ τινί, λέγων τὸ χωρίον εἴη. ἀναζεύξας ἐβάδιζεν ἐπ᾽ αὐτό. εἶτα ὡς ἐγγὺς τῆς χώρας ἐγένετο, προελθὼν εἰς αὐτὸ ἔλαβεν ἐκ τῶν ἐνόντων ἱερῶν, ὅσος ἦν κοῖλος ἄργυρος. ἔπειτα ἐπισημάνας τοὺς ἡμιόνους ὡς ἀγούσας ἀργύριον παραφαινούσας τε ταῦτα ἐβάδιζεν. ἰδόντες δὲ οἱ στρατιῶται καὶ νομίσαντες ἅπαν τοῦτο εἶναι ἀργύριον τὸ ἀγόμενον, ἐθάρρησαν ὡς κομιούμενοι τὸν μισθόν. ὁ δὲ ἔφη δεῖν εἰς Ἄμισον ἐλθόντας ἐπισημήνασθαι. ἦν δὲ εἰς τὴν Ἄμισον ὁδὸς πολλῶν τε ἡμερῶν καὶ χειμέριος. τὸν δὴ χρόνον τοῦτον ἀπεχρᾶτο τῷ στρατοπέδῳ, τὰ ἐπιτήδεια μόνον διδούς. τούς τε τεχνίτας τοὺς ἐν τῷ στρατοπέδῳ αὐτὸς εἶχε, καὶ τοὺς καπήλους τοὺς μεταβαλλομένους τι, ἄλλῳ δὲ οὐκ ἦν οὐδενὶ οὐθὲν τούτων ποιεῖν.

*Amisus. V.*

*Chabrias*

Χαβρίας Ἀθηναῖος Ταῷ τῷ Αἰγυπτίων βασιλεῖ ἐκστρατευομένῳ καὶ δεομένῳ χρημάτων συνεβούλευε τῶν τε ἱερῶν τινα καὶ τῶν ἱερέων τὸ πλῆθος φάναι πρὸς τοὺς ἱερεῖς δεῖν παραλυθῆναι διὰ τὴν δαπάνην. ἀκούσαντες δὲ οἱ ἱερεῖς καὶ τὸ ἱερὸν παρ᾽ αὐτοῖς ἕκαστοι βουλόμενοι εἶναι, καὶ ἴδια αὐτοὶ οἱ ἱερεῖς ἐδίδοσαν χρήματα. ἐπεὶ δὲ παρὰ πάντων εἰλήφει, προστάξαι

αὐτοῖς ἐκέλευσεν εἰς μὲν τὸ ἱερὸν καὶ εἰς αὐτὸν τῆς δαπάνης ἣν πρότερον ἐποιοῦντο τὸ δέκατον μέρος ποιεῖσθαι. τὰ δὲ λοιπὰ αὐτῷ δανεῖσαι ἕως ὁ πόλεμος ὁ πρὸς βασιλέα διαλυθῇ. ἀπ' οἰκίας δὲ ἑκάστης ἐκέλευσεν ἅπαντας εἰσενέγκαι τάξαντα ὃ δεῖ· καὶ ἀπὸ τοῦ σώματος ὡσαύτως. τοῦ σίτου τε πωλουμένου χωρὶς τῆς τιμῆς, διδόναι τὸν πωλοῦντα καὶ τὸν ὠνούμενον ἀπὸ τῆς ἀρτάβης τὸν ὀβολόν, ἀπό τε τῶν πλοίων τε καὶ ἐργαστηρίων καὶ τῶν ἄλλην τινὰ ἐργασίαν ἐχόντων τῆς ἐργασίας μέρος τὸ δέκατον τέλος ἀποτελεῖν. ἐκστρατεύειν δ' αὐτῷ μέλλοντι ἐκ τῆς χώρας, εἴ τις τι ἔχει ἄσημον ἀργύριον ἢ χρυσίον κελεῦσαι ἀνενέγκαι πρὸς αὐτόν. ἐνεγκάντων δὲ τῶν πλείστων ἐκέλευσε τούτῳ μὲν ἐκεῖνον χρῆσθαι· τοὺς δὲ δανείσαντας συστῆσαι τοῖς νομάρχαις ὥστε ἐκ τῶν φόρων αὐτοῖς ἀποδοῦναι.

Iphicrates

Ἰφικράτης Ἀθηναῖος. Κότυος συναγαγόντος στρατιώτας, ἐπόρισεν αὐτῷ χρήματα τρόπον τοιόνδε. ἐκέλευσε τῶν ἀνθρώπων ὧν ἦρχε, προστάξαι σπεῖραι αὐτῷ γῆν τριῶν μεδίμνων. τούτου δὲ πραχθέντος συνελέγη σίτου πολὺ πλῆθος. καταγαγὼν οὖν ἐπὶ τὰ ἐμπόρια ἀπέδοτο. καὶ εὐπόρησε χρημάτων.

Cotys

Perinthus

Κότυς Θρᾷξ παρὰ Περινθίων ἐδανείζετο χρήματα εἰς τὸ τοὺς στρατιώτας συναγαγεῖν, οἱ δὲ Περίνθιοι οὐκ ἐδίδοσαν αὐτῷ. ἠξίωσε γοῦν αὐτοὺς ἄνδρας γε τῶν πολιτῶν φρουροὺς δοῦναι εἰς χωρία τινά, ἵνα τοῖς ἐκεῖ στρατιώταις οὓς νῦν φρουροῦσιν ἔχῃ ἀποχρήσασθαι. οἱ δὲ τοῦτο ταχέως ἐποίησαν, οἰόμενοι τῶν χωρίων κύριοι ἔσεσθαι. ὁ δὲ Κότυς τοὺς ἀποσταλέντας εἰς φυλακὴν ποιήσας, τὰ χρήματα αὐτοὺς ἐκέλευσεν ἀποστείλαντας, ἃ ἐδανείζετο, παρ' αὐτῶν κομίσασθαι.

Mentor

Μέντωρ Ῥόδιος Ἑρμείαν συλλαβὼν καὶ τὰ χωρία αὐτοῦ καταλαβὼν τοὺς ἐπιμελητὰς εἴασε κατὰ χώραν τοὺς ὑπὸ τοῦ Ἑρμείου καθεστηκότας. ἐπεὶ δὲ ἐθάρρησάν τε ἅπαντες, καὶ ἔτι προστὴν αὐτοῖς ἀποκεκρυμμένον ἢ ὑποκείμενον ὃ μεθ' ἑαυτῶν εἶχον, συλλαβὼν αὐτοὺς πάντα παρείλετο ἃ εἶχον.

Memnō

Μέμνων Ῥόδιος κυριεύσας Λαμψάκου δεηθεὶς χρημάτων

ἐπέ



ἐπέγραψε τοῖς πλουσιωτάτοις αὐτῶν πλῆθός τι ἀργυρίου. τούτοις δὲ τὴν κομιδὴν ἔσεσθαι παρὰ τῶν ἄλλων πολιτῶν ἔφησεν. ἐπεὶ δὲ οἱ ἄλλοι πολῖται εἰσήνεγκαν, ἐκέλευσε καὶ ταῦτα αὐτῷ δανεῖσαι ἐν χρόνῳ διειπάμενος ἐν ᾧ πάλιν αὐτοῖς ἀποδώσει. πάλιν τε δεηθεὶς χρημάτων ἠξίωσεν αὐτοὺς εἰσενέγκαι, κομίσασθαι δὲ ἐκ τῶν προσόδων. οἱ δὲ εἰσήνεγκαν ὡς διὰ ταχέων αὐτοῖς ἐσομένης τῆς κομιδῆς. ἐπεὶ δὲ καὶ αἱ καταβολαὶ τῶν προσόδων παρῆσαν, ἔφησεν ἐπ' αὐτῷ χρείαν εἶναι καὶ τούτων, ἐκείνοις δὲ ὕστερον ἀποδώσειν σὺν τόκῳ. τῶν τε στρατευομένων παρῃτεῖτο τὰς σιταρχίας καὶ τοὺς μισθοὺς ἓξ ἡμερῶν τὸν ἐνιαυτόν, φάσκων ταύταις ταῖς ἡμέραις οὔτε φυλακὴν αὐτοῖς οὐδεμίαν οὔτε πορείαν οὔτε δαπάνην ποιεῖσθαι, τὰς ἐξαιρεσίμους λέγων. τόν τε πρὸ τοῦ χρόνον διδοὺς τοῖς στρατιώταις τῇ δευτέρᾳ τῆς νουμηνίας τὰς σιταρχίας, τῷ μὲν πρώτῳ μηνὶ παρέβη τρεῖς ἡμέρας, τῷ δὲ ἐχομένῳ πέντε. τοῦτον δὲ τὸν τρόπον προῆγεν ἕως εἰς τὴν τριακάδα ἦλθε.

Χαρίδημος Ὠρείτης ἔχων τῆς Αἰολίδος τινὰ χωρία, ἐπιστρατεύοντος ἐπ' αὐτὸν Ἀρταβάζου, χρημάτων ἐδεῖτο εἰς τοὺς στρατιώτας. τὸ μὲν οὖν πρῶτον εἰσέφερον αὐτῷ, εἶτα οὐκέτι ἔφασαν ἔχειν. ὁ δὲ Χαρίδημος ὃ ᾤετο χωρίον ἐχυρώτατον εἶναι, ἐκέλευσεν εἴ τι νόμισμα ἔχουσιν ἤ τι ἄλλο σκεῦος ἀξιόλογον εἰς ἕτερον χωρίον ἀποστέλλειν, παραπομπὴν δὲ δώσειν. ἅμα δὲ καὶ αὐτὸς τοῦτο ποιῶν φανερὸς ἦν. πεισθέντων δὲ τῶν ἀνθρώπων προαγαγὼν αὐτοὺς τῆς πόλεως μικρὸν καὶ ἐρευνήσας ἃ εἶχον, ἔλαβεν ὅσων ἐδεῖτο. ἐκείνους δὲ πάλιν εἰς τὸ χωρίον ἀπῆγε. κηρύγματί τε ποιησάμενος ἐν ταῖς πόλεσιν ὧν ἦρχε μηδένα μηδὲν ὅπλον κεκτῆσθαι ἐν τῇ οἰκίᾳ, εἰ δὲ μή, ἀποτίσειν ἀργύριον ὃ ἐπεκήρυξεν, ἠμέλει καὶ οὐδεμίαν ἐπιστροφὴν ἐποιεῖτο. τῶν δ' ἀνθρώπων οἰομένων τὸ κήρυγμα μάτην αὐτῷ πεποιῆσθαι, εἶχον ἃ ἐτύγχανον ἕκαστοι κεκτημένοι κατὰ χώραν. ὁ δὲ ἐρευνὰν ἐξαίφνης ποιησάμενος τῶν οἰκιῶν, παρ' οἷς εὑρέθη ὅπλον τι, ἐπράξατο τὸ ἐπιτίμιον. Φιλόξενός τις Μακε-

Charidem⁹ oretē

Philoxen⁹

δῶν, καρίας σατραπεύων δεηθεὶς χρημάτων διονύσια ἔφασκε μέλλειν ἄγειν· καὶ χορηγοὺς προέγραφε τῶν καρπῶν τοὺς εὐπορωτάτους, καὶ προσέταττεν αὐτοῖς ἃ δεῖ παρασκευάζειν· ὁρῶν δ' αὐτοὺς δυσχεραίνοντας ὑποπέμπων τινὰς ἠρώτα, τί βούλοιντο δόντες ἀπαλλαγῆναι τῆς λειτουργείας, οἱ δὲ πολλῷ πλεῖον ἢ ὅσον ᾤοντο ἀναλώσειν, ἔφασαν δώσειν, τοῦ μὴ ὀχλεῖσθαι καὶ ἀπὸ τῶν ἰδίων ἀπεῖναι· ὁ δὲ παρὰ τούτων λαβὼν ὃ ἐδίδοσαν, ἑτέρους κατέγραφεν, ἕως ἔλαβε παρὰ τούτων ἃ ἐβούλετο καὶ προσῆν παρ' ἑκάστοις.

*Euæses*

Εὐαίσης σύρος αἰγύπτου σατραπεύων, ἀφίστασθαι μελλόντων τῶν νομαρχῶν ἁπάντων αἰσθόμενος, καλέσας αὐτοὺς εἰς τὰ βασίλεια ἐκρέμασε πάντας· πρὸς δὲ τοὺς οἰκείους ἐκέλευσε λέγειν ὅτι ἐν φυλακῇ εἰσιν. ἕκαστος οὖν τῶν οἰκείων ἔπραττον ὑπὲρ ἑκάστου καὶ χρήματα ἐξεωνοῦντο τοὺς συνειλημμένους. ὁ δὲ διομολογησάμενος ὑπὲρ ἑκάστου καὶ λαβὼν τὰ ὁμολογηθέντα, ἀπέδωκεν ἑκάστοις τὸν νεκρόν.

*ομαρχῶν*

*Cleomenes*

Κλεομένης ἀλεξανδρεὺς αἰγύπτου σατραπεύων, λιμοῦ γινομένου ἐν μὲν τοῖς ἄλλοις τόποις σφόδρα, ἐν αἰγύπτῳ δὲ μετρίως, ἀπέκλεισε τὴν ἐξαγωγὴν τοῦ σίτου. τῶν δὲ νομαρχῶν φασκόντων οὐ δυνήσεσθαι τοὺς φόρους ἀποδοῦναι διὰ τὸ μὴ ἐξάγεσθαι τὸν σῖτον, ἐξαγωγὴν μὲν ἐποίησε, τέλος δὲ πολὺ τῷ σίτῳ ἐπέβαλλεν, ὥστε συνέβαινεν αὐτῷ ἐξαγομένου ὀλίγου τὸ τέλος λαμβάνειν, αὐτούς τε τοὺς νομάρχας πεπαῦσθαι τῆς προφάσεως. διαπλέοντος δ' αὐτοῦ τὸν νομόν, οὗ θεὸς ὁ κροκόδειλος, ἡρπάσθη τις τῶν παίδων αὐτοῦ. καλέσας οὖν τοὺς ἱερεῖς ἔφη πρότερον ἀδικηθεὶς ἀμύνεσθαι τοὺς κροκοδείλους· καὶ προσέταξε θηρεύειν αὐτούς. οἱ δὲ ἱερεῖς ἵνα μὴ ὁ θεὸς αὐτῶν καταφρονηθῇ, συναγαγόντες ὅσον ἠδύναντο χρυσίον, ἔδωκαν αὐτῷ, καὶ οὕτως ἐπαύσατο.

*νομαρχῶν*

*Crocodilus deus. inuenalis. Crocodilo adorat pars hæc, illa pauet saturá serpetib[us] ibim*

*Alexander*

Ἀλεξάνδρου τοῦ βασιλέως ἐντειλαμένου αὐτῷ οἰκίσαι πόλιν πρὸς τῇ φάρῳ, καὶ τὸ ἐμπόριον τὸ πρότερον ὂν ἐπὶ τοῦ κανώβου, ἐνταῦθα ποιῆσαι, καταπλεύσας εἰς τὸν κάνωβον πρὸς



τοὺς ἱερεῖς καὶ τοὺς κτήματα ἔχοντας ἐκεῖ, ἐπὶ τούτῳ ἥκειν ἔφη, ὥστε μετοικίσαι αὐτούς. οἱ ἱερεῖς καὶ οἱ κάτοικοι εἰσενέγκαντες χρήματα ἔδωκαν, ἵνα ἐᾷ κατὰ χώραν αὐτοῖς τὸ ἐμπόριον. ὁ δὲ λαβὼν τότε μὲν ἀπηλλάγη· εἶτα δὲ καταπλεύσας ἐπεὶ ἦν αὐτῷ ἕτοιμα τὰ πρὸς τὴν οἰκοδομίαν, ᾔτει αὐτοὺς χρήματα ὑπερβάλλων τῷ πλήθει· τοῦτο γὰρ αὐτῷ τὸ διάφορον εἶναι τὸ αὐτοῦ εἶναι τὸ ἐμπόριον καὶ μὴ ἐκεῖ. ἐπεὶ δ' οὐκ ἂν ἔφασαν δύνασθαι δοῦναι, μετῴκισεν αὐτούς. ἀποστείλας τινὰ ἐπ' ἀγοράσματι, αἰσθόμενος ὅτι εὐώνων ἐπιτετυχηκὼς αὐτὸς ἣ μέλλει ἐκτετιμημένα λογίζεσθαι, πρὸς τοὺς συνήθεις τοῦ ἀγοραστοῦ ἔλεγεν ὅτι ἀκηκοὼς εἴη τὰ ἀγοράσματα αὐτὸν ὑπερτιμία ἠγορακέναι· αὐτὸς οὖν οὐ προσέξειν· καὶ ἅμα τὴν ἀβελτηρίαν αὐτοῦ ἐλοιδόρει μετρίως πρός τινας τοῦ. οἱ δὲ ταῦτα ἀκούσαντες οὐκ ἔφασαν δεῖν πιστεύειν αὐτὸν τοῖς λέγουσί τι κατ' ἐκείνου, ἕως αὐτὸς παραγενόμενος τὸν λόγον αὐτῷ δῷ. ἀφικομένου δὲ τοῦ ἀγοραστοῦ ἀπήγγειλαν αὐτῷ τὰ παρὰ τοῦ κλεομένους. ὁ δὲ κἀκείνοις τε βουλόμενος ἐνδείξασθαι καὶ τῷ κλεομένει, ἀνήνεγκε τὰς τιμὰς ὧνπερ ἦν ἠγορακώς. τοῦ τε σίτου πωλουμένου ἐν τῇ χώρᾳ δεκαδράχμου, καλέσας τοὺς ἐργαζομένους ἠρώτα πῶς βούλονται αὐτῷ ἐργάζεσθαι. οἱ δὲ ἔφασαν ἐλάσσονος ἢ ὅσου τοῖς ἐμπόροις ἐπώλουν. ὁ δὲ κἀκείνοις μὲν ἐκέλευσεν αὐτῷ παραδιδόναι ὅσουπερ ἐπώλουν τοῖς ἄλλοις· αὐτὸς δὲ τάξας τριάκοντα δύο δραχμὰς τοῦ σίτου τιμήν, οὕτως ἐπώλει. τούς τε ἱερεῖς καλέσας ἔφησε πολὺ τὸ ἀνάλωμα ἐν τῇ χώρᾳ γίνεσθαι εἰς τὰ ἱερά. δεῖν οὖν καὶ τῶν ἱερῶν τινα καὶ τῶν ἱερέων τὸ πλῆθος καταλυθῆναι. οἱ δὲ ἱερεῖς καὶ ἰδίᾳ ἕκαστος καὶ κοινῇ τὰ ἱερὰ χρήματα ἐδίδοσαν, οἰόμενοί τε αὐτὸν τῇ ἀληθείᾳ μέλλειν τοῦτο ποιεῖν, καὶ ἕκαστος βουλόμενος τό τε ἱερὸν τὸ αὐτοῦ εἶναι κατὰ χώραν καὶ αὐτὸς ἱερεύς. Ἀντιμένης ῥόδιος.

*Antimenes rhodius*

ἡμιόδιος γενόμενος Ἀλεξάνδρου περὶ Βαβυλῶνα ἐπόρισε χρήματα ὧδε· νόμου ὄντος ἐν Βαβυλωνίᾳ παλαιοῦ δεκάτην εἶναι τῶν εἰσαγομένων, χρωμένου δὲ αὐτῷ οὐθενός, τηρήσας τούς τε σατράπας ἅπαντας προσδοκίμους ὄντας καὶ στρατιώτας οὐκ ὀλίγους, τε πρέσβεις καὶ τεχνίτας κλητοὺς ἄλλους ἀγομένους καὶ ἰδίᾳ ἀποδημοῦντας καὶ δῶρα πολλὰ ἀναγόμενα, τὴν δεκάτην ἔπρασσε κατὰ τὸν νόμον τὸν κείμενον. πάλιν τε πορίζων τὰ ἀνδράποδα τὰ ἐπὶ τῷ στρατοπέδῳ ὄντα, ἐκέλευσε τὸν βουλόμενον ἀπογράφεσθαι ὁπόσου θέλοι· μέλλειν δὲ τοῦ ἐνιαυτοῦ ὀκτὼ δραχμὰς ἀποτίσαι. ἂν δὲ ἀποδρῷ τὸ ἀνδράποδον, κομίζεσθαι τὴν τιμὴν ἣν ἀπεγράψατο. ἀπογραφέντων οὖν πολλῶν ἀνδραπόδων, οὐκ ὀλίγον συνετέλει ἀργύριον. εἰ δέ τι ἀποδρώη ἀνδράποδον, ἐκέλευε τὸν σατράπην τῆς χώρας ἐν ᾗ ἐστιν, τὸ στρατόπεδον ἀνασώζειν, ἢ τὴν τιμὴν τῷ κυρίῳ ἀποδοῦναι.

Ophelas

Ὀφέλας ὁ Ὀλύνθιος, καταστήσας ἐπιμελητὴν εἰς τὸν νόμον τὸν Ἀθριβίτην, ἐπεὶ προσελθόντες αὐτῷ οἱ νομάρχοι οἱ ἐκ τοῦ τόπου τούτου ἔφασαν βούλεσθαι πλείω αὐτοὶ πολὺ φέρειν, τὸν δὲ ἐπιμελητὴν τὸν νῦν καθεστηκότα ἀπαλλάξαι αὐτὸν ἠξίουν, ἐπερωτήσας αὐτοὺς εἰ δυνήσονται συντελεῖν ἃ περ ἐπαγγέλλονται, φησάντων αὐτῶν, τὸν μὲν ἐπιμελητὴν κατὰ χώραν εἴα· τοὺς δὲ φόρους πράσσεσθαι ἐκέλευεν ὅσους αὐτοὶ ὑπετιμήσαντο· οὔτε οὖν ὃν κατέστησεν ἀτιμάσαι ἐδόκει, οὔτε ἐκείνους πλείους φόρους ἐπιβαλεῖν ἢ αὐτοὶ ἔταξαν· χρήματα δὲ πολλαπλάσια αὐτὸς ἐλάμβανε.

Pythocles

Πυθοκλῆς Ἀθηναῖος Ἀθηναίοις συνεβούλευσε τὸν μόλιβδον τὸν ἐκ τῶν Λαυρείων παραλαμβάνειν παρὰ τῶν ἰδιωτῶν τὴν πόλιν, ὥσπερ ἐπώλουν δίδραχμου, εἶτα ταξαμένους αὐτοὺς τιμὴν ἑξαδράχμου, οὕτω πωλεῖν.

Chabrias

Χαβρίας πληρώματα τε κατειλεγμένων εἰς ἑκατὸν εἴκοσι ναῦς, τῶν δὲ νεῶν ἑξήκοντα μόνον οὐσῶν χρείας, προστάξαι τοῖς ἐκ τῶν ἑξήκοντα νεῶν αὐτοῦ τῶν ὑπομενουσῶν τοὺς πλέοντας εἰς δίμηνον σιτηρεσιάσαι, ἢ αὐτοὺς πλέ-

εἰν.



ειν· οἱ δὲ βουλόμενοι μὲν τῶν ἰδίων εἶναι ἔδωκαν ἃ προσέταξεν.

Antimenes

Ἀντιμένης τοὺς τιθησαυροὺς τοὺς παρὰ τὰς ὁδοὺς τὰς βασιλικὰς ἀναπληροῦν ἐκέλευε τοὺς σατράπας κατὰ τὸν νόμον τῆς χώρας· ὁπότε δὲ διαπορεύοιτο στρατόπεδον ἢ ἕτερος ὄχλος ἄνευ τοῦ βασιλέως, πέμψας τινὰ παρ' αὐτοῦ ἐπώλει τὰ ἐκ τῶν θησαυρῶν.

Cleomenes

Κλεομένης προσπορευομένης τε τῆς νουμηνίας καὶ δέον τοῖς στρατιώταις σιταρχίαν δοῦναι, κατέπλευσεν ἐξεπίτηδες· προσερχομένου δὲ τοῦ μηνὸς ἀναπλεύσας διέδωκε τὴν σιταρχίαν· εἶτα τοῦ εἰσιόντος μηνὸς διέλιπεν ἕως τῆς νουμηνίας. οἱ μὲν οὖν στρατιῶται διὰ τὸ νεωστὶ εἰληφέναι τὴν σιταρχίαν, ἡσυχίαν εἶχον· ἐκεῖνος δὲ παραλλάξας ἕνα μῆνα παρὰ τὸν ἐνιαυτὸν ἀφῄρει μισθὸν ἀεὶ μηνός.

Stabelbius

Σταβέλβιος ὀφειλομένων στρατιώταις μισθὸν συγκαλέσας, ἔφησεν αὐτῶν τῶν μὲν ἰδιωτῶν οὐδεμίαν χρείαν εἶναι, τῶν δὲ ἡγεμόνων ὅταν δέηται στρατιωτῶν, ἐκείνων ἑκάστῳ δοὺς ἀργύριον ἀποστέλλειν ἐπὶ ξενολογίαν· τούς τε μισθοὺς οὓς δεῖ ἐκείνοις δοῦναι, τοῖς ἡγεμόσιν ἂν ἥδιον διδόναι. ἐκέλευεν οὖν αὐτοὺς ἀποστέλλειν ἕκαστον τοὺς αὑτοῦ καταλόγους ἐκ τῆς χώρας. τῶν δὲ ἡγεμόνων ὑπολαβόντων χρηματισμὸν αὐτοῖς ἔσεσθαι, ἀπέσειλαν τοὺς στρατιώτας καθάπερ ἐκεῖνος προσέταξε. διαλιπὼν δὲ ὀλίγον χρόνον καὶ συναγαγὼν αὐτούς, οὔτε αὐλητὴν ἄνευ χοροῦ, οὔτε ἡγεμόνας ἄνευ ἰδιωτῶν οὐδὲν ἔφη χρησίμους εἶναι· ἐκέλευσεν οὖν αὐτοὺς ἀπαλλάττεσθαι ἐκ τῆς χώρας.

οὔτε αὐλητὴν ἄνευ χοροῦ οὔτε ἡγεμόνας ἄνευ ἰδιωτῶν οὐδὲν ἔφη χρησίμους εἶναι.

Διονύσιος τὰ ἱερὰ περιπορευόμενος, εἰ μὲν τράπεζαν ἴδοι παρακειμένην χρυσῆν ἢ ἀργυρᾶν, ἀγαθοῦ δαίμονος κελεύσας ἐγχέαι, ἐκέλευεν ἀφαιρεῖν· ὅσα δὲ τῶν ἀγαλμάτων φιάλην εἶχε προτετακότα, εἰπὼν ὅτι δέχομαι, ἐξαιρεῖν ἐκέλευε. τὰ θ' ἱμάτια τά τε χρυσᾶ καὶ τοὺς στεφάνους περιῄρει τῶν ἀγαλμάτων, φάσκων αὐτὸς καὶ κουφότερα καὶ εὐωδέστερα δώσειν· εἶτα ἱμάτιον μὲν λευκὸν, στεφάνους δὲ λευκίνους περιετίθει.

τέλος

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΩΝ ΜΕΓΑΛΩΝ, ΤΟ Α'.

Περὶ μὲν προαιρούμεθα λέγειν ὑπὲρ ἠθῶν, πρῶτον αὖ εἰπεῖν πλέον τι μόριόν ἐστι μέρος τὸ ἦθος· ὡς μὲν οὖν σωφρόνως εἰπεῖν, δόξειεν οὐκ ἄλλης ἢ τῆς πολιτικῆς εἶναι μέρος· ὅτι δ' οὐθὲν ἐν τοῖς πολιτικοῖς δυνατὸν πρᾶξαι, αὖθις τοιόν τινα εἶναι λέγω δ' οἷον ἀπονδαῖον· τὸ δ' ἀπονδαῖον εἶναι, ὅτι τὰς ἀρετὰς ἔχειν· δεῖ ἄρα εἴ τις μέλλει ἐν τοῖς πολιτικοῖς πρακτικὸς εἶναι, τὸ ἦθος εἶναι ἀπονδαῖος· μέρος ἐστὶν ἄρα ὡς ἔοικε καὶ ἀρχή, ἡ περὶ τὰ ἤθη πραγματεία τῆς πολιτικῆς· τὸ δ' ὅλον καὶ τὴν ἐπωνυμίαν δικαίως δοκεῖ, αὑτοῖς ἔχειν ἡ πραγματεία· οὐκ ἠθικὴν, ἀλλὰ πολιτικήν· δεῖ ἄρα ὡς ἔοικε πρῶτον ὑπὲρ ἀρετῆς εἰπεῖν, τίς τίς ἐστι καὶ ἐκ τίνων γίνεται· οὐθὲν γὰρ ἴσως ὄφελος εἰδέναι μὴ τὴν ἀρετήν· ὡς ἂν ἐκ τίνων μὴ ἐπιστήμην· ἅμα γὰρ μόνον οὐ ταῦτα εἰδήσομεν τίς τίς ἐστι καὶ ποσαχῶς ἔχει, ἀλλὰ καὶ ἐκ τίνων ἅμα δὲ εἰδῆσαι βουλόμεθα καὶ αὐτοὶ εἶναι τοιοῦτοι· τοῦτο δ' ὀλιγοσόμεθα, ἐὰν μὴ εἰδῶμεν καὶ ἐκ τίνων καὶ ὡς ἂν· ἀναγκαῖον μὲν οὖν εἰδῆσαι τὴν ἀρετήν· ἅμα γὰρ ἑάδιον εἰδέναι τὰ ἐκ τίνων ἂν καὶ ὡς ἂν ἀναφέρηται τὰ τίς ἐστι· ὡς περὶ ἅ δ' ἐστὶ τὰ ἠθικὰ σκεπτέον· ἅ δεῖ ἢ λανθάνειν ὀλίγα πρότερον ὑπὲρ τούτων εἰρήκαμεν πρῶτος μὲν οὖν ἐπεχείρησε Πυθαγόρας περὶ ἀρετῆς εἰπεῖν· ὀρθῶς δέ· τὰς γὰρ ἀρετὰς εἰς τοὺς ἀριθμοὺς ἀνάγων, ὅτε εἰκείαν τὴν ἀρετὴν τὴν θεωρίαν ἐποίησατο·

Mores partè ee politicæ

Pythagoras

*latina tral. forte legendũ καθ' αὑτόν*



~~οὐ γάρ ἐστιν ἡ δικαιοσύνη ἀριθμοὺς ἀνάγων, οὐκ οἰκείαν τῶν ἀρετῶν τὴν θεωρίαν ἐποιήσατο~~. οὐ γάρ ἐστιν ἡ δικαιοσύνη ἀριθμὸς ἰσάκις ἴσος. μετὰ τοῦτον Σωκράτης ἐπιγενόμενος, βέλτιον καὶ ἐπὶ πλεῖον εἶπεν ὑπὲρ τούτων. οὐκ ὀρθῶς δὲ οὐδ' οὗτος. τὰς γὰρ ἀρετὰς ἐπιστήμας ἐποίει. τοῦτο δ' ἐστὶν εἶναι ἀδύνατον. αἱ γὰρ ἐπιστῆμαι πᾶσαι μετὰ λόγου. λόγος δ' ἐν τῷ διανοητικῷ τῆς ψυχῆς ἐγγίνεται μόνῳ. γίνονται οὖν αἱ ἀρεταὶ πᾶσαι καθ' αὑτὸν ἐν τῷ λογιστικῷ τῆς ψυχῆς μορίῳ. συμβαίνει οὖν αὐτῷ ἐπιστήμας ποιοῦντι τὰς ἀρετάς, ἀναιρεῖν τὸ ἄλογον μέρος τῆς ψυχῆς. τοῦτο δὲ ποιῶν, ἀναιρεῖ καὶ πάθος καὶ ἦθος. διὸ οὐκ ὀρθῶς ἥψατο ταύτῃ τῶν ἀρετῶν. μετὰ ταῦτα δὲ Πλάτων διείλετο τὴν ψυχὴν εἴς τε τὸ λόγον ἔχον, καὶ εἰς τὸ ἄλογον ὀρθῶς. καὶ ἀπέδωκεν ἑκάστου ἀρετὰς προσηκούσας. μέχρι μὲν οὖν τούτου, καλῶς. μετὰ δὲ ταῦτα, οὐκέτι ὀρθῶς. τὴν γὰρ ἀρετὴν κατέμιξεν εἰς τὴν πραγματείαν τὴν ὑπὲρ τἀγαθοῦ, οὐ δὴ ὀρθῶς. οὐ γὰρ οἰκεῖον. ὑπὲρ γὰρ τῶν ὄντων καὶ ἀληθείας λέγοντα, οὐκ ἔδει ὑπὲρ ἀρετῆς φράζειν. οὐδὲν γὰρ τούτῳ κἀκείνῳ κοινόν. οὗτοι μὲν οὖν ἐπὶ τοσοῦτον ἥψαντο καὶ οὕτως. ἐχόμενον δ' ἂν εἴη μετὰ ταῦτα σκέψασθαι, τί δεῖ αὐτοὺς λέγειν ὑπὲρ τούτων. πρῶτον μὲν οὖν ἰδεῖν δεῖ, ὅτι πάσης ἐπιστήμης καὶ δυνάμεως ἐστί τι τέλος, καὶ τοῦτ' ἀγαθόν. οὐδεμία γὰρ οὔτ' ἐπιστήμη οὔτε δύναμις ἕνεκεν κακοῦ ἐστίν. εἰ οὖν πασῶν τῶν δυνάμεων ἀγαθὸν τὸ τέλος, δῆλον ὡς καὶ τῆς βελτίστης, βέλτιον ἂν εἴη. ἀλλὰ μὴν ἥ γε πολιτικὴ, βελτίστη δύναμις. ὥστε τὸ τέλος αὐτῆς ἂν εἴη ἀγαθόν. ὑπὲρ ἀγαθοῦ ἄρα ὡς ἔοικεν ἡμῖν λεκτέον. καὶ ὑπὲρ ἀγαθοῦ, οὐ τοῦ ἁπλῶς, ἀλλὰ τοῦ ἡμῖν. οὐ γὰρ τοῦ θεῶν ἀγαθοῦ. ἀλλ' ὑπὲρ μὲν τούτου καὶ τέλος λόγος καὶ ἀλλοτρία ἡ σκέψις. ὑπὲρ τοῦ πολιτικοῦ ἄρα ἡμῖν λεκτέον ἀγαθοῦ. πάλιν δὲ καὶ τοῦτο διελεῖν δεῖ ὑπὲρ ἀγαθοῦ ποίου λεγομένου. οὐ γάρ ἐστιν ἁπλοῦν. λέγεται γὰρ ἀγαθὸν ἢ τὸ ἄριστον ἐν ἑκάστῳ τῶν ὄντων, τοῦτο δ' ἐστὶ τὸ διὰ τὴν αὑτοῦ φύσιν αἱρετόν, ἢ οὗ τἆλλα μετέχοντα ἀγαθά ἐστι. τοῦτο δ' ἐστὶν ἡ ἰδέα τἀγαθοῦ.

πότερον

*Socrates* — *Socrates virtutes faciebat scientias* — *διανοητικόν intellectus* — *Plato* — *Bonũ politicũ* — *Bonũ dupliciter dici* — *Idea boni*

*∴ ff. ουκ extrala*



πότερον οὖν ὑπὲρ τῆς ἰδέας τἀγαθοῦ δεῖ, ἢ οὔ, ἀλλ' ὡς τὸ κοινὸν ἐν ἅπασιν ὑπάρχον ἀγαθόν. ἕτερον γὰρ τῆς ἰδέας τοῦτο δόξειεν ἂν εἶναι. ἡ μὲν γὰρ ἰδέα, χωριστὸν καὶ αὐτὸ καθ' αὑτό. τὸ δὲ κοινόν, ἐν ἅπασιν ὑπάρχει. οὐκ ἔστι δὲ ταὐτὸν τῷ χωριστῷ. οὐ γὰρ ἂν τὸ χωριστὸν καὶ τὸ πεφυκὸς αὐτὸ καθ' αὑτὸ εἶναι, ἐν πᾶσιν ὑπάρχοι. πότερον οὖν ὑπὲρ τούτου δεῖ λέγειν τἀγαθοῦ τοῦ ἐνυπάρχοντος, ἢ οὔ, διὰ τί. ὅτι τοῦτό ἐστι μὲν τὸ κοινὸν ὡς ὁ ὁρισμὸς καὶ ἡ ἐπαγωγή. ὁ δὲ ὁρισμὸς, βούλεται τὴν ἑκάστου οὐσίαν λέγειν. ἤτοι ὅτι ἀγαθὸν, ἢ ὅτι κακὸν, ἢ ὅτι ἂν ἄλλο ᾖ. λέγει δὲ ὁ ὅρος, ὅτι τὸ ἀγαθὸν καθόλου ἐστὶν αὐτὸ καθ' ἑαυτὸ αἱρετόν. τὸ δὲ ἐν ἅπασιν ἐνυπάρχον, ὅμοιον τῷ ὅρῳ ἐστίν. ὁ δὲ ὅρος λέγει ὅτι ἀγαθόν. ἐπιστήμη δέ γε οὐδὲ δύναμις οὐδεμία λέγει ὑπὲρ τοῦ τέλους τοῦ αὑτῆς ὅτι ἀγαθόν. ἀλλὰ τοῦτο μὲν ἄλλης δυνάμεώς ἐστι θεωρῆσαι. οὔτε γὰρ ὁ ἰατρός, οὔτε ὁ οἰκοδόμος λέγει ὅτι ἀγαθὸν ἡ ὑγίεια, οὐδὲ ἡ οἰκία, ἀλλ' ὅτι ὁ μὲν, ὑγίειαν ποιεῖ, καὶ πῶς ποιεῖ, ὁ δ' οἰκίαν. δῆλον τοίνυν, ὅτι οὐδὲ τῇ πολιτικῇ ὑπὲρ τοῦ ἀγαθοῦ λεκτέον τοῦ κοινοῦ. μία γάρ ἐστι καὶ αὐτὴ τῶν λοιπῶν ἐπιστημῶν. τοῦτο δὲ οὐ μιᾶς ἐστὶ λέγειν, οὔτε δυνάμεως οὔτε ἐπιστήμης ὡς τέλους. οὐδ' ἄρα τῆς πολιτικῆς ἐστὶ τὸ ὑπὲρ τοῦ κοινοῦ ἀγαθοῦ λέγειν τοῦ κατὰ τὸν ὁρισμόν. ἀλλὰ μὴν οὐδὲ τοῦ κατὰ τὴν ἐπαγωγὴν κοινοῦ. διὰ τί; ὅτι ὅταν βουλώμεθα δεῖξαί τι τῶν κατὰ μέρος ἀγαθῶν, ἢ τῷ ὁρισμῷ δείκνυμεν, ὅτι ὁ αὐτὸς λόγος ἐφαρμόττει ἐπί τε τὸ ἀγαθὸν καὶ ἐπὶ τοῦτο, ἐὰν βουλώμεθα δεῖξαι ὅτι ἀγαθὸν, ἢ τῇ ἐπαγωγῇ. οἷον ὅταν θέλωμεν δεῖξαι ὅτι ἡ μεγαλοψυχία ἐστὶν ἀγαθὸν, φαμὲν, ὅτι ἡ δικαιοσύνη ἀγαθὸν καὶ ἡ ἀνδρία, καὶ ἁπλῶς αἱ ἀρεταί. ἡ δὲ μεγαλοψυχία ἀρετή. ὥστε καὶ ἡ μεγαλοψυχία ἀγαθόν. οὐδὲ δὴ ὑπὲρ τοῦ κατὰ τὴν ἐπαγωγὴν κοινοῦ ἀγαθοῦ λεκτέον τῇ πολιτικῇ, ὅτι τὰ αὐτὰ ἀδύνατα συμβήσεται τοῦτο καὶ τῷ κατὰ τὸν ὅρον κοινῷ ἀγαθῷ. ὅτι γὰρ ἀγαθὸν, καὶ ἐνταῦθα ἐρεῖ. δῆλον τοίνυν, ὅτι ὑπὲρ τοῦ ἀρίστου ἀγαθοῦ λεκτέον ἐστὶ, καὶ ἀρίστου τοῦ ἡμῖν ἀρίστου.



*Diffinitionis officium* — *Ἐπαγωγή*

*// ἀρίστου · ff.* — *·/· ff. Τούτῳ*

τὸ δ' ὅλον ἴσως αὐτῆς ὅτι οὐκ ἔστι μιᾶς οὔτε ἐπιστήμης οὔτε δυνάμεως τὸ ὑπὲρ παντὸς ἀγαθοῦ σκοπεῖν. διὰ τί; ὅτι τἀγαθὸν ἐν πάσαις ταῖς κατηγορίαις ἐστί. καὶ γὰρ ἐν τῷ τί, καὶ ἐν τῷ ποιῷ, καὶ ἐν τῷ ποσῷ, καὶ ποτὲ καὶ πρός τι, καὶ τινί, καὶ ἁπλῶς ἐν πάσαις. ἀλλὰ μὴν τὸ ποτὲ ἀγαθὸν ἐν μὲν ἰατρικῇ ὁ ἰατρὸς οἶδεν, ἐν δὲ κυβερνητικῇ ὁ κυβερνήτης. ἐν ἑκάστῃ δ' ἕκαστος. ποτὲ μὲν γὰρ δεῖ τέμνειν, ὁ ἰατρὸς οἶδε· ποτὲ δὲ δεῖ πλεῖν, ὁ κυβερνήτης. ἐν ἑκάστῃ δὲ τὸ ποτὲ ἀγαθὸν ἕκαστος τὸ καθ' ἑαυτὸν εἰδήσει. οὔτε γὰρ ὁ ἰατρὸς τὸ ἐν τῇ κυβερνητικῇ ἀγαθὸν ποτὲ εἰδήσει, οὔτε ὁ κυβερνήτης τὸ ἐν ἰατρικῇ. οὐκ ἄρα οὐδ' οὕτως ὑπὲρ τοῦ κοινοῦ ἀγαθοῦ λεκτέον. τὸ γὰρ ποτὲ ἐν πάσαις κοινόν. ὁμοίως δὲ καὶ τὸ πρός τι ἀγαθόν. καὶ τὸ κατὰ τὰς ἄλλας κατηγορίας, κοινὸν μὲν ἁπάσαις. οὐδὲ μιᾶς δ' ἐστὶν οὔτε δυνάμεως οὔτε ἐπιστήμης εἰπεῖν ὑπὲρ τοῦ ἐν ἑκάστῃ ποτὲ ἀγαθοῦ. οὐδ' αὖ τῆς πολιτικῆς ὑπὲρ τοῦ κοινοῦ ἀγαθοῦ λέγειν. ὑπὲρ τοῦ ἀγαθοῦ ἄρα καὶ ὑπὲρ τοῦ ἀρίστου, καὶ ὑπὲρ τοῦ ἡμῖν ἀρίστου. ἴσως δὲ οὖν δεῖ ἐγχειροῦντα δεικνύναι τοῖς μὴ φανεροῖς παραδείγμασι χρῆσθαι. ἀλλ' ὑπὲρ τῶν ἀφανῶν τοῖς φανεροῖς, καὶ ὑπὲρ τῶν νοητῶν τοῖς αἰσθητοῖς. καὶ ταῦτα γὰρ φανερώτερα. ὅταν οὖν ὑπὲρ ἀγαθοῦ ἐγχειρῇ τις λέγειν, οὐ λεκτέον ἐστὶν ὑπὲρ τῆς ἰδέας λέγειν. καίτοι οἴονταί γε δεῖν ὅταν ὑπὲρ τοῦ ἀγαθοῦ λέγωσιν, ὑπὲρ τῆς ἰδέας δεῖν λέγειν. ὑπὲρ γὰρ τοῦ μάλιστα ἀγαθοῦ φασὶ δεῖν λέγειν. αὐτὸ δ' ἕκαστον μάλιστ' εἶναι τὸ πρῶτον. ὥστε μάλιστ' ἂν εἴη ἀγαθὸν ἡ ἰδέα, ὡς οἴονται. ὁ δή τοι οὗτος λόγος, ἀληθὴς μὲν ἐστὶν ἴσως, ἀλλ' οὐχ ἡ πολιτικὴ ἐπιστήμη, ἡ δύναμις, ὑπὲρ ἧς νῦν ὁ λόγος. οὐ γὰρ ὑπὲρ τούτου σκοπεῖν τἀγαθοῦ, ἀλλὰ τοῦ ἡμῖν ἀγαθοῦ. οὐδεμία γὰρ οὔτε ἐπιστήμη οὔτε δύναμις ὑπὲρ τοῦ τέλους λέγει ὅτι ἀγαθόν, ὥστ' οὐδ' ἡ πολιτική. διὸ οὐχ ὑπὲρ τοῦ κατὰ τὴν ἰδέαν ἀγαθοῦ τὸν λόγον ποιεῖται. ἀλλ' ἴσως φησὶν τούτῳ τἀγαθῷ ἀρχῇ χρησάμενον ὑπὲρ τῶν καθ' ἕκαστα, ἐκ τούτων προβαίνειν ἐρῶ. οὐδ' οὕτως ὀρθῶς. δεῖ γὰρ τὰς ἀρχὰς οἰκείας λαμβάνειν. ἄτοπον γὰρ εἴ τις βουλόμενος τὸ τρίγωνον ὡς δυσὶν ὀρθαῖς ἴσας ἔχον δεῖξαι, λάβοι ἀρχὴν ὅτι ἡ ψυχὴ

ἀθάνατος



ἀθάνατος, οὐ γὰρ οἰκεῖα. δεῖ δὲ τὴν ἀρχὴν οἰκείαν εἶναι καὶ συνημμένην. νῦν δὲ καὶ ἄνευ τοῦ τὴν ψυχὴν εἶναι ἀθάνατον, δείξειε τις δυσὶν ὀρθαῖς ἴσας ἔχον τὸ τρίγωνον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀγαθῶν ἐστὶ θεάσασθαι τὰ ἄλλα ἄνευ τοῦ κατὰ τὴν ἰδέαν ἀγαθοῦ. διὸ οὐκ οἰκείαν ἀρχὴν εἶναι τούτου τἀγαθὸν οὐκ ὀρθῶς δὲ οὐδὲ Σωκράτης ἐπιστήμας ἐποίει τὰς ἀρετάς. ἐκεῖνος γὰρ οὐδὲν ᾤετο δεῖν μάτην εἶναι. ἐκ δὲ τοῦ τὰς ἀρετὰς ἐπιστήμας εἶναι, συνέβαινεν αὐτῷ τὰς ἀρετὰς μάτην εἶναι. διὰ τί; ὅτι ἐπὶ τῶν ἐπιστημῶν συμβαίνει ἅμα εἰδέναι τὴν ἐπιστήμην τί ἐστι, καὶ εἶναι ἐπιστήμονα. εἰ γὰρ ἰατρικὴν τις οἶδε τί ἐστι, καὶ ἰατρὸς οὗτος εὐθέως ἐστίν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐπιστημῶν. ἀλλ' οὐκ ἐπὶ τῶν ἀρετῶν τοῦτο συμβαίνει. οὐ γὰρ εἴ τις οἶδε τὴν δικαιοσύνην τί ἐστιν, εὐθέως δίκαιός ἐστιν. ὡς δ' αὕτως καὶ ἐπὶ τῶν ἄλλων. συμβαίνει οὖν καὶ μάτην τὰς ἀρετὰς εἶναι καὶ μὴ εἶναι ἐπιστήμας. Ἐπειδὴ ὑπὲρ τούτων διώρισται, πειραθῶμεν λέγειν τἀγαθὸν ποσαχῶς λέγεται. ἔστι γὰρ τῶν ἀγαθῶν, τὰ μὲν τίμια, τὰ δὲ ἐπαινετά, τὰ δὲ δυνάμεις. τὸ δὲ τίμιον λέγω, τὸ τοιοῦτον· τὸ θεῖον, τὸ βέλτιον, οἷον ψυχή, νοῦς, τὸ ἀρχαιότερον, ἡ ἀρχή, τὰ τοιαῦτα. τίμια δ' ἐφ' οἷς ἡ τιμή, τοῖς δὲ τοιούτοις πᾶσι τιμὴ ἀκολουθεῖ. οὐκοῦν καὶ ἡ ἀρετὴ τίμιον, ὅταν γε δὴ ἀπ' αὐτῆς σπουδαῖός τις γένηται. ἤδη γὰρ οὗτος εἰς τὸ κατὰ τὴν ἀρετὴν σχῆμα ἥκει. τὰ δὲ ἐπαινετά, οἷον ἀρεταί. ἀπὸ γὰρ τῶν κατ' αὐτὰς πράξεων, ὁ ἔπαινος γίνεται. τὰ δὲ δυνάμεις, οἷον ἀρχή, πλοῦτος, ἰσχύς, κάλλος. τούτοις γὰρ καὶ ὁ σπουδαῖος εὖ ἂν δύναιτο χρήσασθαι, καὶ ὁ φαῦλος κακῶς. διὸ δυνάμεις τὰ τοιαῦτα καλοῦνται ἀγαθά. ἀγαθὰ μὲν δή εἰσι. δοκιμάζεται γὰρ τῇ τοῦ σπουδαίου αὐτῶν ἑκάστου χρήσει, οὐ τῇ τοῦ φαύλου. τοῖς δ' αὐτοῖς τούτοις συμβέβηκεν ἀγαθοῖς, καὶ τὴν τύχην τῆς γενέσεως αὐτῶν αἰτίαν εἶναι. ἀπὸ τύχης γὰρ καὶ πλοῦτος γίνεται καὶ ἀρχή, καὶ ὅλως ὅσα εἰς δυνάμεως τάξιν ἥκει. λοιπὸν δὲ καὶ τέταρτον τῶν ἀγαθῶν, τὸ σωστικὸν καὶ ποιητικὸν ἀγαθοῦ, οἷον γυμνάσια ὑγιείας, καὶ εἴ τι ἄλλο τοιοῦτον. ἀλλ' ἔτι καὶ ἄλλην ἔχει τἀγαθὰ διαίρεσιν. οἷον ἐστὶ τῶν



∴ ſ. ἔχουσι. & ſic uertit interp. neutiq͡m

Principiũ debet esse rei accõmodatum

Socrates

Cognita scientia statim sciens est sed nõ sic in uirtutib9

Quot modis bonum

Τίμια 1

Ἐπαινετά 2

Δυνάμεις 3

A fortuna. diuitiæ. Magistratus & huiusmodi

σωστικὸν ἢ ποιητικὸν ἀγαθοῦ 4

Alia bonorum diuisio

ἀγαθῶν, τὰ μὲν πάντῃ καὶ πάντως αἱρετά· τὰ δ' οὔ. οἷον, ἡ μὲν
δικαιοσύνη καὶ αἱ ἄλλαι ἀρεταί, καὶ πάντῃ καὶ πάντως αἱρεταί.
ἰσχὺς δὲ καὶ πλοῦτος καὶ δύναμις καὶ τὰ τοιαῦτα· οὔτε πάντῃ οὔτε πάν-
τως. ἔτι καὶ ἄλλως τῶν ἀγαθῶν, τὰ μέν ἐστι τέλη· τὰ δ' οὐ τέλη. οἷον·
ἡ μὲν ὑγίεια, τέλος· τὰ δὲ τῆς ὑγιείας ἕνεκεν, οὐ τέλη. καὶ ὅσα οὕτως
ἔχει, τούτων ἀεὶ τὸ τέλος βέλτιον. οἷον ὑγίεια βέλτιον ἢ τὰ
ὑγιεινά. καὶ ἁπλῶς ἀεὶ καθόλου τοῦτο βέλτιον, οὗ ἕνεκεν καὶ τὰ
ἄλλα. πάλιν αὐτῶν τῶν τελῶν, βέλτιον ἀεὶ τὸ τέλειον τοῦ ἀτε-
λοῦς. τέλειον δέ ἐστιν οὗ παραγενομένου μηθενὸς ἔτι προσδεό-
μεθα· ἀτελὲς δέ, οὗ παραγενομένου, προσδεόμεθά τινος. οἷον,
τῆς δικαιοσύνης μὲν μόνον παραγενομένης, πολλῶν προσδεό-
μεθα, τῆς δὲ εὐδαιμονίας παραγενομένης, οὐθενὸς ἔτι προσδεό-
μεθα. τοῦτο ἄρα ἐστὶ τὸ ἄριστον ἡμῖν ὃ ζητοῦμεν· ὅ ἐστι τέλος τέ-
λειον. τὸ δὲ δὴ τέλειον τέλος ἀγαθόν ἐστι, καὶ τὸ τέλος τὸ ἀγαθόν. μετὰ
ταῦτα τοίνυν πῶς τὸ ἄριστον δεῖ σκοπεῖν· πότερον οὕτως ὡς καὶ
αὐτοῦ συναριθμουμένου; ἀλλ' ἄτοπον. τὸ γὰρ ἄριστον ἐπειδή ἐστι τέ-
λος, τέλειον. τὸ δὲ τέλειον τέλος ὡς ἁπλῶς εἰπεῖν, οὐθὲν ἂν ἄλλο
δόξειεν εἶναι, ἢ εὐδαιμονία. τὴν δ' εὐδαιμονίαν ἐκ πολλῶν ἀγαθῶν
συντίθεμεν. ἐὰν δὴ τὸ βέλτιστον σκοπῶν, καὶ αὐτὸ συναριθμῇς, αὐτὸ
ἔσται αὐτοῦ βέλτιον· αὐτὸ γὰρ βέλτιστον ἔσται. οἷον τὰ ὑγιεινὰ θεὶς καὶ τὴν
ὑγίειαν, σκόπει τί τούτων πάντων βέλτιστον. βέλτιστον δ' ἐστὶν ὑγίεια.
εἰ δὴ τούτων πάντων βέλτιστον· καὶ αὐτὸ αὐτοῦ βέλτιστον· ἄτοπον δὴ
συμβαίνει. οὐ δὴ ἴσως γε οὕτω σκεπτέον τὸ βέλτιστον. ἀλλ' ἆρά γε
οὕτως, οἷον, χωρὶς αὐτοῦ; ἢ καὶ τοῦτο ἄτοπον. ἡ γὰρ εὐδαιμονία ἐστὶν
ἔκ τινων ἀγαθῶν συγκειμένη. τὸ δ' ἐξ ὧν ἀγαθῶν σύγκειται, σκο-
πεῖν εἰ τοῦτ' ἐστὶ βέλτιον, ἄτοπον. οὐ γάρ ἐστιν ἄλλο τι χωρὶς τούτων
ἡ εὐδαιμονία, ἀλλὰ ταῦτα. ἀλλ' ἆρά γε οὕτως ἂν ὀρθῶς ἄν τις
σκοποῖτο συγκρίνων τὸ ἄριστον. οἷον αὐτὴν τὴν εὐδαιμονίαν τὴν
ἐκ τούτων τῶν ἀγαθῶν οὖσαν· συγκρίνων πρὸς ἄλλα, ἃ μή ἐστιν ἐν
αὐτῇ ἐνόντα, οὕτως τὸ ἄριστον σκοπῶν, ὀρθῶς ἂν σκοποίη. ἀλλ' οὐκ

ἔστι

Alia diuisio

ἀεὶ καθόλου τοῦτο βέλτιον οὗ ἕνεκεν καὶ τὰ ἄλλα

βέλτιον



ἐστὶν ἁπλοῦν τὸ ἄριστον ὃ ζητοῦμεν νῦν. οἷον λέγοι ἄν τις εἶναι ἄρι-
στον τὴν φρόνησιν ἁπάντων τῶν ἀγαθῶν καθ' ἓν συγκρινομένων·
ἀλλ' ἴσως οὐχ οὕτως ζητητέον ἐστὶ τὸ ἄριστον ἀγαθόν. τὸ γὰρ τέλει-
ον ζητοῦμεν ἀγαθόν. ἡ δὲ φρόνησις μόνη οὖσα οὐ τέλειον. οὐκ ἄρα
τοῦτο τὸ ἄριστον ὃ ζητοῦμεν· οὐδὲ τὸ οὕτως ἄριστον. μετὰ τοίνυν τοῦτο
ἔχει τἀγαθὰ ἄλλην διαίρεσιν. ἔστι γὰρ τῶν ἀγαθῶν τὰ μέν, ἐν ψυχῇ.
οἷον αἱ ἀρεταί· τὰ δ' ἐν τῷ σώματι· οἷον ὑγίεια, κάλλος· τὰ δέ, ἐκ-
τός, πλοῦτος, ἀρχή, τιμή, ἢ εἴ τι ἄλλο τῶν τοιούτων. τούτων δὲ τὰ
ἐν τῇ ψυχῇ βέλτιστα. τὰ δ' ἐν ψυχῇ ἀγαθὰ διαιρεῖται εἰς τρία· εἰς
φρόνησιν· εἰς ἀρετήν, καὶ ἡδονήν. ἤδη τοίνυν τὸ μετὰ τοῦτο ὃ
καὶ λέγομεν πάντες, καὶ δοκεῖ καὶ τέλος τῶν ἀγαθῶν· καὶ τελειό-
τατον εἶναι ἡ εὐδαιμονία· καὶ τοῦτο ταὐτὸ φαμὲν εἶναι
τὸ εὖ πράττειν καὶ εὖ ζῆν. τὸ δὲ τέλος ἐστὶν οὐχ ἁπλοῦν· ἀλλὰ διττόν.
ἐνίων μὲν γάρ ἐστι τὸ τέλος, αὐτὴ ἡ ἐνέργεια καὶ ἡ χρῆσις· οἷον τῆς ὄ-
ψεως. καὶ ἔστι γε ἡ χρῆσις αἱρετωτέρα τῆς ἕξεως· τέλος δὲ ἡ χρῆσις.
οὐδεὶς γὰρ ἂν βούλοιτο ἔχειν τὴν ὄψιν μὴ μέλλων ὁρᾶν, ἀλλὰ
μύειν. ὁμοίως δὲ καὶ ἐπὶ ἀκοῆς καὶ τῶν τοιούτων. ὧν ἄρα καὶ ἡ χρῆ-
σις καὶ ἕξις ἐστίν, ἀεὶ βέλτιον καὶ αἱρετώτερον ἡ χρῆσις τῆς
ἕξεως. ἡ γὰρ χρῆσις καὶ ἡ ἐνέργεια τέλος. ἡ δ' ἕξις, τῆς χρήσεως
ἕνεκα. μετὰ τοῦτο τοίνυν τοῦτ' ἐάν τις σκοπῇ ἐπὶ τῶν ἐπιστη-
μῶν πασῶν, ὄψεται οὐκ ἄλλην μὲν ποιοῦσαν οἰκίαν, ἄλλην δὲ
σπουδαίαν οἰκίαν, ἀλλὰ τὴν οἰκοδομικήν. καὶ οὗ ποιητικὸς ὁ
οἰκοδόμος, ἡ τούτου ἀρετὴ τὸ αὐτοῦ τούτου ποιητική. ὁ-
μοίως καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. μετὰ τοῦτο τοίνυν ὁρῶμεν ὅτι
οὐθενὶ ἄλλῳ ἢ ψυχῇ ζῶμεν. ἐν ψυχῇ δέ ἐστιν ἀρετή. τὸ αὐτὸ γάρ
φαμεν τήν τε ψυχὴν ποιεῖν, καὶ τὴν τῆς ψυχῆς ἀρετήν. ἀλλ' ἡ μὲν
ἀρετὴ ἐν ἑκάστῳ τοῦτο ποιεῖ εὖ οὗ ἐστιν ἀρετή. ἡ δὲ ψυχὴ καὶ τὰ ἄλλα
μέν. ψυχῇ δὲ ζῶμεν. διὰ τὴν τῆς ψυχῆς ἀρετὴν ἄρα εὖ ζήσομεν. τὸ δέ γε
εὖ ζῆν καὶ εὖ πράττειν, οὐθὲν ἄλλο, ἢ τὸ εὐδαιμονεῖν λέγομεν. τὸ ἄρα
εὐδαιμονεῖν καὶ ἡ εὐδαιμονία, ἐν τῷ εὖ ζῆν ἐστι. τὸ δ' εὖ ζῆν, ἐν τῷ κατὰ

ἐνίων

Alia diuisio bonorum

Bonorum animi diuisionem nota

μύειν conniuere

Quorum est usus et habitus, melior u[sus]

Felicitas in q(uo) co(n)sistat

Felicitaté nó esse ne(que) in ætate impfe(cta) neq(ue) in tempo(re) brevi

Felicitaté esse actione ergo nó est felix q(ui) dormit

Pars animæ altrix

Animæ partes 3.
Rationalis
Irascibilis
Concupiscibilis

τὰς ἀρετὰς ζῆν. τοῦτ᾽ ἄρα ἐστὶ τέλος καὶ ἡ εὐδαιμονία καὶ τὸ ἄριστον. ἐν χρήσει γίνοιτ᾽ ἄν τινι καὶ ἐνεργείᾳ. τέλος ἡ εὐδαιμονία. ὧν γὰρ ἕξις καὶ χρῆσις, ἡ χρῆσις καὶ ἡ ἐνέργεια τέλος. τῆς δὲ ψυχῆς ἡ ἀρετὴ ἕξις ἐστίν. ἔστι δὲ καὶ ἡ ἐνέργεια καὶ ἡ χρῆσις αὐτῆς τῶν ἀρετῶν. ὥστε τὸ τέλος ἂν εἴη ἡ ἐνέργεια καὶ ἡ χρῆσις αὐτῆς. ἡ εὐδαιμονία ἄρα εἴη ἂν ἐν τῷ κατὰ τὰς ἀρετὰς ζῆν. ἐπειδὴ τοίνυν τὸ ἄριστον ἀγαθόν ἐστιν ἡ εὐδαιμονία, καὶ αὕτη τέλος, ἐνέργεια, ζῶντές τις ἂν κατὰ τὰς ἀρετὰς εὐδαίμονες ἂν εἴημεν, καὶ ἔχοιμεν τὸ ἄριστον ἀγαθόν. ἐπεὶ οὖν ἐστὶν ἡ εὐδαιμονία τέλειον ἀγαθὸν καὶ τέλος, οὐ δεῖ τοῦτο δὲ λανθάνειν ὅτι καὶ ἐν τελείῳ ἔσται. οὐ γὰρ ἔσται ἐν παιδί. οὐ γὰρ ἐστὶ παῖς εὐδαίμων. ἀλλ᾽ ἐν ἀνδρί. οὗτος γὰρ τέλειος. οὐδ᾽ ἐν χρόνῳ ἀτελεῖ. ἀλλ᾽ ἐν τελείῳ. τέλειος δ᾽ ἂν εἴη χρόνος, ὅσον ἄνθρωπος βιοῖ. καὶ γὰρ λέγεται ὀρθῶς παρὰ τοῖς πολλοῖς, ὅτι δεῖ τὸν εὐδαίμονα ἐν τῷ μεγίστῳ χρόνῳ τοῦ βίου κρίνειν, ὡς δέον τὸ τέλειον εἶναι, καὶ ἐν χρόνῳ τελείῳ καὶ ἐν ἀνθρώπῳ. ὅτι δὲ ἐνέργειά ἐστιν, ἴδοι ἄν τις καὶ ἐντεῦθεν. ἐν γὰρ τοῖς ὕπνοις, οἷον εἴ τις καθεύδοι διὰ βίου, τὸν τοιοῦτον οὐ πάνυ βουλόμεθα λέγειν εὐδαίμονα εἶναι. τὸ μὲν γὰρ ζῆν αὐτῷ ὑπάρχει. ἀλλὰ τὸ ζῆν αὐτῷ κατὰ τὰς ἀρετὰς οὐχ ὑπάρχει, ὃ ἦν κατὰ τὴν ἐνέργειαν. μετὰ τοῦτο τὸ μέλλον λέγεσθαι οὔτ᾽ ἂν λίαν δόξειεν οἰκεῖον εἶναι τούτῳ οὔτε μακρὰν ἀπέχον. οἷον ἐπειδὴ τοίνυν ἐστὶν ὡς δοκεῖ μόριόν τι τῆς ψυχῆς, ᾧ τρεφόμεθα, ὃ καλοῦμεν θρεπτικόν. τοῦτο γὰρ εὔλογόν ἐστιν εἶναι. τοὺς γοῦν λίθους ὁρῶμεν ἀδυνάτους τρέφεσθαι ὄντας. ὥστε δῆλον ὅτι τῶν ἐμψύχων ἐστὶ τὸ τρέφεσθαι. εἰ δὲ τῶν ἐμψύχων, ἡ ψυχὴ ἂν εἴη αἰτία. τῆς δὲ ψυχῆς τούτων μὲν τῶν μορίων, οὐθὲν αἴτιον ἂν εἴη τοῦ τρέφεσθαι. οἷον τὸ λογιστικόν, ἢ τὸ θυμικόν, ἢ τὸ ἐπιθυμητικόν. ἄλλο δέ τι παρὰ ταῦτα, ᾧ οὐθὲν ἔχομεν οἰκειότερον ὄνομα ἐπιθεῖναι, ἢ θρεπτικόν. τί οὖν ἄν τις εἴποι. πότερον καὶ τούτου τοῦ μορίου τῆς ψυχῆς ἐστὶν ἀρετή. εἰ γὰρ ἔστι, δῆλον ὅτι καὶ ταύτῃ δεήσει ἐνεργεῖν. τῆς γὰρ τελείας ἀρετῆς ἡ ἐνέργεια, εὐδαιμονία. εἰ μὲν οὖν ἐστιν ἀρετὴ τούτου, ἢ μὴ ἔστιν

Perfectú tempus ÷ quod homini natura ad uiuendum tribuit



ὁρμή impulsus commotio

Virtutis diffinitio habitus optimus

Animæ diuisio 2. parte(s)
Rationale
Irrationale

Propter uirtute(s) morales laudam(ur) nó p(ro)pter intelle(ctuales)

Moralis uirtus q(ue)

In rebus incertis testimonijs certis utendum ÷

ἐστιν, ἄλλος λόγος. εἰ δ᾽ ἄρα ἐστὶν, οὐκ ἔστι ταύτης ἐνέργεια. ὧν γὰρ μή ἐστιν ὁρμή, οὐδ᾽ ἐνέργεια τούτων ἔσται. οὐκ ἔοικε δὲ εἶναι ὁρμὴ ἐν τῷ μορίῳ τούτῳ, ἀλλ᾽ ὅμοιον ἔοικεν εἶναι τῷ πυρί. καὶ γὰρ ἐκεῖνο, ὅτι ἂν ἐμβάλῃς, καταναλώσει. καὶ εἰ μὴ ἐμβάλῃς, οὐκ ἔχει ὁρμὴν πρὸς τὸ λαβεῖν. οὕτω καὶ τοῦτο τὸ μόριον τῆς ψυχῆς ἔχει. ἂν μὲν γὰρ ἐμβάλῃς τροφήν, τρέφει. ἂν δὲ μὴ ἐμβάλῃς τροφάς, οὐκ ἔχει ὁρμὴν τοῦ τρέφειν. διὸ οὐδ᾽ ἐνέργεια οὗ μηδὲ ὁρμή. ὥστ᾽ οὐδὲν συνεργεῖ τὸ μόριον τοῦτο πρὸς εὐδαιμονίαν. μετὰ ταῦτα τοίνυν λεκτέον ἂν εἴη τί ἐστιν ἡ ἀρετή. ἐπείπερ ἡ ταύτης ἐνέργεια ἐστὶν ἡ εὐδαιμονία. ὡς μὲν οὖν ἁπλῶς εἰπεῖν, ἐστὶν ἡ ἀρετὴ, ἕξις ἡ βελτίστη. ἀλλ᾽ ἴσως οὐχ ἱκανὸν οὕτως ἁπλῶς εἰπεῖν, ἀλλὰ σαφέστερον διορίσαι δεῖ. πρῶτον μὲν οὖν λεκτέον ὑπὲρ τῆς ψυχῆς ἐν ᾗ ἐγγίνεται. οὐ τί ἐστιν ἡ ψυχή. ὑπὲρ μὲν γὰρ τούτου ἄλλος λόγος. ἀλλ᾽ ὡς τύπῳ διελέσθαι. ἔστι δὴ ψυχὴ ὥς φαμεν εἰς δύο μέρη διῃρημένη. εἴς τε λόγον ἔχον, καὶ ἄλογον. ἐν μὲν γὰρ δὴ τῷ λόγον ἔχοντι ἐγγίνεται, φρόνησις, ἀγχίνοια, σοφία, εὐμάθεια, μνήμη, καὶ τὰ τοιαῦτα. ἐν δὲ τῷ ἀλόγῳ, αὗται αἱ ἀρεταὶ λεγόμεναι, σωφροσύνη, δικαιοσύνη, ἀνδρία, ὅσαι ἄλλαι τοῦ ἤθους δοκοῦσιν ἐπαινεταὶ εἶναι. κατὰ γὰρ ταύτας ἐπαινετοὶ λεγόμεθα. κατὰ δὲ τὰς τοῦ τὸν λόγον ἔχοντος, οὐδεὶς ἐπαινεῖται. οὔτε γὰρ ὅτι σοφὸς οὐδεὶς ἐπαινεῖται, οὔτε ὅτι φρόνιμος, οὐδ᾽ ὅλως κατά τι τῶν τοιούτων οὐθέν. οὐδὲ δὴ τὸ ἄλογον εἶναι ἢ ὑπηρετικόν ἐστι καὶ ὑπηρετεῖ, τῷ λόγον ἔχοντι μορίῳ. ἔστι δ᾽ ἡ ἀρετὴ ἠθικὴ ὑπὸ ἐνδείας καὶ ὑπερβολῆς φθειρομένη. ὅτι δὲ ἡ ἔνδεια καὶ ἡ ὑπερβολὴ φθείρει, τοῦτ᾽ ἰδεῖν ἐστὶν ἐκ τῶν ἠθικῶν. δεῖ δ᾽ ὑπὲρ τῶν ἀφανῶν τοῖς φανεροῖς μαρτυρίοις χρῆσθαι. εὐθέως γὰρ ἐπὶ γυμνασίων ἴδοι ἄν τις. πολλῶν γὰρ γινομένων φθείρεται ἡ ἰσχύς. ὀλίγων τε ὡσαύτως. ἐπί τε ποτῶν καὶ σιτίων ὡσαύτως. πολλῶν τε γὰρ δὴ γινομένων, φθείρεται ἡ ὑγίεια. ὀλίγων τε ὡσαύτως. συμμέτρων δὲ γινομένων σώζεται ἡ ἰσχύς καὶ ἡ ὑγίεια. ὁμοίως δὲ τούτοις συμβαίνει καὶ ἐπὶ σωφροσύνης καὶ



Quæ uirtutes in q(ua) animæ parte insint

| | |
|---|---|
| φρόνησις | Prudentia |
| ἀγχίνοια | solertia |
| σοφία | Sapientia |
| εὐμάθεια | Ingeniú |
| σωφροσύνη | Temp(er)antia |
| ἀνδρεία | Fortitudo |

ἐπὶ ἀνδρίας, καὶ τῶν ἄλλων ἀρετῶν. ἐὰν μὲν γάρ τινα λίαν ποιήσῃς ἄφοβον, ὥστε μηδὲ τοὺς θεοὺς φοβεῖσθαι, οὐκ ἀνδρεῖος, ἀλλὰ μαινόμενος. ἂν δὲ φοβούμενον πάντα, δειλός. ἀνδρεῖος ἄρα ἔσται, οὔτε ὁ φοβούμενος πάντα, οὔτε ὁ μηθέν. ταὐτὰ ἄρα καὶ αὔξει καὶ φθείρει τὴν ἀρετήν. καὶ γὰρ οἱ λίαν φόβοι καὶ πάντων, φθείρουσι. καὶ οἱ περὶ μηθὲν δέ, ὁμοίως. ἔστι δ' ἡ ἀνδρία περὶ φόβους. ὥστε οἱ μέτριοι φόβοι αὔξουσι τὴν ἀνδρίαν. ὑπὸ τῶν αὐτῶν ἄρα καὶ αὔξεται καὶ φθείρεται ἡ ἀνδρία. ὑπὸ φόβων γὰρ τοῦτο πάσχουσιν. ὁμοίως δὲ καὶ αἱ ἄλλαι ἀρεταί. ἔτι οὐ μόνον τοῖς τοιούτοις τὴν ἀρετὴν ἀφορίσειεν ἄν τις, ἀλλὰ καὶ λύπῃ καὶ ἡδονῇ. διὰ μὲν γὰρ τὴν ἡδονὴν, τὰ φαῦλα πράττομεν. διὰ δὲ τὴν λύπην, τῶν καλῶν ἀπεχόμεθα. ὅλως τε οὐκ ἔστι λαβεῖν ἀρετὴν καὶ κακίαν ἄνευ λύπης καὶ ἡδονῆς. ἔστιν οὖν ἡ ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας. ἡ δ' ἠθικὴ ἀρετή, ἐντεῦθεν τὰς ἐπωνυμίας ἔχει. εἰ δεῖ παρὰ γράμμα λέγοντα τὴν ἀλήθειαν ὡς ἔχει σκοπεῖν, δεῖ δ' ἴσως. τὸ γὰρ ἦθος ἀπὸ τοῦ ἔθους ἔχει τὴν ἐπωνυμίαν. ἠθικὴ γὰρ καλεῖται, διὰ τὸ ἐθίζεσθαι. ὃ καὶ δῆλον ὅτι οὐδεμία ἡμῖν τῶν ἀρετῶν τοῦ ἀλόγου μέρους φύσει ἐγγίνεται. οὐθὲν γὰρ τῶν ὄντων φύσει, ἔθει ἄλλως γίνεται. οἷον, ὁ λίθος καὶ ὅλως τὰ βαρέα πέφυκε κάτω φέρεσθαι. αὔ τις εἰ ἄπῃ πολλάκις καὶ ἐθίζῃ ἄνω φέρεσθαι, ὅμως οὐκ ἄν ποτε ἄνω ἐνεχθείη, ἀλλ' ἀεὶ κάτω. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων. μετὰ τοίνυν τοῦτο, δεῖ βουλομένους εἰπεῖν τὸ τί ἐστιν ἡ ἀρετή, εἰδῆσαι τίνα ἐστὶ τὰ ἐν τῇ ψυχῇ γινόμενα. ἔστι δ' ἃ ἐστὶ ταῦτα, πάθη, δυνάμεις, ἕξεις. ὥστε δῆλον τούτων αὐτὴ εἴη ἀρετή. πάθη μὲν οὖν ἐστιν, ὀργή, φόβος, μῖσος, πόθος, ζῆλος, ἔλεος, τὰ τοιαῦτα, οἷς εἴωθε παρακολουθεῖν λύπη καὶ ἡδονή. δυνάμεις δέ, καθ' ἃς παθητικοὶ τούτων λεγόμεθα. οἷον καθ' ἃς δυνατοί ἐσμεν ὀργισθῆναι, λυπηθῆναι, ἐλεῆσαι, καὶ τὰ τοιαῦτα. ἕξεις δ' εἰσί, καθ' ἃς πρὸς ταῦτα ἔχομεν εὖ, ἢ κακῶς. οἷον πρὸς τὸ ὀργισθῆναι. εἰ μὲν λίαν ὀργίλως, κακῶς ἔχομεν πρὸς ὀργήν. εἰ δ' ὅλως μὴ ὀρ-

Nō capere uirtutē aut uitiū sine tristi[tia] aut uoluptate

ἠθικὴ καλεῖται διὰ τὸ ἐθίζεσθαι

Quae in anima fiunt
Affectus
Potentiae
Habitus

 

ὑπεραλγεῖν — ἀνάλγητως, ἀναλγησία

γιζόμεθα ἐφ' οἷς δεῖ, καὶ οὕτω κακῶς ἔχομεν πρὸς ὀργήν. τὸ ἄρα μέσως ἔχον, τὸ μήτε λίαν ὑπεραλγεῖν, μήτε παντελῶς ἀνάλγητως ἔχειν. ὅταν οὖν οὕτως ἔχωμεν, εὖ διακείμεθα. ὁμοίως δὲ πρὸς τὰ ἄλλα τὰ ὅμοια. τὸ γὰρ εὐόργητον καὶ τὸ πρᾶον ἐν μεσότητι ὀργῆς καὶ ἀναλγησίας τῆς πρὸς ὀργήν. ὁμοίως ἐπὶ ἀλαζονείας. τὸ μὲν γὰρ πλείω προσποιεῖσθαι τῶν ὑπαρχόντων ἔχειν, ἀλαζονείας. τὸ δ' ἐλάττω, εἰρωνείας. ἡ ἄρα μεσότης τούτων, ἡ ἀλήθειά ἐστιν. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων πάντων. τοῦτο γάρ ἐστι τῆς ἕξεως. τὸ εὖ ἢ κακῶς πρὸς ταύτην ἔχειν. τὸ δ' εὖ ἔχειν πρὸς ταῦτα ἐστὶ τὸ μήτε πρὸς τὴν ὑπερβολὴν ἔχειν μήτε πρὸς τὴν ἔνδειαν. πρὸς μεσότητα ἄρα τῶν τοιούτων καθ' ἃ ἐπαινετοὶ λεγόμεθα, ἡ ἕξις. τοῦ δὲ κακῶς, πρὸς ὑπερβολὴν καὶ ἔνδειαν. ἐπεὶ τοίνυν ἐστὶν ἡ ἀρετὴ τῶν παθῶν τούτων μεσότης, τὰ δὲ πάθη ἤτοι λῦπαι εἰσὶν ἢ ἡδοναί, ἢ οὐκ ἄνευ λύπης ἢ ἡδονῆς, ἡ ἄρα ἀρετή ἐστι περὶ λύπας καὶ ἡδονάς. καὶ ἐντεῦθεν ἐστὶ δῆλον. ἔστι δὲ καὶ ἄλλα πάθη ὡς δόξειεν ἄν τισιν, ἐφ' ὧν ἡ κακία οὐκ ἔστιν ἐν ὑπερβολῇ καὶ ἐλλείψει τινί. οἷον μοιχεία, καὶ ὁ μοιχός, οὐκ ἔστιν οὗτος ὁ μᾶλλον τὰς ἐλευθέρας διαφθείρων. ἀλλὰ καὶ τοῦτο, καὶ εἴ τι ἄλλο τοιοῦτόν ἐστιν, ὃ περιέχεται ἡδονῇ τῇ κατὰ τὴν ἀκολασίαν, ἢ καὶ ὃ ἐν ἐλλείψει, ἢ ὃ ἐν ὑπερβολῇ τὸ ψεκτὸν ἔχει. μετὰ τοίνυν τοῦτο, ἀναγκαῖόν ἐστιν ἴσως ῥηθῆναι τί τῇ μεσότητι ἀντίκειται. πότερον ἡ ὑπερβολὴ, ἢ ἔνδεια. ἐνίαις μὲν γὰρ μεσότησιν, ἡ ἔνδεια ἐναντίον. ἐνίαις δὲ ὑπερβολή. οἷον, ἀνδρίᾳ μὲν οὐχ ἡ θρασύτης ὑπερβολὴ οὖσα, ἀλλ' ἡ δειλία ἔνδεια οὖσα. τῇ δὲ σωφροσύνῃ μεσότητι οὔσῃ ἀκολασίας καὶ ἀναισθησίας τῆς περὶ ἡδονάς, οὐ δοκεῖ ἐναντίον εἶναι ἡ ἀναισθησία, ἔνδεια οὖσα, ἀλλ' ἡ ἀκολασία, οὖσα ὑπερβολή. ἔστι δ' ἀμφότερα ἐναντία τῇ μεσότητι, καὶ ἡ ὑπερβολὴ καὶ ἡ ἔνδεια. ἡ γὰρ μεσότης, τῆς μὲν ὑπερβολῆς ἐνδεέστερον, τῆς δὲ ἐνδείας ὑπερβάλλον. διὸ καὶ οἱ μὲν ἄσωτοι, τοὺς ἐλευθερίους ἀνελευθερίους φασὶν εἶναι. οἱ δ' ἀνελεύθεροι, τοὺς ἐλευθερίους ἀσώτους. καὶ οἱ μὲν θρασεῖς καὶ προπετεῖς, τοὺς ἀνδρείους καλοῦσι δειλούς. οἱ δὲ

Irascendū est sed temperate

Iactantia nō est improbandam sit mediocris

εἴρωνς dissimulatione

Quid medietati aduersetur

.: liberas mulieres

οἴω

δειλοί. τοὺς ἀνδρείους προπετεῖς καὶ μαινομένους. ἔστι δὲ διὰ δύο αἰτίας δόξειεν ἂν ἀντιτιθέναι τῇ μεσότητι τὰς ὑπερβολὰς καὶ τὰς ἐνδείας. ἢ γὰρ ἐξ αὐτοῦ τοῦ πράγματος σκοποῦσι πότερον ἐγγύτερόν ἐστι τοῦ μέσου, ἢ πορρώτερον· οἷον ἐλευθεριότητι· πότερον ἀσωτία ἢ ἀνελευθερία πορρώτερον· μᾶλλον γὰρ ἂν δόξειεν ἡ ἐλευθεριότης ἀσωτία ἢ ἀνελευθερία. πορρώτερον ἄρα ἡ ἀνελευθερία. τὰ δὲ πλεῖον ἀπέχοντα τοῦ μέσου ἐναντιώτερα δόξειεν ἂν εἶναι. ἐκ μὲν ἄρα αὐτοῦ τοῦ πράγματος, ἡ ἔνδεια ἐναντιωτέρα φαίνεται. ἔστι δὲ καὶ ἄλλως. οἷον, πρὸς ἃ μᾶλλον πεφύκαμεν, ταῦτα μᾶλλον ἐναντία τῷ μέσῳ. οἷον πεφύκαμεν πρὸς τὸ μᾶλλον ἀκόλαστοι, ἢ κόσμιοι εἶναι. ἡ οὖν ἐπίδοσις γίνεται μᾶλλον πρὸς ἃ πεφύκαμεν· πρὸς ἃ δὲ μᾶλλον ἐπιδίδομεν ταῦτα καὶ μᾶλλον ἐναντία. ἐπιδίδομεν δὲ πρὸς ἀκολασίαν μᾶλλον ἢ κοσμιότητι· ὥστε ἐναντιώτερον ἂν εἴη ὑπερβολὴ μεσότητος. ἡ γὰρ ἀκολασία, ὑπερβολὴ σωφροσύνης. Ὅτι τι μὲν οὖν ἐστὶν ἡ ἀρετή, ἐσκεπτέον. μεσότης γὰρ δοκεῖ τις εἶναι τῶν παθῶν. ὥστε δέοι ἂν τὸν μέλλοντα κατὰ τὸ ἦθος εὐδοκιμήσειν, τὴν μεσότητα τῶν παθῶν ἑκάστου διατηρεῖν. διὸ καὶ ἔργον ἐστὶ σπουδαῖον εἶναι. ἐν ἑκάστῳ γὰρ τὸ μέσον λαβεῖν ἔργον. οἷον κύκλον μὲν γράψαι, παντός ἐστι· τὸ δὲ μέσον τὸ ἐν αὐτῷ ἤδη λαβεῖν, χαλεπόν. ὁμοίως δὲ ὀργισθῆναι μὲν, ῥᾴδιον. καὶ τὸ ἐναντίον δὲ τούτου· τὸ δὲ μέσως ἔχειν, χαλεπόν. ἁπλῶς δὲ ἐν ἑκάστῳ τῶν παθῶν ἔστιν ἰδεῖν, ὅτι τὸ ἐμπεριέχον τὸ μέσον, ῥᾴδιόν ἐστι· τὸ δὲ μέσον, χαλεπόν. καθ' ὃ ἐπαινούμεθα. διὸ καὶ σπάνιον τὸ σπουδαῖον. (ἐπειδὴ οὖν ὑπὲρ ἀρετῆς εἴρηται), μετὰ τοῦτ' ἂν εἴη σκεπτέον, πότερον δυνατὴ παραγενέσθαι, ἢ οὔ. ἀλλ' ὥσπερ Σωκράτης ἔφη, οὐκ ἐφ' ἡμῖν γενέσθαι τὸ σπουδαίους εἶναι ἢ φαύλους. εἰ γάρ τις φησὶν ἐρωτήσειεν ὁντινοῦν, πότερον ἂν βούλοιτο δίκαιος εἶναι ἢ ἄδικος, οὐθεὶς ἂν λέγοι τὴν ἀδικίαν. ὁμοίως δὲ ἐπ' ἀνδρείας καὶ δειλίας, καὶ τῶν ἄλλων ἀρετῶν ἀεὶ ὡσαύτως. δῆλον ὡς εἰ φαῦλοί τινές εἰσιν, οὐκ ἂν ἑκόντες εἴησαν φαῦλοι. ὥστε δῆλον ὅτι οὐδὲ σπουδαῖοι.

ὁ δὴ

*Quae plus distant a medio uidentur ee contraria*

*Virtuosum ee difficile est. qa uirtus ÷ medium. & medium .i. centrū inuenire in circulo laboriosum ÷*

*Socrates*

*An sit in bonis esse bonos*



ὁ δὴ τοιοῦτος λόγος οὐκ ἔστιν ἀληθής. διὰ τί γὰρ ὁ νομοθέτης οὐκ ἐᾷ τὰ φαῦλα πράττειν, τὰ δὲ καλὰ καὶ σπουδαῖα κελεύει. καὶ ἐπὶ μὲν τοῖς φαύλοις ζημίαν τάττει ἂν πράττῃ, ἐπὶ δὲ τοῖς καλοῖς ἂν μὴ πράττῃ. καίτοι ἄτοπον ἂν εἴη ταῦτα νομοθετεῖν ἃ μὴ ἐφ' ἡμῖν ἐστι πράττειν. ἀλλ' ὡς ἔοικεν ἐφ' ἡμῖν τὸ σπουδαίοις εἶναι καὶ τὸ φαύλοις. ἔτι δὲ μαρτυροῦσιν οἵ τε ἔπαινοι καὶ ψόγοι γινόμενοι. ἐπὶ μὲν γὰρ τῇ ἀρετῇ, ἔπαινος, ἐπὶ δὲ τῇ κακίᾳ, ψόγος. ἔπαινος δὲ καὶ ψόγος, οὐκ ἐπὶ τοῖς ἀκουσίοις. ὥστε δῆλον ὅτι καὶ οὕτως ἐφ' ἡμῖν καὶ τὰ σπουδαῖά ἐστι πράττειν καὶ τὰ φαῦλα. ἔλεγον δὲ καὶ τοιαύτην τινὰ παραβολὴν βουλόμενοι δεικνύναι ὅτι οὐχ ἑκούσιον. διὰ τί γάρ φασιν ὅταν νοσῶμεν ἢ αἰσχροὶ ὦμεν, οὐδεὶς ψέγει τοὺς τοιούτους. τὸ δ' οὐκ ἀληθές. ψέγομεν γὰρ καὶ τοὺς τοιούτους ὅταν αὐτοὺς οἰηθῶμεν αἰτίους εἶναι τοῦ νοσεῖν ἢ τοῦ κακῶς ἔχειν τὸ σῶμα. ὡς ὂν καὶ ἐνταῦθα τὸ ἑκούσιον. ἔοικε δὲ καὶ τὸ κατ' ἀρετὴν καὶ κακίαν εἶναι τὸ ἑκούσιον. ἔτι δ' αὐτὶς τοῦτο ἐναργέστερον καὶ ἐκ τῶνδε ἴδοι. πᾶσα γὰρ φύσις γεννητική ἐστιν οὐσίας τοιαύτης, οἵα ἐστίν. οἷον τὰ φυτὰ καὶ τὰ ζῷα. ἀμφότερα γὰρ γεννητικά. γεννητικὰ δὲ ἐκ τῶν ἀρχῶν. οἷον τὸ δένδρον ἐκ τοῦ σπέρματος. αὕτη γὰρ τίς ἀρχή. τὸ δὲ μετὰ τὰς ἀρχὰς οὕτως ἔχει· ὡς γὰρ ἂν ἔχωσιν αἱ ἀρχαί, οὕτως καὶ τὰ ἐκ τῶν ἀρχῶν ἔχει. ἐναργέστερον δ' ἐστὶ κατιδεῖν τοῦτο ἐν τοῖς κατὰ γεωμετρίαν. καὶ γὰρ ἐκεῖ ἐπειδή τινες λαμβάνονται ἀρχαί, ὡς ἂν ἔχωσιν, οὕτω καὶ τὰ μετὰ τὰς ἀρχάς. οἷον εἰ τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει, τὸ δὲ τετράγωνον τέτταρσι. καὶ ἐὰν μεταβάλλῃ τὸ τρίγωνον, οὕτω καὶ τὸ τετράγωνον συμμεταβαίνει. ἀντιστρέφει γάρ. καὶ ἐὰν τὸ τετράγωνον μὴ ἔχῃ τέτταρσιν ὀρθαῖς ἴσας, οὐδὲ τὸ τρίγωνον ἕξει δυσὶν ὀρθαῖς ἴσας. οὕτω τοίνυν καὶ ὁμοίως τούτοις καὶ ἐπ' ἀνθρώπου. ἐπειδὴ γὰρ γεννητικόν ἐστιν ἄνθρωπος οὐσίας ἐκ τινῶν ἀρχῶν καὶ τῶν πράξεων ὧν πράττει ἄνθρωπος, γεννητικόν ἐστι. τί γὰρ ἂν ἄλλο. οὔτε γὰρ ἀψύχων οὐθὲν λέγομεν πράττειν, οὔτε τῶν ἐμψύχων ἔξω ἀνθρώπων. δῆλον οὖν ὅτι ὁ ἄνθρωπος τῶν πράξεών ἐστι γεννητικός. ἐπεὶ οὖν ὁρῶμεν μεταβαλλούσας τὰς πράξεις, καὶ οὐδέποτε ταὐτὰ πράττομεν. εἰσὶ δὲ αἱ-

πράξεις γε γινόμεναι ἐκ τινῶν ἀρχῶν. δῆλον ὅτι ἐπειδὴ καὶ αἱ πράξεις μεταβάλλουσι, καὶ αἱ ἀρχαὶ τῶν πράξεων ἀφ' ὧν εἰσι μεταβάλλουσιν, ὥσπερ ἔφαμεν παραβάλλοντες ἐπὶ τῶν γεωμετρίας. ἀρχὴ δ' ἐστὶ πράξεως καὶ σπουδαίας καὶ φαύλης, προαίρεσις καὶ βούλησις, καὶ τὸ κατὰ λόγον πᾶν. δῆλον τοίνυν ὅτι καὶ αὗται μεταβάλλουσι. μεταβάλλομεν δὲ καὶ ταῖς πράξεσιν ἑκόντες· ὥστε καὶ ἡ ἀρχὴ καὶ ἡ προαίρεσις μεταβάλλει γὰρ ἑκουσίως. ὥστε δῆλον ὅτι ἐφ' ἡμῖν ἂν εἴη καὶ σπουδαίοις εἶναι καὶ φαύλοις. ἴσως οὖν λέγοι ἄν τις· ἐπειδήπερ ἐπ' ἐμοί ἐστι τὸ δικαίῳ εἶναι καὶ σπουδαίῳ, ἐὰν βούλωμαι, ἔσομαι πάντων σπουδαιότατος. οὐδὲ δυνατὸν τοῦτο. διὰ τί; ὅτι οὐδ' ἐπὶ τοῦ σώματος γίνεται τοῦτο. οὐ γὰρ ἄν τις βούληται ἐπιμελεῖσθαι τοῦ σώματος, καὶ δὴ πάντων ἄριστον ἕξει τὸ σῶμα. δεῖ γὰρ μὴ μόνον τὴν ἐπιμέλειαν ὑπάρχειν, ἀλλὰ καὶ τῇ φύσει γίνεσθαι τὸ σῶμα καλὸν κἀγαθόν. βέλτιον μὲν οὖν ἕξει τὸ σῶμα, ἄριστα μέντοι πάντων οὔ. ὁμοίως δεῖ ὑπολαμβάνειν καὶ ἐπὶ τῆς ψυχῆς. οὐ γὰρ ἔσται ὁ προαιρούμενος εἶναι σπουδαιότατος, ἂν μὴ ἡ φύσις ὑπάρξῃ. βελτίων μέντοι ἔσται. ἐπεὶ οὖν φαίνεται ἐφ' ἡμῖν ὂν τὸ σπουδαῖον εἶναι, ἀναγκαῖον τὸ μετὰ ταῦτα εἰπεῖν ὑπὲρ ἑκουσίου, τί ἐστι τὸ ἑκούσιον. τοῦτο γάρ ἐστι τὸ κυριώτατον κατὰ τὴν ἀρετήν, τὸ ἑκούσιον. ἑκούσιον δὲ ἁπλῶς μὲν οὕτως εἰπεῖν ἐστιν, ὃ πράττομεν μὴ ἀναγκαζόμενοι. ἀλλ' ἴσως σαφέστερον ἐστι λεκτέον ὑπὲρ αὐτοῦ. ἔστι μὲν οὖν καθ' ὃ πράττομεν ὄρεξις. ὀρέξεως δέ ἐστιν εἴδη τρία, ἐπιθυμία, θυμός, βούλησις. πρῶτον μὲν οὖν τὴν κατ' ἐπιθυμίαν πρᾶξιν ἐπισκεπτέον, πότερον ἑκούσιόν ἐστιν ἢ ἀκούσιον. οἷον τὸ μὲν οὖν ἀκούσιον, οὐκ ἂν δόξειε. διὰ τί καὶ πόθεν; ὅτι ὅσα μὴ ἑκόντες πράττομεν, ἀναγκαζόμενοι πράττομεν. ἐπὶ δὲ τοῖς ἐξ ἀνάγκης πραττομένοις πᾶσιν ἕπεται λύπη. τοῖς δὲ δι' ἐπιθυμίαν πραττομένοις ἡδονὴ ἀκολουθεῖ. ὥστε οὕτω γε οὐκ ἂν εἴη τὰ δι' ἐπιθυμίαν πραττόμενα ἀκούσια, ἀλλ' ἑκούσια. ἀλλὰ πάλιν ἄλλος λόγος τις τούτῳ ἐναντιοῦται, ὁ ἐπὶ τῆς ἀκρασίας. οὐθεὶς γάρ φησι πράττει ἑκὼν τὰ κακά, εἰδὼς ὅτι κακά ἐστιν.

*Origo actus virtuosi & vitiosi est electio et voluntas*

*…sse in nobis positum ut simus boni nota[ndum] …men ut sim[us] optimi*

*Voluntarium q[uo]d fit τὸ ἑκούσιον*

*ὄρεξις appetitus*

*Appetitus tria genera*

*ἐπιθυμία cupiditas*

*θυμός furor*

*βούλησις voluntas*

*De incontinente*



ἐστίν. ἀλλὰ μὴν φησίν ὅ γε ἀκρατὴς εἰδὼς ὅτι ταῦτα φαῦλά ἐστιν, ὅμως πράττει, καὶ κατ' ἐπιθυμίαν γε πράττει. οὐχ ἑκὼν ἄρα. ἀναγκαζόμενος ἄρα. ἐνταῦθα πάλιν ὁ αὐτὸς λόγος ἀπαντήσεται. εἰ γὰρ κατ' ἐπιθυμίαν, οὐκ ἐξ ἀνάγκης. τῇ γὰρ ἐπιθυμίᾳ ἡδονὴ ἀκολουθεῖ. τὰ δὲ δι' ἡδονήν, οὐκ ἐξ ἀνάγκης. καὶ ἄλλως δ' οὖν ἂν γένοιτο δῆλον ὅτι ὁ ἀκρατὴς ἑκὼν πράττει. οἱ μὲν γὰρ ἀδικοῦντες, ἑκόντες ἀδικοῦσιν. οἱ δὲ ἀκρατεῖς, ἄδικοι καὶ ἀδικοῦσιν. ὥστε ὁ ἀκρατὴς ἑκὼν ἂν πράττοι τὰ κατὰ τὴν ἀκρασίαν. ἀλλὰ πάλιν ἄλλος λόγος ἐναντιοῦται, ὅς φησιν οὐχ ἑκούσιον εἶναι. ὁ γὰρ ἐγκρατὴς ἑκὼν πράττει τὰ κατὰ τὴν ἐγκράτειαν. ἐπαινεῖται γάρ· ἐπαινοῦνται δὲ ἐπὶ τοῖς ἑκουσίοις. εἰ δ' ἐστὶ τὸ κατὰ τὴν ἐπιθυμίαν ἑκούσιον, τὸ παρὰ τὴν ἐπιθυμίαν ἀκούσιον. ὁ δ' ἐγκρατὴς παρὰ τὴν ἐπιθυμίαν πράττει. ὥστε ὁ ἐγκρατὴς οὐχ ἑκὼν ἂν εἴη ἐγκρατής. ἀλλ' οὐ δοκεῖ. οὐδ' ἄρα τὸ κατ' ἐπιθυμίαν ἑκούσιόν ἐστι. πάλιν ἐπὶ τῶν κατὰ τὸν θυμὸν ὁμοίως. οἱ γὰρ αὐτοὶ λόγοι οἵπερ καὶ κατὰ τὴν ἐπιθυμίαν ἁρμόττουσιν. ὥστε τὴν ἀπορίαν ποιήσουσιν. ἔστι γὰρ ἀκρατῆ καὶ ἐγκρατῆ ὀργῆς εἶναι. ἔτι λοιπὴ ἐστὶ τῶν ὀρέξεων ὧν διειλόμεθα ἡ βούλησις, πρὸς τὸ ἐπισκέπτεσθαι εἰ ἐστὶν ἑκούσιον. ἀλλὰ μὴν οἵ γε ἀκρατεῖς ἐφ' ἃ ὁρμῶσι ταῦτα τέως βούλονται. πράττουσιν ἄρα οἱ ἀκρατεῖς τὰ φαῦλα βουλόμενοι. ἑκὼν δέ γε οὐθεὶς τὰ κακὰ εἰδὼς πράττει ὅτι κακά ἐστιν. ὁ δ' ἀκρατὴς εἰδὼς τὰ κακὰ ὅτι κακὰ πράττει βουλόμενος. οὐχ ἄρα ἑκών. οὐδ' ἡ βούλησις ἄρα ἑκούσιός ἐστιν. ἀλλ' οὗτος ὁ λόγος ἀναιρεῖ ἀκρασίαν καὶ τὸν ἀκρατῆ. εἰ γὰρ μὴ ἑκών, οὐκ ἔστι ψεκτός. ἀλλ' ἔστιν ὁ ἀκρατὴς ψεκτός. ἑκὼν ἄρα. ἡ ἄρα βούλησις ἑκούσιον. ἐπεὶ οὖν λόγοι τινὲς ἐναντίοι φαίνονται, σαφέστερον λεκτέον ὑπὲρ τοῦ ἑκουσίου. πρότερον αὐτοίνυν εἴη λεκτέον ὑπὲρ βίας καὶ ἀνάγκης. ἡ μὲν γὰρ βία ἐστὶ καὶ ἐν τοῖς ἀψύχοις. ἑκάστοις γάρ ἐστι τῶν ἀψύχων οἰκεῖος τόπος ἀποδεδομένος· τῷ μὲν πυρί, ὁ ἄνω, τῇ δὲ γῇ, ὁ κάτω. ἔστι μέντοι γε βιάσασθαι καὶ τὸν λίθον ἄνω φέρεσθαι καὶ τὸ πῦρ κάτω. ἔστι δὲ καὶ τὸ ζῶον βιάσασθαι. οἷον τὸν ἵππον ἐπ' εὐθὺ θέοντα, ἀντιλαμβανόμενον ἀποστρέψαι. ὅσοις μὲν οὖν ἐστιν ἐκτός ἡ αἰ-

*An incontine[n]s invitus an volu[n]tarius faciat*

*ἐγκρατής cōtin[ens]*

*Ratio quae tollit incontinentiam & incontinentē*

*Vis seu violētia*

Τέως

.: Neq. incontinens ... gauerit se malú esse &c.



τία τὸ παρὰ φύσιν τι ἢ παρ' ἃ βούλονται ποιεῖν, ἐροῦμεν βιαζομένους αὖ ποιοῦσι. ποιεῖν. ἐν οἷς δὲ οὐδὲν αὐτοῖς ἐστὶν ἡ αἰτία, οὐκ ἔτι τούτους βιάζεσθαί φαμεν. εἰ δὲ μὴ ἀκρατὴς αὐτὸν ἐρεῖ ὃ φάσκων φαῦλος εἶναι βιαζόμενος γὰρ φησὶν ὑπὸ τῆς ἐπιθυμίας, τὰ φαῦλα πράττειν. τοῦ δὲ βιαίου τούτου ἡ μὲν ἐστιν ὁ ὁρισμός. ὧν ἔξωθέν ἐστιν ἡ αἰτία ἀφ' ἧς βιάζονται πράττειν. ὧν δ' ἐν αὐτοῖς ἡ ἐν αὐτῷ ἡ αἰτία, οὐ βία. πάλιν δ' ὑπὲρ ἀναγκαίου τοῦ ἀναγκαίου λεκτέον. τὸ δὲ ἀναγκαῖον, οὐ πάντως, οὐδ' ἐν παντὶ λεκτέον ἐστίν. οἷον, ὅσα ἡδονῆς ἕνεκεν πράττομεν. εἰ γάρ τις λέγοι ὅτι ἠναγκάσθη τὴν τοῦ φίλου γυναῖκα διαφθεῖραι ὑπὸ τῆς ἡδονῆς, ἄτοπον ἂν εἴη. τὸ γὰρ ἀναγκαῖον οὐκ ἐν παντί. ἀλλ' ἤδη ἐν τοῖς ἐκτός. οἷον ἐάν τις καταβλάπτηται. αὐτὶ καταμανθάνομεν ὅτι ἀλλόμενον ὑπὸ τῶν πραγμάτων. οἷον ἠναγκάσθην συντρώσας βαδίσαι εἰς ἀγρόν. εἰ δὲ μὴ ἀπολωλότ' ἂν εὗρον τὰ ἐν ἀγρῷ. ἐν τούτοις ἄρα τὸ ἀναγκαῖον. ἐπεὶ δὲ τὸ ἀκούσιον ἐν τῇ δέ μοι ἀφορμῇ, λοιπὸν ἂν εἴη τὸ ἐκ διανοίας γινόμενον. τὸ γὰρ ἀκούσιον ἐστι, τὸ κατ' ἀνάγκην καὶ κατὰ βίαν γινόμενον. καὶ τρίτον ὃ μὴ μετὰ διανοίας γίνεται. δῆλον δ' ἐστὶ τοῦτο ἐκ τῶν γινομένων. ὅταν γάρ τις πατάξῃ τινὰ ἢ ἀποκτείνῃ, ἢ τι τῶν τοιούτων ποιήσῃ μηδὲν προδιανοηθείς, ἄκοντά φαμεν πρᾶξαι. ὡς τὸ ἑκούσιον ὄντος ἐν τῷ διανοηθῆναι. οἷον φασί ποτέ τινα γυναῖκα, φίλτρον τινὶ δοῦναι πιεῖν. εἶτα τὸν ἄνδρα ἀποθανεῖν ἀπὸ τοῦ φίλτρου. τὴν δ' ἄνθρωπον ἐν Ἀρείῳ πάγῳ ἀποφυγεῖν. οὗ παροῦσαν, δι' οὐδὲν ἄλλο ἀπέλυσαν, ἢ διότι οὐκ ἐκ προνοίας. ἔδωκε μὲν γὰρ φιλίᾳ, διήμαρτε δὲ τούτου. διὸ οὐχ ἑκούσιον ἐδόκει εἶναι, ὅτι τὴν δόσιν τοῦ φίλτρου οὐ μετὰ διανοίας τοῦ ἀπολέσθαι αὐτὸν ἐδίδου. ἐνταῦθα ἄρα τὸ ἑκούσιον πίπτει εἰς τὸ μετὰ διανοίας. ἔτι δὲ λοιπόν ἐστιν ὥστε ἐξετάσαι τὴν προαίρεσιν. πότερόν ἐστιν ὄρεξις ἢ οὔ. ὄρεξις μὲν οὖν καὶ ἐν τοῖς ἄλλοις ζῴοις ἐγγίνεται, προαίρεσις δ' οὔ. ἡ γὰρ προαίρεσις, μετὰ λόγου. λόγος δ' οὐδενὶ τῶν ἄλλων ζῴων ἐστίν. ὄρεξις μὲν δὴ οὐκ ἂν εἴη. ἀλλ' ἄρα γε βούλησις. ἢ οὐδὲ τοῦτο. βούλησις

μὲν

βίαιον qd.

Necessariú qd.

Dissentit qntilianus lib aristo. in 3. orat. instit. ubi loqtur de partibus deliberatiui generis

Quod nó ex animi sententia fit ab inuito fieri, & exéplú areopagi.

An προαίρεσις sit ὄρεξις

ὄρεξις etiá in mutis. προαίρεσις in rationalib⁹ i. propositú

διανοίας. industria & certa scientia. & animi sententia, q & paulo post προνοίαν appellat



μὲν γάρ ἐστι καὶ τῶν ἀδυνάτων. οἷον βουλόμεθα μὲν ἀθάνατοι εἶναι. προαιρούμεθα δὲ οὔ. ἔτι δὲ προαίρεσις μὲν οὐκ ἔστι τοῦ τέλους. ἀλλὰ τῶν πρὸς τὸ τέλος. οἷον οὐθεὶς προαιρεῖται ὑγιαίνειν. ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν προαιρούμεθα περιπατεῖν. προχάζειν. βουλόμεθα δὲ τὰ τέλη. ὑγιαίνειν γὰρ βουλόμεθα. ὥστε δῆλον καὶ οὕτως ὅτι οὐ ταὐτὸν ἡ βούλησις καὶ ἡ προαίρεσις. ἀλλ' ἡ προαίρεσις ἔοικεν οὕτως ἔχειν, ὥσπερ καὶ τοὔνομα αὐτῆς ἔχει. οἷον, προαιρούμεθα τόδε ἀντὶ τοῦδε. οἷον, τὸ βέλτιστον, ἀντὶ τοῦ χείρονος, ἐν αἱρέσει ὄντος. ἐνταῦθα τὸ προαιρεῖσθαι δόξειεν ἂν οἰκεῖον εἶναι. ἐπεὶ οὖν ἡ προαίρεσις οὐθὲν τούτων ἐστί, ἆρά γε ἐστὶ τὸ κατὰ διάνοιαν ἐν προαιρέσει. ἢ οὐδὲ τοῦτο. πολλὰ γὰρ διανοούμεθα καὶ δοξάζομεν κατὰ διάνοιαν. ἆρ' οὖν ἃ διανοούμεθα ταῦτα καὶ προαιρούμεθα, ἢ οὔ. πολλάκις γὰρ διανοούμεθα ὑπὲρ τῶν ἐν Ἰνδοῖς. ἀλλ' οὔτι καὶ προαιρούμεθα. οὐκ ἄρα οὐδὲ διάνοιά ἐστιν ἡ προαίρεσις. ἐπεὶ δ' οὖν καθ' ἕκαστον τούτων οὐθέν ἐστιν ἡ προαίρεσις ταῦτα δὲ ἐστι τὰ ἐν τῇ ψυχῇ γινόμενα, ἀναγκαῖον συνδυαζομένων τινῶν, τοῦτ' εἶναι τὴν προαίρεσιν. ἐπεὶ οὖν ἐστιν ὥσπερ ἔμπροσθεν ἐλέχθη ἡ προαίρεσις τῶν πρὸς τὸ τέλος ἀγαθῶν καὶ οὐ τοῦ τέλους, καὶ τῶν δυνατῶν ἡμῖν. καὶ τῶν ἀντιλογίαν παρεχόντων, πότερον τοῦτ' ἢ τοῦτο αἱρετόν. δῆλον ὅτι δεῖ αὐτὰ πρότερον διανοηθῆναι ὑπὲρ αὐτῶν καὶ βουλεύσασθαι. εἶθ' ὅταν ἡμῖν φανῇ κρεῖττον διανοηθεῖσιν, οὕτως ὁρμή τις τοῦ πράττειν ἐστί. καὶ τοῦτο δὴ πράττοντες, κατὰ προαίρεσιν δοκοῦμεν πράττειν. εἰ τοίνυν ἡ προαίρεσις ὄρεξίς τις βουλευτικὴ μετὰ διανοίας, οὐκ ἔστι τὸ ἑκούσιον προαιρετόν. ἑκόντες γὰρ πολλὰ πράττομεν πρὸ τοῦ διανοηθῆναι καὶ βουλεύσασθαι. οἷον, καθίζομεν καὶ ἀνιστάμεθα. καὶ ἄλλα πολλὰ τοιαῦτα ἑκόντες μέν, οὐ διανοηθέντες. οὐκ ἄρα τὸ ἑκούσιον προαιρετόν, ἀλλὰ τὸ προαιρετὸν ἑκούσιον. αὐτὶ γὰρ προαιρούμεθα πράττειν βουλευσάμενοι, ἑκόντες πράττομεν.

Volútaté etiá in possibilium ee.

προαίρεσιν n[on] esse βούλησιν

συνδυαζομέ[νων] hesych. συνδυα[ζειν], συμπεραίνειν, συμβουλεύειν

Quando agimus κατὰ προαίρεσιν

οὐχ ἑκούσιον προαιρετὸν ἀλλὰ τὸ προαιρετὸν ἑκούσιον

προχάζειν. cursitare uertit geor. ual. Hesychi⁹ προχάσας σπεύσας. δραμών. προλαβών.

∴ π. ἑκουσίοις



φαίνονται δέ τινες ὀλίγοι καὶ τῶν νομοθετῶν διορίζειν τό, τε ἑκούσιον, καὶ τὸ ἐκ προαιρέσεως ἕτερον ὄν· ἐλάττους τὰς ζημίας ὥστε τοῖς ἀκουσίοις ἢ τοῖς κατὰ προαίρεσιν τάττοντες. ἔστιν οὖν ἡ προαίρεσις ἐν τοῖς πρακτικοῖς, καὶ τούτοις, ἐν οἷς ἐφ' ἡμῖν ἐστι καὶ πρᾶξαι καὶ μὴ πρᾶξαι, καὶ οὕτως ἢ μὴ οὕτως· καὶ ἐν οἷς ἐστιν λαβεῖν τὸ διὰ τί. τὸ δὲ διὰ τί, οὐχ ἁπλοῦν ἐστι. ἐν μὲν γὰρ γεωμετρίᾳ, ὅταν φῇ τὸ τετράγωνον τέτταρσιν ὀρθαῖς ἴσας ἔχειν, καὶ ἐρωτᾷ διὰ τί· ὅτι φησὶ καὶ τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει. ἐν μὲν οὖν τοῖς τοιούτοις, ἐκ τῆς ἀρχῆς ὡρισμένως ἔλαβεν τὸ διὰ τί. ἐν δέ γε τοῖς πρακτοῖς ἐν οἷς ἡ προαίρεσις, οὐχ οὕτως, οὐδὲ μία γὰρ κεῖται ὡρισμένη· ἀλλ' ἂν ἀπαιτῇ τις, διὰ τί τοῦτο ἔπραξας, ὅτι οὐκ ἐνῆν ἄλλως· ἢ ὅτι βέλτιον οὕτως. ἐξ αὐτῶν τῶν συμβαινόντων, ὁποῖα ἂν φαίνηται βέλτιον εἶναι, ταῦτα προαιρεῖται καὶ διὰ ταῦτα. διὸ δὴ ἐν τοῖς τοιούτοις· τὸ βουλεύσασθαί ἐστι, τὸ πῶς δεῖ. ἐν δὲ ταῖς ἐπιστήμαις οὔ. οὐθεὶς γὰρ βουλεύεται πῶς δεῖ γράψαι τὸ ὄνομα ἀρχικλέους. ἡ οὖν ἁμαρτία, οὐ γίνεται ἐν τῇ διανοίᾳ, ἀλλ' ἐν τῇ ἐνεργείᾳ τοῦ γράφειν. ἐν οἷς γὰρ μή ἐστιν ἡ ἁμαρτία ἐν τῇ διανοίᾳ· οὔτε βουλεύονται ὑπὲρ τούτων. ἀλλ' ἐν οἷς ἤδη ἀόριστόν ἐστι τὸ ὡς δεῖ, ἐνταῦθα ἡ ἁμαρτία. ἔστι δ' ἐν τοῖς πρακτικοῖς τὸ ἀόριστον, καὶ ἐν οἷς διτταὶ αἱ ἁμαρτίαι. ἁμαρτάνομεν οὖν ἐν τοῖς πρακτικοῖς, καὶ ἐν τοῖς κατὰ τὰς ἀρετάς, ὁμοίως. τῆς γὰρ ἀρετῆς στοχαζόμενοι, ἁμαρτάνομεν ἐπὶ τὰς πεφυκυίας ὁδούς. ἔστι γὰρ καὶ ἐν ἐλλείψει καὶ ἐν ὑπερβολῇ ἁμαρτία. ἐφ' ἑκάτερα δὲ τούτων φερόμεθα διὰ ἡδονὴν καὶ λύπην. διὰ μὲν γὰρ τὴν ἡδονήν, τὰ φαῦλα πράττομεν. διὰ δὲ τὴν λύπην, τὰ καλὰ φεύγομεν. ἔτι δ' ἐστὶν ἡ διάνοια, οὐχ ὥσπερ αἴσθησις, οἷον τῇ ὄψει, οὐκ ἂν δύναιτο οὐθὲν ἂν ἄλλο ποιῆσαι, ἢ ἰδεῖν· οὐδὲ τῇ ἀκοῇ οὐθὲν ἄλλο, ἢ ἀκοῦσαι. ὁμοίως δὲ οὐδὲ βουλευόμεθα πότερον δεῖ ἀκοῦσαι τῇ ἀκοῇ ἢ ἰδεῖν. ἡ δὲ διάνοια οὐ τοιοῦτον, ἀλλὰ καὶ τοῦτο δύναται πράττειν καὶ ἄλλα.

Προαίρεσις quid

Propter quid non esse simplex

Nemo consultat quo modo scribendum sit nomen Archicles

Animi cogitatio aliud quam sensus

Cur quadrangulus habet quattuor rectis aequales? Quoniam triangulus habet aequales duobus rectis / Si igitur quadrangulum diameter dividat in duos triangulos cum quilibet triangulus habeat aequales duobus rectis totus quadrangulus habebit aequales quattuor rectis quod est intentum.

ἐπιστήμη προθέσθαι positum ∴ hic



διὰ τοῦτο βούλεσθαι ἐνταῦθα ἤδη ὑπάρχειν. ἔστιν οὖν ἡ ἁμαρτία ἐν τῇ αἱρέσει τῶν ἀγαθῶν, οὐ περὶ τὰ τέλη. ταῦτα μὲν γὰρ ἅπαντες ὁμογνωμονοῦσιν· οἷον τὴν ὑγίειαν ὅτι ἀγαθόν. ἀλλ' ἤδη τὰ κατὰ τὸ τέλος· οἷον πότερον ἀγαθὸν πρὸς ὑγίειαν φαγεῖν τοῦτο, ἢ οὔ. μάλιστα οὖν περὶ ἐν τούτοις τὸ σφάλλεσθαι ἡδονὴ καὶ λύπη. τὴν μὲν γάρ, φεύγομεν. τὴν δὲ αἱρούμεθα. ἐπεὶ οὖν διῄρηται ἐν τίνι ἁμαρτία καὶ πῶς, λοιπόν ἐστι τίνος ἐστὶν ἡ ἀρετὴ στοχαστική· πότερον τοῦ τέλους, ἢ τῶν εἰς τὸ τέλος· οἷον, πότερον τοῦ καλοῦ, ἢ τῶν εἰς τὸ καλόν. πῶς μὲν οὖν ἡ ἐπιστήμη; πότερον τῆς οἰκοδομικῆς ἐπιστήμης τὸ τέλος καλῶς προθέσθαι, ἢ τὰ εἰς τὸ τέλος ἰδεῖν. ἂν γὰρ τοῦτο καλῶς πρόθηται· οἷον καλὴν οἰκίαν ποιῆσαι, τὰ εἰς τοῦτο, οὐκ ἄλλος τις εὑρήσει καὶ ποριεῖ ἢ ὁ οἰκοδόμος. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπασῶν ἐπιστημῶν. ὡσαύτως ἄρα δόξειεν ἂν ἔχειν καὶ ἐπὶ ἀρετῆς, μᾶλλον εἶναι αὐτῆς τὸν σκοπὸν εἰς τὸ τέλος, ὃ δεῖ ὀρθῶς προθέσθαι, ἢ τὰ εἰς τὸ τέλος. τούτου γὰρ ἔσται οὐθεὶς ἄλλος ποριεῖ, καὶ εὑρήσει ἃ δεῖ εἰς τοῦτο. καὶ εὔλογον δὲ τούτου εἶναι προθετικὴν τὴν ἀρετήν. ἐν οἷς ἡ ἀρχὴ τοῦ βελτίστου ἐστὶν ἕκαστον καὶ ποιητικὸν καὶ προθετικόν. οὐθὲν οὖν βέλτιον τῆς ἀρετῆς ἐστι· ταύτης γὰρ ἕνεκα καὶ τἄλλα ἐστί· καὶ εἰς ταύτην ἐστὶν ἡ ἀρχή. τούτου ἕνεκεν μᾶλλον τὰ εἰς τοῦτ' ἐστίν. τὸ δὲ τέλος ἀρχῇ τινι ἔοικε· καὶ τούτου ἕνεκέν ἐστιν ἕκαστον. ἀλλὰ κατὰ τρόπον τοῦτ' ἄν. ὥστε δῆλον ὡς καὶ ἐπὶ τῆς ἀρετῆς. ἐπειδὴ βελτίστη ἐστὶν αἰτία. ὅτι τοῦ τέλους ἐστὶ στοχαστικὴ μᾶλλον, ἢ τῶν εἰς τὸ τέλος. τῆς δέ γ' ἐστὶ τέλος τὸ καλόν. τούτου ἄρα ἐστὶν ἡ ἀρετὴ στοχαστικὴ μᾶλλον ἢ ἐξ ὧν ἔσται. ἔστι δὲ καὶ που τὸ ταύτῃ. ὅλως γε δὴ φαίνεται ἄτοπον. ἴσως γὰρ ἂν ἐν γραφικῇ εἴη τις ἀγαθὸς μιμητής. ὅμως δ' οὐκ ἂν ἐπαινεθείη ἂν μὴ τὸν σκοπὸν θεὶς τὰ βέλτιστα μιμεῖσθαι. τῆς ἀρετῆς περὶ ταῦτα τέλους τοῦτ' ἐστὶ τὸ καλὸν προθέσθαι. διὰ τί οὖν ἄν τις εἴποι, πρότερον μὲν ἐλέγομεν τὴν ἐνέργειαν κρείττονα εἶναι, ἢ τὴν ἀρετὴν αὐτῆς

Causa errandi in his quae ducunt ad finem maxime voluptas & aegrimonia

Finis principio est similis

μῦν δὲ οὐκ ἔξω ὢν ἡ ἐνέργεια τοῦτο τῇ ἀρετῇ ἀποδιδόμενον ὡς κάλλιον, ἀλλ' ἐν ᾧ οὐκ ἔστιν ἐνέργεια. ναί. ἀλλὰ καὶ νῦν φαμὲν τοῦτο. ὁμοίως τὴν ἐνέργειαν τῆς ἕξεως βελτίω εἶναι. οἱ γὰρ ἄλλοι αὐτοὶ τὸν σπουδαῖον θεωροῦντες κρίνουσιν ἐκ τοῦ πράττειν, διὰ τὸ μὴ δυνατὸν εἶναι δηλῶσαι τὴν ἑκάστου προαίρεσιν ἣν ἔχει. ἐπεὶ εἰ ἦν εἰδέναι τὴν ἑκάστου γνώμην ὡς ἔχει πρὸς τὸ καλόν, καὶ ἄνευ τοῦ πράττειν σπουδαῖος ἂν ἐδόκει εἶναι. Ἐπεὶ δὲ μεσότητάς τινας τῶν παθῶν κατηριθμησάμεθα, λεκτέον ἂν εἴη περὶ ποῖα τῶν παθῶν εἰσιν. Ἐπεὶ οὖν ἐστιν ἡ ἀνδρία περὶ θάρρη καὶ φόβους, σκεπτέον ἂν εἴη περὶ ποίους φόβους καὶ θάρρη. ἄρ' οὖν εἰ μέν τις φοβεῖται μὴ ἀποβάλῃ τὴν οὐσίαν, οὗτος δειλός. εἰ δέ τις θαρρεῖ περὶ ταῦτα, ἀνδρεῖος; ἢ οὔ. ὁμοίως δ' εἴ τις φοβεῖται μόνον ἢ θαρρεῖ. οὔτε δειλὸν φατέον εἶναι τὸν φοβούμενον, οὔτ' ἀνδρεῖον τὸν μὴ φοβούμενον. οὐκ ἄρα ἐν τοῖς τοιούτοις φόβοις καὶ θάρρεσιν ἐστὶν ἡ ἀνδρία. ἀλλὰ μὴν οὐδ' ἐν τοῖς τοιούτοις· οἷον, εἰ μή τις φοβεῖται βροντὰς ἢ ἀστραπὰς ἢ ἄλλο τι τῶν ὑπὲρ ἄνθρωπον φοβερῶν, οὐκ ἀνδρεῖος ἀλλὰ μαινόμενός τις. ἐν φόβοις ἄρα καὶ θάρρεσιν ἐστὶν ὁ ἀνδρεῖος τοῖς κατ' ἄνθρωπον. λέγω δ' ἃ οἱ λοιποὶ φοβοῦνται ἢ οἱ πάντες, πρὸς ταῦτα ὁ θαρραλέος, οὗτος ἀνδρεῖος. τούτων τοίνυν διωρισμένων, σκεπτέον ἂν εἴη, ἐπειδὴ κατὰ πολλά εἰσιν οἱ ἀνδρεῖοι, ὁποῖος ἀνδρεῖος. ἔστι γὰρ καὶ κατ' ἐμπειρίαν τις ἀνδρεῖος, οἷον οἱ στρατιῶται. οὗτοι γὰρ οἴδασι δι' ἐμπειρίαν, ὅτι ἐν τοιούτῳ τόπῳ ἢ ἐν τοιούτῳ καιρῷ ἢ οὕτως ἔχοντι, ἀδύνατόν τι παθεῖν. ὁ δὲ ταῦτα εἰδὼς καὶ διὰ ταῦτα ὑπομένων τοὺς πολεμίους, οὐκ ἀνδρεῖος. ἐὰν γὰρ τούτων μηθὲν ὑπάρχῃ, οὐχ ὑπομένει. διὸ τοὺς δι' ἐμπειρίαν οὐ φατέον ἀνδρείους εἶναι. οὐδὲ Σωκράτης γε ὀρθῶς ἔλεγεν, ἐπιστήμην φάσκων εἶναι τὴν ἀνδρίαν. ἡ γὰρ ἐπιστήμη ἐξ ἔθους τὴν ἐμπειρίαν λαβοῦσα, ἐπιστήμη γίνεται. τοὺς δὲ δι' ἐμπειρίαν ὑπομένοντας, οὐ φαμέν, οὐδ' ἐροῦσιν ἀνδρείους αὐτοὺς εἶναι. οὐκ ἄρα ἡ ἀνδρία ἐπιστήμη ἂν εἴη. πάλιν οὖν εἰσιν ἀνδρεῖοι οἱ ἐκ τοῦ

ἐναντίου

*Actione habitu meliore esse*

*De fortitudine*

*θάρρος audacia*

*Qui tonitrua & fulgura nō timet furiosus nō fortis*

*Qui per experientiā est fortis nō simpliciter fortis*

*Contra Socratē, fortitudinē nō ee scientiā*



ἐναντίου τῆς ἐμπειρίας. οἱ γὰρ ἄπειροι τῶν ἐκβησομένων οὐ φοβοῦνται διὰ τὴν ἀπειρίαν. οὐδὲ δὴ οὐδὲ τούτους φατέον ἀνδρείους. εἰσὶ δ' αὖ ἄλλοι δοκοῦντες ἀνδρεῖοι εἶναι διὰ τὰ πάθη· οἷον οἱ ἐρῶντες ἢ οἱ ἐνθουσιάζοντες. οὐδὲ δὴ τούτους φατέον ἀνδρείους εἶναι. ἐὰν γὰρ αὐτῶν τὸ πάθος ἀφαιρεθῇ, οὐκέτι εἰσὶν ἀνδρεῖοι. δεῖ δὲ τὸν ἀνδρεῖον ἀεὶ εἶναι ἀνδρεῖον. διὸ οὐδὲ τὰ θηρία, οἷον τοὺς σῦς, οὐκ ἄν τις εἴποι ἀνδρείους, διὰ τὸ ἀμύνεσθαι, ἐπειδὰν πληγέντες λυπηθῶσιν. οὐ δεῖ δὲ τὸν ἀνδρεῖον διὰ πάθος εἶναι ἀνδρεῖον. πάλιν, ἔστιν ἄλλη ἀνδρία πολιτικὴ δοκοῦσα εἶναι. οἷον εἰ δι' αἰσχύνην τὴν εἰς τοὺς πολίτας ὑπομένουσι τοὺς κινδύνους, καὶ δοκοῦσιν ἀνδρεῖοι εἶναι. σημεῖον δὲ τούτου, καὶ γὰρ ὅμηρος πεποίηκε τὸν ἕκτορα λέγοντα· »Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει. διὸ οἴεται δεῖν μάχεσθαι. οὐδὲ δὴ τὴν τοιαύτην φατέον εἶναι. ὁ γὰρ αὐτὸς ἐφ' ἑκάστῳ τούτων διορισμὸς ἁρμόσει. οὗ γὰρ ἀφαιρουμένου μὴ διαμένει ἡ ἀνδρία, οὐκ ἂν εἴη ἔτι ἀνδρεῖος. ἂν οὖν τὴν αἰσχύνην περιέλω δι' ἣν ἦν ἀνδρεῖος, οὐκέτι ἐστὶν ἀνδρεῖος. ἔτι καὶ ἄλλως εἰσὶν ἀνδρεῖοι δοκοῦντες εἶναι, οἱ δι' ἐλπίδα καὶ προσδοκίαν ἀγαθοῦ. οὐδὲ δὴ φατέον τούτους εἶναι ἀνδρείους. ἐπειδὴ τοὺς τοιούτους καὶ ἐν τοῖς τοιούτοις ἀνδρείους λέγειν ἄτοπον φαίνεται. οὐδένα οὖν τῶν τοιούτων ἀνδρεῖον θετέον εἶναι. τὸν ποῖον οὖν ἀνδρεῖον, καὶ τίς ὁ ἀνδρεῖος, σκεπτέον. ὡς ἁπλῶς μὲν εἰπεῖν, ὁ διὰ μηθὲν τῶν προειρημένων ἀνδρεῖος ὤν, ἀλλὰ διὰ τὸ νομίζειν αὐτὸ εἶναι καλόν, καὶ τοῦτο ποιῶν, κἂν παρῇ τις κἂν μὴ παρῇ. οὐ δὴ παντελῶς ἄνευ πάθους καὶ ὁρμῆς ἐγγίνεται ἡ ἀνδρία. δεῖ δὲ τὴν ὁρμὴν εἶναι ἀπὸ τοῦ λόγου διὰ τὸ καλόν. ὁ δὴ ὁρμῶν διὰ λόγον ἕνεκεν τοῦ καλοῦ ἐπὶ τὸ κινδυνεύειν ἄφοβος ὢν περὶ αὐτά, οὗτος ἀνδρεῖος. καὶ ἡ ἀνδρία περὶ ταῦτα. ἄφοβος δ' ἐστίν, οὐχ ὅταν οὕτω συμπίπτῃ τῷ ἀνδρείῳ, ὥστε ὅλως μὴ φοβεῖσθαι. ὁ μὲν γὰρ τοιοῦτος οὐκ ἀνδρεῖος, ᾧ ὅλως μηθέν ἐστι φοβερόν. οὕτω μὲν γὰρ ὁ λίθος εἴη, καὶ ἄλλα ἄψυχα ἀνδρεῖα. ἀλλὰ δεῖ φοβεῖσθαι μέν, ὑπομένειν δέ,

*ἐνθουσιάζοντες*

*Homerus*

*Pulydamas*

*Hector*

*Fortitudinis diff.*

./. Sed essentia quam delectu intelligimus



Fortis nō ÷ q longo tempore futurū piculū non timet

εἰ δὲ ἂν μὴ φοβούμενος ὑπομένοι, οὐκ ἂν εἴη ἀνδρεῖος. ἔτι δὲ ὥσπερ ἐπάνω διείλομεθα περὶ φόβους καὶ κινδύνους, οὐ πάντας, ἀλλὰ τοὺς ἀναιρετικοὺς τῆς οὐσίας. ἔτι δὲ, οὐδ' ἐν τῷ τυχόντι καὶ παντὶ χρόνῳ, ἀλλ' ἐν ᾧ οἱ φόβοι καὶ οἱ κίνδυνοι πλησίοι εἰσίν. εἰ γάρ τις τὸν εἰς δέκα ἔτος κίνδυνον μὴ φοβεῖται, πῶς ἀνδρεῖος. ἔνιοι γὰρ θαῤῥοῦσι διὰ τὸ μακρὰν ἀπέχειν. ἂν δὲ πλησίον γένωνται, ἀποθνήσκουσι τῷ δέει. ἡ μὲν οὖν ἀνδρία καὶ ὁ ἀνδρεῖος τοιοῦτος.

De Temperantia

Σωφροσύνη δ' ἐστὶ μεσότης, ἀκολασίας καὶ ἀναισθησίας τῆς περὶ τὰς ἡδονάς. ἔστι γὰρ ἡ σωφροσύνη, καὶ ἁπλῶς ἅπασα ἀρετὴ, ἕξις ἡ βελτίστη. ἡ δὲ βελτίστη ἕξις, τοῦ βελτίστου ἐστίν. βέλτιστον δὲ τῆς ὑπερβολῆς καὶ τῆς ἐνδείας τὸ μέσον. κατ' ἀμφότερα γάρ εἰσι ψεκτοί, καὶ καθ' ὑπερβολὴν καὶ κατ' ἔνδειαν. ὥστε εἴπερ τὸ μέσον βέλτιστον, ἡ σωφροσύνη μεσότης τις ἂν εἴη ἀκολασίας καὶ ἀναισθησίας. μεσότης μὲν ἂν εἴη τούτων.

Tempantia circa quae uersetur

ἔστι δὲ ἡ σωφροσύνη περὶ ἡδονὰς καὶ λύπας. οὐ πάσας δέ. οὐδὲ τὰς περὶ πάντα. οὐ γὰρ εἴ τις ἥδεται θεωρῶν γραφὴν ἢ ἀνδριάντα, ἤ τι ἄλλο τῶν τοιούτων, καὶ δὴ οὗτος ἀκόλαστος. ὁμοίως δὲ, οὐδὲ περὶ ἀκοὴν, οὐδὲ περὶ ὄσφρησιν. ἀλλ' ἐν ἡδοναῖς ταῖς περὶ ἁφὴν καὶ γεῦσιν. οὐ δὲ δὴ περὶ ταύτας ἀνὴρ σώφρων ἔσται οὕτως ἔχων, ὥστε μηδ' ὑπὸ μιᾶς τῶν τοιούτων ἡδονῶν μηθὲν πάσχειν. ὁ μὲν γὰρ τοιοῦτος, ἀναίσθητος. ἀλλ' ἤδη ὁ πάσχων καὶ μὴ ἀγόμενος, ὥστε εἰς ὑπερβολὴν αὐτῶν ἀπολαύων, πάντα τἆλλα παρ' εἶναι πάρεργα καὶ αὐτῷ ἡγεῖσθαι, ἢ δι' ἴσου τοῦ καλοῦ ἕνεκεν, καὶ μὴ δι' ἄλλο πράττοντα, σώφρονα. ὥστις γὰρ τῶν τοιούτων ἡδονῶν τῆς ὑπερβολῆς ἀπέχεται, ἢ διὰ φόβον, ἢ δι' ἄλλο τι τῶν τοιούτων, οὐ σώφρων. οὐδὲ γὰρ τἆλλα ζῷα λέγομεν εἶναι σώφρονα ἔξω αὐτοῦ. διὰ τὸ μὴ εἶναι ἐν αὐτοῖς λόγον ᾧ δοκιμάζοντες, τὸ καλὸν αἱροῦνται. πᾶσα γὰρ ἀρετὴ τοῦ καλοῦ, καὶ εἰς τὸ καλόν ἐστιν. ὥστε εἴη ἂν ἡ σωφροσύνη περὶ ἡδονὰς καὶ λύπας· καὶ ταύτας τὰς ἐν ἁφῇ καὶ γεύσει γινομένας. ἐχόμενον δ' ἂν εἴη τούτου λέγειν

Cætera animantia præter hominē nō dici tēperantia

Omnis uirtus & honesti est & in honestū



De mãsuetudine .i. πραότητος

περὶ πραότητος καὶ τίς ἐστι καὶ ἐν τίσιν. ἔστιν οὖν ἡ πραότης ἀνὰ μέσον ὀργιλότητος καὶ ἀοργησίας. καὶ ὅλως δὲ δοκοῦσιν αἱ ἀρεταὶ μεσότητές τινες εἶναι. ὅτι δ' εἰσὶ μεσότητες, καὶ οὕτως ἄν τις εἴποι. εἰ γὰρ ἔστιν ἐν μεσότητι τὸ βέλτιστον, ἡ δ' ἀρετή ἐστιν ἡ βελτίστη ἕξις, βέλτιστον δ' ἐστὶ τὸ μέσον, ἡ ἀρετὴ ἂν εἴη τὸ μέσον.

Virtus ÷ habitus optimus

δῆλον δὲ ἔσται μᾶλλον καὶ καθ' ἕκαστον σκοποῦσιν. ἐπειδὴ γάρ ἐστιν ὀργίλος ὁ παντὶ καὶ πάντως καὶ ἐπὶ πλεῖον ὀργιζόμενος, καὶ ψεκτὸς δὲ ὁ τοιοῦτος. οὔτε γὰρ παντὶ δεῖ ὀργίζεσθαι, οὔτ' ἐπὶ πᾶσιν, οὔτε πάντως καὶ ἀεί. οὐδ' αὖ πάλιν οὕτως ἔχειν δεῖ, ὥστε μηθενὶ μηδέποτε. καὶ γὰρ οὗτος ψεκτὸς, ἀνάλγητος ὤν. ἐπεὶ τοίνυν καὶ ὁ κατὰ τὴν ὑπερβολὴν ψεκτὸς, καὶ ὁ κατὰ τὴν ἔλλειψιν, ὁ μέσος ἂν τούτων εἴη καὶ πρᾶος καὶ ἐπαινετός. οὔτε γὰρ ὁ ἐλλείπων τῇ ὀργῇ, οὔτε ὁ ὑπερβάλλων ἐπαινετός. ἀλλ' ὁ μέσως ἔχων πρὸς ταῦτα, οὗτος πρᾶος. καὶ ἡ πραότης δὲ τούτων τῶν παθῶν μεσότης ἂν εἴη.

Irascēdū esse tēperate

De Liberalitate

Ἐλευθεριότης δέ ἐστι, μεσότης ἀσωτίας καὶ ἀνελευθερίας. ἔστι δὲ περὶ χρήματα τὰ τοιαῦτα πάθη. ὅ τε γὰρ ἄσωτός ἐστιν ὁ ἀναλίσκων εἰς ἃ μὴ δεῖ, καὶ πλείω ὧν δεῖ, καὶ ὅτε μὴ δεῖ. ὁ δ' ἀνελεύθερος, ἐναντίος τούτῳ, ὁ μὴ ἀναλίσκων εἰς ἃ δεῖ, καὶ ὅσα δεῖ, καὶ ὅτε δεῖ. καὶ ἀμφότεροι δὲ οὗτοι ψεκτοί. ἔστι δὲ τούτων, ὁ μὲν κατ' ἔλλειψιν, ὁ δὲ καθ' ὑπερβολήν. ὁ δ' ἄρα ἐλευθέριος ἐπειδή ἐστιν ἐπαινετός, μέσος ἂν εἴη τούτων. τίς οὖν ἐστιν, ὁ ἀναλίσκων εἰς ἃ δεῖ καὶ ὅσα δεῖ καὶ ὅτε δεῖ. ἔστι δὲ καὶ τῆς ἀνελευθεριότητος εἴδη πλείω. οἷον κίμβικες τινὲς καλούμενοι καὶ κυμινοπρῖσται καὶ αἰσχροκερδεῖς, καὶ μικρολόγοι. πάντες δὲ οὗτοι ὑπὸ τὴν ἀνελευθεριότητα περιπίπτουσι. τὸ μὲν γὰρ κακὸν πολυειδές. τὸ δὲ ἀγαθὸν, μονοειδές. οἷον ἡ μὲν ὑγίεια, ἁπλοῦν. ἡ δὲ νόσος, πολυειδές. ὁμοίως ἡ μὲν ἀρετὴ, ἁπλοῦν. ἡ δὲ κακία πολυειδές. πάντες γὰρ οὗτοι περὶ χρήματα εἰσὶ ψεκτοί. πότερον οὖν τοῦ ἐλευθερίου καὶ τὸ κτήσασθαι ἐστὶ καὶ τὸ παρασκευάσασθαι χρήματα; ἢ οὔ. οὐδὲ γὰρ ἄλλης ἀρετῆς οὐδεμιᾶς. οὔτε γὰρ τῆς ἀνδρίας ἐστὶ τὸ ὅπλα ποιῆσαι, ἀλλ' ἄλλης.

Bonū simplex et malū multiplex



Auaritiæ species

| | |
|---|---|
| κίμβικες | Nugiméduli |
| κυμινοπρῖσται | Cumini emptores |
| αἰσχροκερδεῖς | Turpilucri |
| μικρολόγοι | Paruilog |

μικροψυχία. Pusillanimitas.



De Magnanimitate

χαῦνοι q̄ sunt .i. inflati

μικρόψυχοι q̄ .i. pusillanimes

ταύτης δὲ λάβωσι, τούτοις ὀρθῶς χρήσασθαι, ὁμοίως ἐπὶ σωφροσύνης καὶ τῶν ἄλλων. αὕτη δὴ τῆς ἐλευθεριότητος. ἀλλ' ἡ δὴ χρηματιστική. ἡ δὲ μεγαλοψυχία, μεσότης μέν ἐστι χαυνότητος καὶ μικροψυχίας. ἔστι δὲ περὶ τιμὴν καὶ ἀτιμίαν. καὶ περὶ τιμὴν, οὐ τὴν παρὰ τῶν πολλῶν, ἀλλὰ τὴν παρὰ τῶν σπουδαίων. καὶ μᾶλλον δὲ δεῖ. ἢ περὶ ταύτην. οἱ γὰρ σπουδαῖοι εἰδότες καὶ κρίνοντες ὀρθῶς, τιμήσουσι. βούλοιτο ἂν οὖν μᾶλλον ὑπὸ τῶν εἰδότων αὐτὸν, ὅτι ἄξιός ἐστι τιμῆς, τιμᾶσθαι. οὐ γὰρ περὶ πᾶσαν τιμὴν ἔσται, ἀλλὰ περὶ τὴν βελτίστην, καὶ τὸ τίμιον ἀγαθὸν, καὶ ἀρχῆς τάξιν ἔχον. οἱ μὲν οὖν εὐκαταφρόνητοι ὄντες καὶ φαῦλοι, μεγάλων δ' αὑτοὺς ἀξιοῦντες, καὶ πρὸς τούτοις τιμᾶσθαι οἰόμενοι δεῖν, χαῦνοι. ὅσοι δὲ ἐλαττόνων αὐτοὺς ἀξιοῦσιν ἢ προσῆκον αὐτοῖς, μικρόψυχοι. ὁ ἄρα μέσος τούτων ἐστὶν ὃς μὴ ἐλάττονος τιμῆς αὐτὸν ἀξιοῖ, ἧς προσήκει, μήτε μείζονος ἢ ἄξιός ἐστι, μήτε πάσης. οὗτος δ' ἐστὶν ὁ μεγαλόψυχος. ὥστε δῆλον ὅτι ἡ μεγαλοψυχία μεσότης ἐστὶ χαυνότητος καὶ μικροψυχίας.

De Magnificentia

ἀλαζών. gloriosus iactabundusq:

μικροπρεπής uilis uertit interp · meli⁹ forte sordidus · /

An sint multæ magnificentiæ

Μεγαλοπρέπεια δ' ἐστὶ μεσότης ἀλαζονείας καὶ μικροπρεπείας. ἔστι δὴ μεγαλοπρέπεια περὶ δαπάνας, ἃς ἐν τῷ πρέποντι γίνεσθαι προσήκει. ὅστις μὲν οὖν δαπανᾷ οὗ μὴ δεῖ, ἀλαζών. οἷον, εἴ τις ἑστιᾷ ἐρανιστὰς, ὡσανεὶ γάμους τις ἑστιῶν, ὁ τοιοῦτος ἀλαζών. ὁ γὰρ τοιοῦτός ἐστιν, ὁ ἐν ᾧ μὴ δεῖ καιρῷ ἐνδεικνύμενος τὴν ἑαυτοῦ εὐπορίαν. ὁ δὲ μικροπρεπὴς, ὁ ἐναντίος τούτῳ, ὃς οὗ δεῖ μὴ μεγαλείως δαπανήσει. ἢ τοῦτο μὴ ποιῶν, οἷον εἰς γάμους ἢ χορηγίαν δαπανῶν, μὴ ἀξίως ἀλλ' ἐνδεῶς, ὁ τοιοῦτος μικροπρεπής. ἡ δὲ μεγαλοπρέπεια καὶ ἀπὸ τοῦ ὀνόματος φανερά ἐστιν, οὖσα τοιαύτη. οἷον λέγομεν. ἐπεὶ γὰρ ἐν τῷ καιρῷ τῷ πρέποντι τὸ μέγα δέον ἐστὶ. ὀρθῶς τῇ μεγαλοπρεπείᾳ τοὔνομα κεῖται. ἡ μεγαλοπρέπεια ἄρα ἂν εἴη, ἐπειδή ἐστιν ἐπαινετή, μεσότης τῆς ἐλλείψεως καὶ ὑπερβολῆς τῆς περὶ δαπάνας τὰς προσηκούσας. ἐνίοις δὲ εἰσὶν ὡς οἴονται καὶ πλείους μεγαλοπρέπειαι. οἷον φασὶ, μεγαλοπρεπῶς τε ἐβάδισε, καὶ

ἄλλαι δὴ

∴ ff · οὐ



De Indignat[ione] .i. νεμέσεως

φθονερία. inuidentia

Nemesis q̄d

Inuidus q̄

χαιρεκακία maliuolentia

ἄλλαι δὴ τοιαῦται μεγαλοπρέπειαι λέγονται μεταφορικῶς καὶ οὐ κυρίως. οὐ γάρ ἐστιν ἐν τούτοις μεγαλοπρέπεια, ἀλλ' ἐν οἷς εἰρήκαμεν. Νέμεσις δέ ἐστι μεσότης φθονερίας καὶ χαιρεκακίας. ἀμφότεραι γὰρ αὗται ψεκταί εἰσιν. ὁ δὲ νεμεσητικὸς, ἐπαινετός. ἔστι δ' ἡ νέμεσις περὶ ἀγαθὰ ἃ τυγχάνει ὑπάρχοντα ἀναξίῳ ὄντι λύπη τις. νεμεσητικὸς οὖν ὁ ἐπὶ τοῖς τοιούτοις λυπητικός. καὶ αὐτός γε πάλιν οὗτος λυπήσεται ἄν τινα ἴδῃ κακῶς πράττοντα ἀνάξιον ὄντα. ἡ μὲν οὖν νέμεσις καὶ ὁ νεμεσητικὸς, ἴσως τοιοῦτοι. ὁ δὲ φθονερὸς ἐναντίος τούτῳ. ἁπλῶς γὰρ, ἄν τις ἄξιος ᾖ, ἄν τε μὴ, τῷ εὖ πράττειν, λυπηθήσεται. ὁμοίως τούτῳ ὁ ἐπιχαιρέκακος ἡσθήσεται, κακῶς πράττοντι καὶ τῷ ἀξίῳ καὶ τῷ ἀναξίῳ. ὁ δὲ νεμεσητικὸς οὐ, ἀλλὰ μεσότης τίς ἐστι τούτων.

De grauitate .i. σεμνότητος

αὐθάδεια morositas

ἀρεσκία delectatio. meli⁹ facilitas

ἐντεύξεις conuersationes

ἄρεσκος delectator interpres se male

Σεμνότης δέ ἐστιν αὐθαδείας ἀναμέσον τε καὶ ἀρεσκίας. ἔστι δὲ περὶ τὰς ἐντεύξεις. ὅ, τε γὰρ αὐθάδης τοιοῦτός ἐστιν, οἷος μηθενὶ ἐντυχεῖν μηδὲ διαλεχθῆναι. ἀλλὰ τοὔνομα ἔοικεν ἀπὸ τοῦ τρόπου κεῖσθαι. ὁ γὰρ αὐθάδης αὐτοάδης τίς ἐστιν ἀπὸ τοῦ αὐτὸς αὑτῷ ἀρέσκειν. ὁ δὲ ἄρεσκος τοιοῦτος, οἷος πᾶσιν ὁμιλεῖν καὶ πάντως καὶ πανταχῇ. οὐδέτερος δὴ τούτων ἐπαινετός. ὁ δέ γε σεμνὸς ἀναμέσον τούτων ὢν ἐπαινετός. οὔτε γὰρ εἰς πάντας, ἀλλ' εἰς τοὺς ἀξίους. οὔτε εἰς οὐθένα, ἀλλ' εἰς τοὺς αὐτοὺς τούτους.

De Verecūdia .i. αἰδοῦς

ἀναισχυντία impudentia

κατάπληξις stupor

καταπλήξ

αἰδήμων

Αἰδὼς δ' ἐστὶ μεσότης ἀναισχυντίας καὶ καταπλήξεως. ἔστι δὲ περὶ πράξεις καὶ λόγους. ὁ μὲν γὰρ ἀναίσχυντός ἐστιν ὁ ἐν παντὶ καὶ εἰς πάντας λέγων καὶ πράττων ἃ ἔτυχεν. ὁ δὲ καταπεπληγμένος, ὁ ἐναντίος τούτῳ. ὁ πάντα καὶ πάντας εὐλαβούμενος καὶ πρᾶξαι καὶ εἰπεῖν. ἄπρακτος γὰρ ὁ τοιοῦτος, ὁ πάντα καταπληττόμενος. ἡ δὲ αἰδὼς καὶ ὁ αἰδήμων μεσότης τούτων. οὔτε γὰρ ἅπαντα καὶ πάντως ὥσπερ ὁ ἀναίσχυντος, καὶ ἐρεῖ καὶ πράξει. οὔτε ὡς ὁ καταπλήξ, ἐν παντὶ καὶ πάντως εὐλαβηθήσεται. ἀλλὰ πράξει καὶ ἐρεῖ, ἐν οἷς δεῖ καὶ ἃ δεῖ καὶ ὅτε δεῖ.

De Vrbanitat[e]

Εὐτραπελία δ' ἐστὶ μεσότης βωμολοχίας καὶ ἀγροικίας. ἔστι δὲ περὶ τὰ σκώμματα.



ἄπρακτος

εὐτραπελία Vrbanitas

βωμολοχία · Scurrilitas

ἀγροικία Rusticitas

ὅτι γὰρ βωμολόχος ἐστὶν ὁ πάντα καὶ πᾶν οἰόμενος δεῖν σκώπτειν· ὁ δ᾽ ἄγροικος ὁ μήτε σκώπτειν βουλόμενος, δεῖν μήτε σκωφθῆναι, ἀλλ᾽ ὀργιζόμενος· ὁ δ᾽ εὐτράπελος ἀνὰ μέσον τούτων, ὁ μήτε πάντας καὶ πάντως σκώπτων, μήτ᾽ αὖ τοῦ ἀγροίκου ὤν. ἔσται δ᾽ ὁ εὐτράπελος διττῶς πως λεγόμενος· καὶ γὰρ ὁ δυνάμενος σκῶψαι ἐμμελῶς, καὶ ὁ ὑπομένων σκωπτόμενος, εὐτράπελος· καὶ ἡ εὐτραπελία τοιαύτη.

De Amicitia

Φιλία δ᾽ ἐστὶ μεσότης κολακείας καὶ ἔχθρας. ἔστι δὲ περὶ πράξεις καὶ λόγους. ὁ μὲν γὰρ κόλαξ, ἐστὶν ὁ πλείω τῶν προσηκόντων καὶ ὄντων προστιθείς. ὁ δ᾽ ἀπεχθητικὸς, ἐχθρὸς, καὶ τῶν ὑπαρχόντων παραιρῶν. οὐδέτερος οὖν ὀρθῶς ἐπαινετός ἐστιν. ὁ δὲ φίλος ἀνὰ μέσον τούτων. οὔτε γὰρ πλείω τῶν ὑπαρχόντων προσθήσει, οὔτε ἐπαινέσει τὰ μὴ προσήκοντα. οὔτ᾽ αὖ πάλιν ἐλάττω ποιήσει, οὔτε πάντως ἐναντιώσεται παρὰ τὸ δοκοῦν αὐτῷ. ὁ μὲν οὖν φίλος τοιοῦτος.

De Veritate

ἀλαζονεία iactatia

εἰρωνεία

ἀλήθεια δ᾽ ἐστὶ μεταξὺ εἰρωνείας καὶ ἀλαζονείας. ἔστι δὲ περὶ λόγους, οὐ πάντας δέ. ὁ μὲν γὰρ ἀλαζών ἐστιν ὁ πλείω τῶν ὑπαρχόντων αὐτῷ προσποιούμενος εἶναι, ἢ εἰδέναι ἃ μὴ οἶδεν. ὁ δὲ εἴρων, ἐναντίος τούτῳ. καὶ ἐλάττω τῶν ὑπαρχόντων αὐτῷ προσποιούμενος εἶναι, καὶ ἃ οἶδε μὴ φάσκων, ἀλλ᾽ ἐπικρυπτόμενος τὸ εἰδέναι. ὁ δὲ ἀληθὴς, οὐδέτερον τούτων ποιήσει. οὔτε γὰρ προσποιήσεται πλείω τῶν ὑπαρχόντων αὐτῷ, οὔτε ἐλάττω. ἀλλὰ τὰ ὑπάρχοντα αὐτῷ ταῦτα φήσει καὶ εἶναι καὶ εἰδέναι. εἰ μὲν οὖν εἰσὶν αὗται ἀρεταὶ, ἄλλος ἂν εἴη λόγος. ὅτι δὲ μεσότητές εἰσι τῶν εἰρημένων, δῆλον. οἱ γὰρ κατὰ ταύτας ζῶντες, ἐπαινοῦνται.

De Justitia

Περὶ δὲ δικαιοσύνης λοιπὸν ἂν εἴη εἰπεῖν τί ἐστι καὶ ἐν τίσι καὶ περὶ τί. πρῶτον μὲν οὖν εἰ λάβοιμεν τί ἐστι τὸ δίκαιον. ἔστι δὴ διττὸν τὸ δίκαιον. ὧν τὸ μὲν κατὰ νόμον ἐστί. δίκαια γάρ φασιν εἶναι, ἃ ὁ νόμος προστάττει. ὁ δὲ νόμος κελεύει τἀνδρεῖα πράττειν καὶ τὰ σώφρονα. καὶ ἁπλῶς ἅπαντα ὅσα κατὰ τὰς ἀρετὰς λέγεται. διὸ καί φασι δοκεῖν ἡ δικαιοσύνη τελεία τις ἀρετὴ εἶναι. εἰ γὰρ δίκαια μέν ἐστιν ἃ ὁ νόμος κελεύει ποιεῖν, ὁ δὲ νόμος τὰ κατὰ πάσας ἀρετὰς ὄντα προστάττει,

Indignatio . grauitas . Verecundia .
Vrbanitas . Amicicia . Veritas, an
sint uirtutes an tantu͂ medietates?



ὄντα προστάττει· ὁ ἄρα τοῖς κατὰ νόμον δικαίοις ἐμμένων, τελέως σπουδαῖος ἂν εἴη· ὥστε ὁ δίκαιος καὶ ἡ δικαιοσύνη, τελεία τις ἀρετή ἐστιν.

Justitia perfecta uirtus est

ἓν μὲν δή τι δίκαιον, ἐν τούτοις ἐστὶ καὶ περὶ ταῦτα. ἀλλὰ μὴν οὐ τοῦτο τὸ δίκαιον, οὐδὲ τὴν περὶ ταῦτα δικαιοσύνην ζητοῦμεν. κατὰ μὲν γὰρ ταῦτα δίκαιά ἐστι, καθ᾽ ἑαυτὸν ὄντα δίκαιον εἶναι. ὁ γὰρ σώφρων καὶ ἀνδρεῖος καὶ ἐγκρατὴς καὶ αὐτὸς καθ᾽ αὑτόν ἐστι τοιοῦτος. ἀλλὰ τὸ δίκαιον τὸ εἰς ἕτερον, ἄλλο τοῦ εἰρημένου κατὰ νόμον δικαίου ἐστίν. οὐ γάρ ἐστιν ἐν τοῖς εἰς ἕτερον δικαίοις οὖσι, καθ᾽ αὑτὸν εἶναι δίκαιον. τοῦτο δ᾽ ἐστὶν ὃ ζητοῦμεν δίκαιον, καὶ τὴν δικαιοσύνην τὴν περὶ ταῦτα. τὸ τοίνυν δίκαιόν ἐστι τὸ εἰς ἕτερον, ὡς ἁπλῶς εἰπεῖν τὸ ἴσον. τὸ γὰρ ἄδικον, τὸ ἄνισόν ἐστιν. ὅταν γὰρ τῶν μὲν ἀγαθῶν τὰ μείζω αὑτοῖς νέμωσι, τῶν δὲ κακῶν τὰ ἐλάσσονα, ἄνισον τοῦτ᾽ ἐστὶ, καὶ οὕτως ἀδικεῖν καὶ ἀδικεῖσθαι οἴονται. δῆλον ἄρα ὅτι ἐπεὶ δὴ ἡ ἀδικία ἐν ἀνίσοις, ἡ δικαιοσύνη καὶ τὸ δίκαιον ἐν ἰσότητι τῶν συμβολαίων. ὥστε δῆλον ὅτι ἡ δικαιοσύνη μεσότης τις ἂν εἴη ὑπερβολῆς καὶ ἐλλείψεως, καὶ πολλοῦ καὶ ὀλίγου. ὁ μὲν γὰρ ἄδικος τῷ ἀδικεῖν πλεῖον ἔχει· καὶ ὁ ἀδικούμενος δὲ, τῷ ἀδικεῖσθαι ἔλαττον. τὸ δέ γε μέσον τούτων, δίκαιόν ἐστι. τὸ δὲ μέσον, ἴσον. ὥστε τὸ ἴσον ἂν πλείονος καὶ ἐλάττονος εἴη δίκαιον. καὶ δίκαιος δὲ, ὁ τὸ ἴσον βουλόμενος ἔχειν. τὸ δέ γε ἴσον, ἐν ἐλαχίστοις δυσὶν ἐγγίνεται. τὸ ἄρα εἰς ἕτερον ἴσον εἶναι, δίκαιόν ἐστι. καὶ δίκαιος ὁ τοιοῦτος ἂν εἴη. ἐπεὶ οὖν ἡ δικαιοσύνη ἐν δικαίῳ, καὶ ἐν ἴσῳ καὶ ἐν μεσότητι, τὸ μὲν δίκαιον, ἔν τισι λέγεται δίκαιον. τὸ δὲ ἴσον, τισὶν ἴσον. τὸ δὲ μέσον, τισὶ μέσον. ὥσθ᾽ ἡ δικαιοσύνη, καὶ τὸ δίκαιον ἔσται καὶ εἴς τινας καὶ ἔν τισιν. ἐπεὶ οὖν ἐστι τὸ δίκαιον ἴσον, καὶ τὸ τούτῳ ἀνάλογον ἴσον δίκαιον ἂν εἴη. τὸ δὲ ἀνάλογον, ἐν τέτταρσι γίνεται ἐλαχίστοις. ὡς γὰρ τὸ α΄ πρὸς τὸ β΄, καὶ τὸ γ΄ πρὸς τὸ δ΄. οἷον ἀνάλογόν ἐστι, τὸν τὰ πολλὰ κεκτημένον, πολλὰ εἰσφέρειν· τὸν δὲ ὀλίγα κεκτημένον, ὀλίγα. πάλιν ὁμοίως τὸν μὲν πολλὰ

πεπονηκότα, πολλὰ λαμβάνειν· τὸν δὲ ὀλίγα πεπονηκότα, ὀλίγα λαμβάνειν· ὡς δὲ ὁ πεπονηκὼς ἔχει πρὸς τὸν μὴ πεπονηκότα, οὕτω τὰ πολλὰ εἰς τὰ ὀλίγα· ὡς δὲ ὁ πεπονηκὼς πρὸς τὰ πολλά, οὕτως ὁ μὴ πεπονηκὼς εἰς τὰ ὀλίγα. ἔοικε δὲ καὶ ὁ Πλάτων τῇ ἀναλογίᾳ ταύτῃ τοῦ δικαίου χρῆσθαι ἐν τῇ πολιτείᾳ. ὁ μὲν γὰρ γεωργός φησι, σῖτον ποιεῖ· ὁ δὲ οἰκοδόμος οἰκίαν· ὁ δ' ὑφάντης ἱμάτιον· ὁ δὲ σκυτοτόμος ὑπόδημα. ὁ μὲν οὖν γεωργὸς τῷ οἰκοδόμῳ σῖτον δίδωσιν· ὁ δ' οἰκοδόμος τῷ γεωργῷ οἰκίαν· ὁμοίως δὲ οἱ ἄλλοι πάντες οὕτως ἔχουσιν, ὥστε τὰ παρ' αὐτοῖς ἀντικαταλλάττεσθαι τὰ παρὰ τοῖς ἄλλοις. ἔστι δὲ ἡ ἀναλογία αὕτη· ὡς ὁ γεωργὸς τῷ οἰκοδόμῳ, οὕτως ὁ οἰκοδόμος τῷ γεωργῷ· ὁμοίως τῷ σκυτεῖ, τῷ ὑφάντῃ, τοῖς ἄλλοις πᾶσιν ἡ αὐτὴ ἀναλογία πρὸς ἀλλήλους γίνεται. καὶ συνέχει δὴ ἡ αὐτὴ ἀναλογία τὴν πολιτείαν· ὥστε τὸ δίκαιον ἔοικεν εἶναι τὸ ἀνάλογον. τὸ γὰρ δίκαιον συνέχει τὰς πολιτείας, τὸ δ' αὐτὸ δ' ἐστὶ τὸ δίκαιον τῷ ἀνάλογον. ἐπεὶ δὲ ὁ οἰκοδόμος πλείονος ἄξιον ποιεῖ τὸ αὑτοῦ ἔργον ἢ ὁ σκυτεύς, καὶ ἦν ἔργον ἀντικαταλλάττεσθαι καὶ τῷ σκυτεῖ πρὸς τὸν οἰκοδόμον, οὐδ' ὑποδημάτων δυνατὸν οἰκίαν λαβεῖν· ἐνταῦθα ἤδη ἐνόμισαν τοῦτο πάντα ὠνητὰ καὶ ἀργύριον προσαγορεύσαντες νόμισμα τούτῳ χρῆσθαι, καὶ πρὸς τὴν ἀξίαν ἕκαστον ἑκάστου διδόντας, τὴν ἄλλαξιν ποιεῖσθαι παρ' ἀλλήλων. καὶ τούτῳ τὴν πολιτικὴν κοινωνίαν συνέχειν. ἐπεὶ οὖν τὸ δίκαιόν ἐστιν ἐν τούτοις καὶ τοῖς εἰρημένοις ἔμπροσθεν, ἡ περὶ ταῦτα δικαιοσύνη ἂν εἴη ἕξις ὁρμὴν ἔχουσα μετὰ προαιρέσεως, περὶ ταῦτα καὶ ἐν τούτοις. ἔστι δὲ δίκαιον καὶ τὸ ἀντιπεπονθός· οὐ μέντοι γε ὡς οἱ Πυθαγόρειοι ἔλεγον. ἐκεῖνοι μὲν γὰρ ᾤοντο δίκαιον εἶναι ἅ τις ἐποίησε, ταῦτα ἀντιπαθεῖν. τοῦτο δ' οὐκ ἔστι πρὸς ἅπαντας. οὐ γάρ ἐστι δίκαιον οἰκέτῃ πρὸς ἐλεύθερον ταὐτόν· ὁ οἰκέτης γὰρ ἐὰν πατάξῃ τὸν ἐλεύθερον, οὐκ ἔστι δίκαιος ἀντιπληγῆναι, ἀλλὰ πολλάκις. καὶ τὸ ἀντιπεπονθὸς δὲ δίκαιόν ἐστιν ἐν τῷ ἀνάλογον· ὡς γὰρ ὁ ἐλεύ-

Plato

Cui usui inuenta pecunia

Pythagorei

Talioné quomodo cé sendú ÷ iustú esse

θερος



θερος ἔχει πρὸς τὸν δοῦλον τῷ βελτίων εἶναι, οὕτως τὸ ἀντιποιῆσαι πρὸς τὸ ποιῆσαι. ὁμοίως δὲ καὶ ἐλευθέρῳ πρὸς ἐλεύθερον ἕξει. οὐ γὰρ δίκαιον, εἴ τις τὸν ὀφθαλμὸν ἐξέκοψέ τινος, ἀντεκκοπῆναι μόνον, ἀλλὰ πλείονα παθεῖν, ἀκολουθήσαντα τῇ ἀναλογίᾳ· καὶ γὰρ ἦρξε πρότερος καὶ ἠδίκησεν· ἀδικεῖ δὲ κατ' ἀμφότερα· ὥστε καὶ ἀνάλογον τὰ ἀδικήματα· καὶ τὸ ἀντιπαθεῖν πλείω ὧν ἐποίησε, δίκαιόν ἐστιν. ἐπεὶ δὲ τὸ δίκαιον πολλαχῶς λέγεται, διοριστέον ἂν εἴη περὶ ποίου δικαίου ἐστὶν ἡ ἐπισκέψις. ἔστι δὲ δίκαιόν τι, ὥς φασιν, οἰκέτῃ πρὸς δεσπότην, καὶ υἱῷ πρὸς πατέρα. τὸ δ' ἐν τούτοις δίκαιον, ὁμωνύμως ἂν δόξειεν λέγεσθαι τῷ πολιτικῷ δικαίῳ· ἔστι γὰρ δίκαιον ὑπὲρ οὗ ἐστιν ἡ σκέψις, τὸ πολιτικόν. τὸ δίκαιον τοῦτο μάλιστά ἐστιν ἐν ἰσότητι· κοινωνοὶ γάρ εἰσι πολῖται, καὶ ὅμοιοι βούλονται εἶναι τῇ φύσει, τῷ δὲ τρόπῳ ἕτεροι. τῷ δὲ υἱῷ πρὸς πατέρα καὶ οἰκέτῃ πρὸς δεσπότην, οὐκ ἂν δόξειεν εἶναι δίκαιον οὐθέν. οὐ γάρ ἐστι τῷ ποδὶ τῷ ἐμῷ πρὸς ἐμέ, ὅτι τῇ χειρί· ὁμοίως δὲ οὐδὲ ἑκάστῳ τῶν μορίων. ὡσαύτως οὖν δόξειεν ἔχειν καὶ ὁ υἱὸς πρὸς πατέρα· ὥσπερ γάρ ἐστι μέρος τι τοῦ πατρὸς ὁ υἱός, πλὴν ὅταν ἤδη λάβῃ τὴν τοῦ ἀνδρὸς τάξιν καὶ χωρισθῇ ἀπ' αὐτοῦ. τότε δὴ ἐν ἰσότητι καὶ ὁμοιότητί ἐστι τῷ πατρί· οἷον δὲ πολῖται τοιοῦτοί τινες θέλουσιν εἶναι. ὡσαύτως οὐδ' οἰκέτῃ πρὸς δεσπότην ἐστὶ δίκαιον διὰ τὴν αὐτὴν αἰτίαν. τοῦ γὰρ δεσπότου ἐστὶν ὁ οἰκέτης. ἀλλὰ δὴ καὶ εἴ ἐστιν αὐτῷ δίκαιον, τὸ οἰκονομικὸν δίκαιον πρὸς αὐτόν ἐστιν. οὐ τοῦτο δὲ ζητοῦμεν, ἀλλὰ τὸ πολιτικόν· ἐν ἰσότητι γὰρ καὶ ὁμοιότητι τὸ πολιτικὸν δίκαιον ἔοικεν εἶναι. ἀλλὰ δὴ τὸ μὲν ἐν γυναικὸς καὶ ἀνδρὸς κοινωνίᾳ δίκαιόν ἐστιν ἐγγὺς τοῦ πολιτικοῦ δικαίου. χεῖρον μὲν γάρ ἐστιν ἡ γυνὴ τοῦ ἀνδρός, ἀλλ' οἰκειότερον, καὶ μετέχει ἰσότητός πως μᾶλλον, διότι ἐγγὺς τῆς πολιτικῆς κοινωνίας ὁ βίος αὐτῶν· ὥστε τὸ δίκαιον τὸ γυναικὶ πρὸς ἄνδρα μάλιστά πως ἤδη τῶν ἄλλων πολιτικόν ἐστιν. ἐπεὶ οὖν δίκαιον

Iustú multipliciter dici

Filius pars uelu est patris quando nó uenit ad uirilem ætaté

Minor est uxor marito. Sed fere ÷ æqualis

Quædã iusta na
tura, quædã lege

τὸ ἐν πολιτικῇ κοινωνίᾳ ὂν ἡ δίκαιο συνθήκη· ὁ δίκαιος περὶ τὸ
πολιτικὸν δίκαιον ἐστί. τῶν δὲ δικαίων, ἔστι τὰ μὲν, φύσει.
τὰ δὲ νόμῳ. δεῖ δ' οὕτως ὑπολαμβάνειν, μὴ ὡς μὴ δέποτε ἂν
μεταπεσόντα. ἔστι γὰρ τὰ φύσει ὄντα μεταλαμβάνουσι με-
ταβολῆς. λέγω δ' οἷον εἰ πάντες τῇ ἀριστερᾷ μελετῷμεν ἀεὶ
βάλλειν· γινοίμεθα ἂν ἀμφιδέξιοι. ἀλλὰ φύσει γε ἀριστερά
ἐστι. καὶ τὰ δεξιὰ οὐδὲν ἧττον φύσει βελτίω ἐστὶ τῆς ἀριστερᾶς.
κἂν πάντα ποιῶμεν τῇ ἀριστερᾷ καθάπερ τῇ δεξιᾷ. οὐδ' ὅτι
μεταπίπτουσι, διὰ τοῦτ' ἔστιν οὐ φύσει. ἀλλ' εἰ ὡς ἐπὶ τὸ πολὺ
καὶ τὸν πλείω χρόνον οὕτω διαμένει ἡ ἀριστερὰ ἀριστερὰ οὖσα.
καὶ ἡ δεξιά, δεξιά. τοῦτο φύσει ἐστίν. ὡσαύτως ἐπὶ τῶν φύσει
δικαίων μὴ εἰ μεταβάλλοι διὰ τὴν ἡμετέραν χρῆσιν, διὰ τοῦτ' οὐκ
ἔστι φύσει δίκαιον· ἀλλ' ἔστι. τὸ γὰρ ὡς ἐπὶ τὸ πολὺ διαμένον.
τοῦτο φύσει δίκαιον προφανές. ὃ γὰρ ἂν ἡμεῖς θώμεθα καὶ νο-
μίσωμεν τοῦτο καὶ ἔστι δίκαιον ἤδη καὶ καλοῦμεν κατὰ νό-
μον δίκαιον. βέλτιον οὖν δίκαιον, τὸ κατὰ φύσιν τοῦ κατὰ
νόμον. ἀλλ' ὃ ζητοῦμεν, δίκαιόν ἐστι πολιτικόν. τὸ δὲ πολιτικόν
ἐστι τὸ νόμῳ οὐ τὸ φύσει. τὸ δ' ἄδικον καὶ τὸ ἀδίκημα δόξειεν ἂν
εἶναι ταυτό, οὐκ ἔστι δέ. τὸ μὲν γὰρ ἄδικόν ἐστι τὸ τῷ νόμῳ ὡρισ-
μένον. οἷον τὴν παρακαταθήκην ἀποστερῆσαι ἄδικόν ἐστιν.
τὸ δ' ἀδίκημά ἐστι τὸ ἤδη ἀδίκως τι πρᾶξαι. ὁμοίως δὲ τὸ δίκαιον
καὶ τὸ δικαιοπράγημα οὐ ταυτόν. τὸ μὲν γὰρ δίκαιον τὸ τῷ νό-
μῳ ὡρισμένον. τὸ δὲ δικαιοπράγημα, τὸ τὰ δίκαια πράττειν.
πότε οὖν δίκαιον, ἢ πότε οὔ. ὡς ἁπλῶς μὲν εἰπεῖν, ὅταν πρά-
ττῃ κατὰ προαίρεσιν καὶ ἑκουσίως. τὸ δὲ ἑκουσίως ὃ ἦν, εἴρηται
ἐν τοῖς ἐπάνω ἡμῖν. καὶ ὅταν εἰδὼς καὶ ὃν καὶ ᾧ καὶ οὗ ἕνεκα.
οὗτος δίκαιον πράττει. ὁμοίως καὶ ὡσαύτως καὶ ὁ ἄδικος ἔσται.
ὁ εἰδὼς καὶ ὃν καὶ ᾧ οὗ ἕνεκα. ὅταν δὲ μηδὲν τούτων εἰδὼς πρά-
ξῃ τι ἄδικον, ἄδικος μὲν οὐκ ἔστιν. ἀτυχὴς δέ. εἰ γὰρ οἰόμενος

τὸν

Iustũ natura meli(us)
est iusto legitimo

Τὸ ἄδικον καὶ τὸ
ἀδίκημα nõ esse
idem

δίκαι(ον) — a D
δικαιοπράγμα

ἄδικος



τὸν πολέμιον ἀποκτείνειν, τὸν πατέρα ἀπέκτεινεν. ἀδίκημα
μέν τι ἔπραξεν ἀδικεῖ μέντοι οὐθένα. ἀτυχεῖ δέ. ἐπεὶ οὖν τὸ μὴ
ἀδικεῖν τὰ ἄδικα πράττοντας ἐν τῷ ἀγνοεῖν ἐστὶ τοῦτο ὃ καὶ μι-
κρὸν ἐπάνω ἐλέγετο. ὅταν μὴ εἰδὼς μήθ' ὃν βλάπτει μήθ' ᾧ, μήδ' οὗ
ἕνεκεν. ἀλλ' ἤδη τὴν ἄγνοιαν διοριστέον ἐστὶ πῶς ἂν γινομένης
τῆς ἀγνοίας ὃν βλάπτει οὐκ ἀδικήσει. ἔστω δὴ οὗτος ὁ διορισμός.
ὅταν μὲν γὰρ ἡ ἄγνοια αἰτία ᾖ τοῦ πρᾶξαί τι. οὐχ ἑκὼν τοῦτο
πράττει. ὥστε οὐκ ἀδικεῖ. ὅταν δὲ τῆς ἀγνοίας αὐτὸς ᾖ αἴτιος
καὶ πράττῃ τι κατὰ τὴν ἄγνοιαν ἧς αὐτὸς αἴτιός ἐστιν, οὗτος
ἤδη ἀδικεῖ. καὶ δικαίως αἴτιος ὁ τοιοῦτος κληθήσεται. οἷον
ἐπὶ τῶν μεθυόντων. οἱ γὰρ μεθύοντες, καὶ πράξαντές τι κακόν.
ἀδικοῦσι. τῆς γὰρ ἀγνοίας αὐτοί εἰσιν αἴτιοι. ἐξῆν γὰρ αὐτοῖς
μὴ πίνειν τοσοῦτον, ὥστε ἀγνοήσαντας τύπτειν τὸν πατέρα. ὁμοίως δὲ
ἐπὶ τῶν ἄλλων ἀγνοιῶν ὅσαι μὲν γίνονται δι' αὐτοὺς οἱ κατ' αὐτὰς
ἀδικοῦντες ἄδικοι. ὧν δὲ μὴ αὐτοί εἰσιν αἴτιοι, ἀλλ' ἡ ἄγνοια
κἀκείνοις ἐστὶν αἰτία τοῖς πράξασι τοῦ πρᾶξαι, οὐκ ἄδικοι.
ἔστι δ' ἡ τοιαύτη ἄγνοια ἡ φυσική. οἷον τὰ παιδία ἀγνοοῦντα
τοὺς πατέρας τύπτουσιν. ἀλλ' ἡ ἐν τούτοις ἄγνοια φυσικὴ οὖσα, οὐ ποι-
εῖ διὰ τὴν πρᾶξιν ταύτην τὰ παιδία λέγεσθαι ἄδικα. ἡ γὰρ
ἄγνοια αἰτία τοῦ πράττειν ταῦτα. τῆς δ' ἀγνοίας οὐκ αὐτὰ αἴ-
τια. διὸ οὐκ ἄδικα λέγονται. ὑπὲρ δὲ τοῦ ἀδικεῖσθαι πῶς, πότε-
ρον ἑκόντα ἐστὶν ἀδικεῖσθαι, ἢ οὔ. δίκαια μὲν γὰρ καὶ ἄδικα
πράττομεν ἑκόντες, ἀδικούμεθα δὲ οὐκέτι ἑκόντες. τὸ γὰρ
κολάζεσθαι φεύγομεν. ὥστε δῆλον ὅτι. οὐκ ἂν ἀδικοίμεθα
ἑκόντες. οὐδεὶς γὰρ ἑκὼν βλάπτεσθαι ὑπομένει. τὸ γὰρ ἀδι-
κεῖσθαι βλάπτεσθαί ἐστι, ναί. ἀλλ' εἰσί τινες οἳ δέον αὐτοὺς τὸ ἴ-
σον ἔχειν παραχωροῦσί τισιν. ὥστε εἰ τὸ ἴσον ἔχειν ἦν δίκαιον, τὸ
ἔλαττον ἔχειν ἀδικεῖσθαί ἐστιν. ἔλαττον ἢ ἔχει ἑκών. ἑκὼν ἄρα
φησὶν ἀδικεῖται. ἀλλ' ἐντεῦθεν πάλιν δῆλον, ὅτι οὐχ ἑκών.

Qui p ignorãtia
peccat nõ spon(te)
peccasse dicẽ(tur)
÷ Sed si ipse ig(no)
rantiæ suæ au(ctor)
est tam iniustus

An lædamur sp(on)
te

πάντες γὰρ οἱ ἔλαττον λαμβάνοντες, αὐτὸ καὶ τοῦτο ἀλλάττον ἂν τιμῶν ἢ ἔλαττον ἢ δέξαιντο ἢ φίλιαν ἢ ἄλλο τι τῶν τοιούτων. ὁ δ' αὐτὸ καὶ τοῦτο ἀλλαττόμενός τι αὐθ' οὗ πρόσεται, οὐκέτι ἀδικεῖται. εἰ δὲ μή, ἀδικεῖται. ἔτι πάλιν οἱ τὸ ἔλαττον λαμβάνοντες καὶ ἀδικούμενοι ἢ οὐκ ἴσον λαμβάνουσιν, οὐ τοῖς καλῶς χρώμενοι καὶ σεμνύονται ἐπὶ τῶν τοιούτων, ὅτι φασὶν ἓξ μοῖραν ἴσον λαμβάνειν, οὐκ ἐλάμβανον· ἀλλὰ ταῦτα καὶ τῷ πρεσβυτέρῳ ἢ τῷ φίλῳ· ἀδικούμενος δέ τις οὐδεὶς σεμνύεται. εἰ δ' ἐπὶ τοῖς ἀδικήμασι μὴ σεμνύονται· ἐπὶ δὲ τούτοις σεμνύονται, ὅλως οὐκ ἂν ἀδικοῖντο οὕτως ἐλαττόμενοι. εἰ δὲ μὴ ἀδικοῦνται, οὐδ' ἂν ἑκόντες ἀδικοῖντο. ῥᾴδιος δή, ταῦτα διορίσαντας λόγοις ἐπὶ τὰ ἀκρατοῦς λόγους ἐναντιοῦται· ὁ δ' ἀκρατής, ὁ λαττόμενος αὐτὸν, εἰδώς· ὥστε ἑκὼν αὐτὸς ὑφ' αὑτοῦ ἀδικεῖται· ἀλλ' ἐνταῦθα ὁ ὁμολογισμὸς προστεθείς, κωλύσει τὸν λόγον τοῦτον. ὅτι δὲ ὁ ὁρισμὸς οὗτος, τὸ μηδένα βούλεσθαι ἀδικεῖσθαι, ὁ δὲ τις ἀκρατὴς βουλόμενος πράττει τὰ κατὰ τὴν ἀκρασίαν· ὥστε αὐτὸς αὑτὸν ἀδικεῖ· βούλεται ἄρα τὰ φαῦλα πράττειν αὐτῷ. ἀλλ' ὀλίγοις βούλεσθαι ἀδικεῖσθαι. ὥστε τοῦτο δ' ὁ ἀκρατὴς τὴν αὐτὸς αὑτὸν ἑκὼν ἀδικοίη· ἀλλ' ἴσως ἐνταῦθα πάλιν ἀπορήσειεν ἄν τις· ἆρα τὸ ἐνδέχεται αὐτὸς αὑτὸν ἀδικεῖν· ἐκ μὲν δὴ τοῦ ἀκρατοῦς, σκοπουμένῳ ἔοικεν ἐνδέχεσθαι· καὶ πάλιν ὅταν εἰ γὰρ ὁ νόμος πράττειν τάττει· ταῦτα δ' ἐστὶ δίκαια, ὁ μὴ πράττων τοῦτο ἀδικεῖ· καὶ εἰ πρὸς ὃν κελεύει πράττειν πρὸς τοῦτον εἰ μὴ πράττει, τοῦτον ἀδικεῖ· ὁ δὲ νόμος κελεύει σώφρονα εἶναι ὅλον καὶ τὴν ἕξιν κεκτῆσθαι· σώματος ἐπιμελεῖσθαι· καὶ τὰ μέλη τὰ τοιαῦτα· ὁ ἆρα ταῦτα μὴ πράττων, ἀδικεῖ αὐτὸν· εἰς ἅπαντα γὰρ ἄλλον τῶν τοιούτων ἀδικημάτων ἡ ἀναφορά ἐστιν, ἀλλὰ μήποτε ταῦτα ἀκαλήθη ἦν· ὅλως δ' ἐνδέχεται αὐτὸν ἀδικεῖν αὑτόν· τὸν δ' αὐτὸν ἀκρατῆ ἐνδέχεσθαι κατὰ τὸν αὐτὸν χρόνον πλείω ἔχειν ἢ ἔλαττον· ὅλως δ' ἑκόντα

*De incontinente nota*

*An aliqué possibile sit se ipsum lædere*



οὐδ' ἑκόντα ἅμα δ' ἄκοντα· ἀλλὰ μὴν ὁ ἀδικῶν ἢ ἀδικεῖ, πλέον ἔχει· ὁ δ' ἀδικούμενος ἢ ἀδικεῖται, ἔλαττον· εἰ ἄρα αὐτὸς αὑτὸν ἀδικεῖ· ἐνδέχεται τὸν αὐτὸν κατὰ τὸν αὐτὸν χρόνον καὶ πλέον ἔχειν καὶ ἔλαττον· ἀλλὰ τοῦτο δοκεῖ ἄτοπον· οὐκ ἄρα ἐνδέχεται αὐτὸν αὐτὸν ἀδικεῖν· ἔτι ὁμοῦ ἀδικοῦν, ἑκὼν ἀδικεῖ· οὗ ἀδικούμενος ἄκων ἀδικεῖται· ὥστε εἰ ἐνδέχεται αὐτὸν αὐτὸν ἀδικεῖν· ἐνδέχοιτ' ἂν ἅμα καὶ ἀκουσίως καὶ ἑκουσίως πράττειν τι· τοῦτο δὲ ἀδύνατον· οὐκ ἄρα οὐδ' οὕτως ἐνδέχεται αὐτὸν αὐτὸν ἀδικεῖν· ἔτι εἰ τις λαμβάνει ἐκ τοῦ κατὰ μέρος ἀδικήματος, ἀδικοῦσι γὰρ πάντες ἢ τοὺς παρακαταθήκην ἀποστεροῦντες, ἢ μοιχεύοντες, ἢ κλέπτοντες, ἢ τι ἄλλο τῶν κατὰ μέρος ἀδικημάτων τοιοῦντες· οὐδεὶς δὲ πώποτε αὐτὸς αὑτὸν παρακατεθήκατο ἀποστέρησιν· οὐδ' ἐμοίχευσε τὴν ἑαυτοῦ γυναῖκα· οὐδ' ἔκλεψεν αὐτὸς τὰ ἑαυτοῦ· ὥστε εἰ τὸ μὴ ἀδικεῖν ἐστὶ τοῖς τοιούτοις ὅσοι, τούτων δὲ μηθὲν ἐνδέχεται πρὸς αὐτὸν ποιεῖν, οὐκ ἂν ἐνδέχοιτο αὐτὸν αὐτὸν ἀδικεῖν· εἰ δὲ μή, οὐ τοῦτο τὸ πολιτικὸν ἀδίκημα· ἀλλὰ τὸ οἰκονομικόν· ἡ γὰρ ψυχὴ εἰς πολλὰ μεμερισμένη ἔχει τι αὐτῆς· τὸ μὲν χεῖρον, τὸ δὲ βέλτιον· ὥστε τέττι ἐγγίνεται τὴν ψυχὴν ἀδικήματα μερῶν πρὸς ἄλληλα· τὸ οἰκονομικὸν γὰρ ἀδίκημα δείλομεθα τὸ ἐπὶ τὸ χεῖρον καὶ βέλτιον· ὡσαύτως πρὸς αὐτὸν ἄδικον καὶ δίκαιον· οὐ τοῦτο δ' ἡμεῖς ἐσκοποῦμεθα, ἀλλὰ τὸ πολιτικόν· ὥστε τοῖς τριούτοις ἀδικήμασιν ἐν οἷς ἡμεῖς ζητοῦμεν, οὐκ ἐνδέχεται αὐτὸν αὐτὸν ἀδικεῖν· πότερος δὲ πάλιν ἀδικεῖ, καὶ ἐν ποτέρῳ ὅστε τὸ ἀδίκημα, ἐν τῷ ἀδικῶσ' ὅτι οὖν ἔχοντι, ἢ τῷ κρίναντι καὶ τῷ ἀπορήσαντι ὥσπερ γὰρ τοῖς ἀγῶσι καὶ γὰρ ὁ λαβὼν τὸν φοίνικα παρὰ τοῦ ἐφεξῆς τοῦ καὶ τῷ κρίναντος, οὐκ ἀδικεῖ, καὶ ἀδίκως αὐτῷ ἀποδοθῆ· ἀλλ' ἡδικεῖνας κακῶς καὶ δοὺς, οὗτος ἀδικεῖ· καὶ οὗτος, ὅστε μὲν ἠδίκει· ὅστε δὲ ἠδίκει· ἡμῖν γὰρ τὸ τῇ ἀληθείᾳ καὶ τῇ φύσει ὂν δίκαιον μὴ ἔκρινε, ταύτῃ ἀδικεῖ ἦν ὁ αὐτῷ

D inter iniuria politica & oecon micam

Qui iniuste ali accipit a iudic an sit ipse inu tus an iudex q dedit

~~[illegible]~~ ἀδικεῖν εἶναι ἄδικον, οὐκ ἀδικεῖ. Ἐπεὶ δ' ὑπὲρ τῶν ἀρετῶν εἴρηται καὶ τίνες εἰσί, καὶ ἐν τίσι, καὶ περὶ ποῖα, καὶ περὶ ἑκάστης αὐτῶν, ὅτι εἰ πράττομεν κατὰ τὸν ὀρθὸν λόγον τὸ βέλτιστον· τὸ μὲν οὕτως εἰπεῖν τὸ κατὰ τὸν ὀρθὸν λόγον πράττειν, ὅμοιόν ἐστιν ὥσπερ ἂν εἴ τις εἴποι, ὅτι ὑγίεια ἄριστ' ἂν γένοιτο εἴ τις τὰ ὑγιεινὰ προσφέροιτο. τὸ δὴ τοιοῦτον ἀσαφές. ἀλλ' ἐρεῖ μοι τὰ ποῖα διασάφησον ἐστὶν ὑγιεινά. οὕτω καὶ ἐπὶ τοῦ λόγου τί ἐστιν ὁ λόγος καὶ τίς ὁ ὀρθὸς λόγος. ἀναγκαῖον ἴσως ἐστὶ πρῶτον μὲν ἐν ᾧ ὁ λόγος ἐγγίνεται ὑπὲρ τούτου διελέσθαι. Διωρίσθη μὲν οὖν ὑπὲρ ψυχῆς ὡς τύπῳ καὶ πρότερον, ὅτι τὸ μὲν αὐτῆς ἐστι λόγον ἔχον, τὸ δὲ ἄλογον μόριον τῆς ψυχῆς. ἔστι δὴ εἰς δύο τὴν διαίρεσιν ἔχον τὸ λόγον ἔχον μόριον τῆς ψυχῆς, ὧν ἐστὶ τὸ μὲν βουλευτικόν, τὸ δὲ ἐπιστημονικόν. ὅτι δὲ ἕτερα ἀλλήλων ἐστίν, ἐκ τῶν ὑποκειμένων ἂν γένοιτο φανερόν. ὥσπερ γὰρ δὴ ἕτερά ἐστιν ἀλλήλων χρῶμα καὶ χυμὸς καὶ ψόφος καὶ ὀσμή, ὡσαύτως καὶ τὰς αἰσθήσεις ἑτέρας αὐτῶν ἡ φύσις ἀπέδωκε. ψόφον μὲν γὰρ ἀκοῇ, χυμὸν δὲ γεύσει γνωρίζομεν, χρῶμα δὲ ὄψει. ὁμοίως δὴ καὶ τἆλλα τὸν αὐτὸν τρόπον δεῖ ὑπολαμβάνειν. ἐπειδ' ἕτερα τὰ ὑποκείμενά ἐστιν, ἕτερα καὶ τὰ τῆς ψυχῆς εἶναι δεῖ μέρη οἷς ταῦτα γνωρίζομεν. ἕτερον δ' ἐστὶ τὸ νοητὸν καὶ τὸ αἰσθητόν. ταῦτα δὲ ψυχῇ γνωρίζομεν. ἕτερον ἄρ' ἂν εἴη τὸ μόριον τὸ περὶ αἰσθητὰ καὶ τὰ νοητά. τὸ δὲ βουλευτικόν, περὶ τὰ αἰσθητὰ καὶ ἐν κινήσει, καὶ ἁπλῶς ὅσα ἐν γενέσει τε καὶ φθορᾷ ἐστιν. βουλευόμεθα γὰρ ὑπὲρ τούτων ἃ ἐφ' ἡμῖν ἐστι καὶ πρᾶξαι καὶ μὴ πρᾶξαι προελομένοις, περὶ ἃ ἐστὶ βουλὴ καὶ προαίρεσις τοῦ πρᾶξαι ἢ μὴ πρᾶξαι. ταῦτα δ' ἐστὶν αἰσθητὰ καὶ ἐν κινήσει τοῦ μεταβάλλειν. ὥστε τὸ προαιρετικὸν μόριον τῆς ψυχῆς, κατὰ τὸν λόγον τὸν αἰσθητόν ἐστι. Τούτων δὴ διωρισμένων, μετὰ ταῦτα λεκτέον ἂν εἴη. ἐπειδὴ ὑπὲρ ἀληθοῦς ἐστιν ὁ λόγος, καὶ τἀληθὲς ὡς ἔχει σκοπούμεθα, ἔστιν ἐπιστήμη, φρόνησις, νοῦς, σοφία, ὑπόληψις. περὶ τί δὴ ἕκαστον τούτων ἐστίν.

ἡ μὲν οὖν

Rationalē animæ partē in duas ptēs diuidi. in consultatricē & scietiæ indagatricē. i. in censilem & in intellectualē

Consultamus de his quæ in nobis positū est agere aut non agere.

De Virtutibus intellectualibus:

Scientia
Prudentia
Intellectus
Sapientia
Existimatio



Ἡ μὲν οὖν ἐπιστήμη ἐστὶ περὶ ἐπιστητόν, καὶ τοῦτο μετὰ ἀποδείξεως καὶ λόγου διατεινομένη. ἡ δὲ φρόνησις περὶ τὰ πρακτά, ἐν οἷς αἵρεσις καὶ φυγή, καὶ ἐφ' ἡμῖν ἐστι πρᾶξαι καὶ μὴ πρᾶξαι. ἔστι δὴ τῶν ποιουμένων καὶ πραττομένων οὐ ταὐτὸ τὸ ποιητικὸν καὶ πρακτικόν. τῶν μὲν γὰρ ποιητικῶν ἐστι τὸ παρὰ τὴν ποίησιν ἄλλο τέλος· οἷον παρὰ τὴν οἰκοδομικήν, ἐπειδή ἐστιν οἰκίας ποιητική, οἰκία αὐτῆς τὸ τέλος παρὰ τὴν ποίησιν. ὁμοίως ἐπὶ τεκτονικῆς καὶ τῶν ἄλλων τῶν ποιητικῶν. ἐπὶ δὲ τῶν πρακτικῶν, οὐκ ἔστιν ἄλλο οὐθὲν τέλος παρ' αὐτὴν τὴν πρᾶξιν· οἷον παρὰ τὸ κιθαρίζειν οὐκ ἔστιν ἄλλο τέλος οὐθέν, ἀλλ' αὐτὸ τοῦτο τέλος ἡ ἐνέργεια καὶ ἡ πρᾶξις. περὶ μὲν οὖν τὴν πρᾶξιν καὶ τὰ πρακτά, ἡ φρόνησις· περὶ δὲ τὴν ποίησιν καὶ τὰ ποιητά, ἡ τέχνη. ἐν γὰρ τοῖς ποιητικοῖς μᾶλλον ἢ τοῖς πρακτικοῖς ἐστι τὸ τεχνάζειν. ὥστε ἡ φρόνησις ἂν εἴη, ἕξις τις προαιρετικὴ καὶ πρακτικὴ τῶν ἐφ' ἡμῖν ὄντων, καὶ πρᾶξαι εἰς τὸ συμφέρον ἤδη καὶ συντείνει. ἔστι δ' ἡ φρόνησις ἀρετὴ ὡς δόξειεν ἄν, οὐκ ἐπιστήμη. ἐπαινετοὶ γάρ εἰσιν οἱ φρόνιμοι, ὁ δ' ἔπαινος ἀρετῆς. ἔτι δ' ἐπιστήμης μὲν πάσης ἀρετή ἐστι· φρονήσεως δὲ ἀρετὴ οὐκ ἔστιν, ἀλλ' ὡς ἔοικεν αὐτό τι ἐστὶν ἀρετή. ὁ δὲ νοῦς ἐστιν περὶ τὰς ἀρχὰς τῶν νοητῶν καὶ τῶν ὄντων. ἡ μὲν γὰρ ἐπιστήμη τῶν μετὰ ἀποδείξεως ὄντων ἐστίν, αἱ δ' ἀρχαὶ ἀναπόδεικτοι. ὥστ' οὐκ ἂν εἴη περὶ τὰς ἀρχὰς ἡ ἐπιστήμη, ἀλλὰ νοῦς. ἡ δὲ σοφία, ἐστὶν ἐξ ἐπιστήμης καὶ νοῦ συγκειμένη. ἔστι γὰρ ἡ σοφία καὶ περὶ τὰς ἀρχὰς καὶ τὰ ἐκ τῶν ἀρχῶν ἤδη δεικνύμενα, περὶ ἃ ἡ ἐπιστήμη. ᾗ μὲν οὖν τὰς ἀρχάς, τοῦ νοῦ αὐτὴ μετέχει, ᾗ δὲ περὶ τὰ μετὰ τὰς ἀρχὰς μετ' ἀποδείξεως ὄντα, τῆς ἐπιστήμης μετέχει. ὥστε δῆλον ὅτι ἡ σοφία ἐστὶν ἐκ νοῦ καὶ ἐπιστήμης συγκειμένη, ὥστ' εἴη ἂν περὶ ταῦτα, περὶ ἃ καὶ ὁ νοῦς καὶ ἡ ἐπιστήμη. ἡ δὲ ὑπόληψίς ἐστιν, ᾗ ὑπὲρ ἁπάντων ἐπαμφοτερίζομεν πρὸς τὸ καὶ εἶναι ταῦτα οὕτω καὶ μὴ εἶναι. Πότερον δ' ἐστὶν ἡ φρόνησις καὶ ἡ σοφία ταὐτόν, ἢ οὔ. ἡ μὲν γὰρ σοφία ἐστὶ περὶ

ἐπιστήμης μὲν πάσης ἀρετή ἐστιν

Scientia
Prudentia
ποιητικόν
πρακτικόν

Prudentia circa agibilia. Ars circa factibilia

Prudentiæ du[...]

Intellectus circa quæ?

Principia indemonstrabilia e[...]

Sapientia circa quæ?

Existimatio circa quæ?

Prudentiā virtutem esse

contrarium [illegible] pagina praecedente. Φρόνησις δὲ ἀρετὴ οὐκ ἔστι.



τὸ μετὰ ἀποδείξεως καὶ ἀεὶ ὡσαύτως ὄντα. ἡ δὲ φρόνησις οὐ περὶ ταῦτα, ἀλλὰ περὶ τὰ ἐν μεταβολῇ ὄντα. λέγω δ' οἷον εὐθὺ μὲν ἢ καμπύλον ἢ κοῖλον ἢ τὰ τοιαῦτα ἐστὶν ἢ τοιαῦτα. τὰ δὲ συμφέροντα οὐκέτι οὕτως ἔχουσι τὸ μὴ εἰς ἄλληλα μεταβάλλειν. ἀλλὰ μεταβάλλουσι, καὶ νῦν μὲν συμφέρει τοῦτο, αὔριον δ' οὔ. καὶ τῷδε μὲν, τῷδε δ' οὔ. καὶ οὕτω μὲν συμφέρει, ἐκείνως δὲ οὐ συμφέρει. περὶ δὲ τὰ συμφέροντά ἐστιν ἡ φρόνησις, ἡ δὲ σοφία οὔ. ἕτερον ἄρα ἡ σοφία καὶ ἡ φρόνησις. πότερον δ' ἐστὶν ἡ σοφία ἀρετή, ἢ οὔ. διὰ τούτων δῆλον ἂν γένοιτο, ὅτι ἐστὶν ἀρετὴ ἐξ αὐτῆς τῆς φρονήσεως. εἰ γὰρ ἡ φρόνησις ἀρετή ἐστιν ὥς φαμεν τοῦ μορίου τοῦ ἑτέρου τῶν λόγον ἐχόντων. ἔστι δὲ χείρων ἡ φρόνησις τῆς σοφίας, περὶ χείρω γάρ ἐστιν. ἡ μὲν γὰρ σοφία, περὶ τὸ ἀΐδιον καὶ τὸ θεῖον ὥς φαμεν, ἡ δὲ φρόνησις, περὶ τὸ συμφέρον αὐτῷ. εἰ οὖν τὸ χεῖρον ἀρετή ἐστι, τό γε βέλτιον, εἰκός ἐστιν ἀρετὴν εἶναι. ὥστε δῆλον ὅτι ἡ σοφία ἀρετή ἐστιν. Ἡ δὲ σύνεσις τί ἐστιν, ἢ περὶ τί. ἔστι δ' ἡ σύνεσις ἐν οἷς περ καὶ ἡ φρόνησις, περὶ τὰ πρακτά. ὁ γὰρ συνετὸς που λέγεται τῷ δύνασθαι βουλεύσασθαι καὶ ἐν τῷ ὀρθῶς τι κρίναι καὶ ἰδεῖν. περὶ μικρόν τι καὶ ἐν μικροῖς ἡ κρίσις αὐτοῦ ἐστιν. ἔστιν οὖν ἡ σύνεσις καὶ ὁ συνετός, μέρος τι φρονήσεως καὶ τοῦ φρονίμου, καὶ οὐκ ἄνευ τούτου. οὐ γὰρ ἂν χωρίσαις τὸν συνετὸν τοῦ φρονίμου. ὅμοιον δ' ἂν δόξειεν ἔχειν καὶ τὰ ἐπὶ τῆς δεινότητος. ἡ γὰρ δεινότης καὶ ὁ δεινός, οὐκ ἔστι μὲν οὔτε φρόνησις, οὔτε φρόνιμος. ὁ μέντοι φρόνιμος, δεινός. διὸ καὶ συνεργεῖ πως τῇ φρονήσει ἡ δεινότης. ἀλλὰ δεινὸς μὲν καὶ ὁ φαῦλος λέγεται. οἷον, Μέντωρ δεινὸς μὲν ἐδόκει εἶναι, ἀλλ' οὐ φρόνιμος ἦν. τοῦ γὰρ φρονίμου καὶ τῆς φρονήσεώς ἐστι τὸ τῶν βελτίστων ἐφίεσθαι, καὶ τούτων προαιρετικὸν εἶναι καὶ πρακτικὸν ἀεί. τῆς δὲ δεινότητος καὶ τοῦ δεινοῦ, σκέψασθαι ἐκ τίνων ἂν ἕκαστον γένοιτο τῶν πρακτῶν, καὶ τὸ ταῦτα πορίσασθαι. δόξειε γὰρ ἂν οὖν εἶναι ὁ δεινὸς ἐν τοῖς τοιούτοις τε καὶ περὶ ταῦτα.

Ἀπορήσειε δ' ἄν τις καὶ θαυμάσειε, διὰ τί περ ἠθῶν λέγοντες καὶ πολιτικῆς τινος πραγματείας, ὑπὲρ σοφίας λέγομεν.

ὅτι ἴσως

An prudetia & sapientia sint idem

Sapientia sit ne uirtus?

Sapientia circa aeterna & diuina uersatur. Prudentia circa homini utilia

σύνεσις. industria

δεινότης. astutia

ὁ φρόνιμος δεινός, οὐ μέντοι ὁ δεινὸς φρόνιμος

Prudentiae & prudentis est appetere optima & eligere ea

Mentor

Cur de moribus sermone instituto & de ciuilitate, tractet de sapietia



ὅτι ἴσως γε πρῶτον μὲν, οὐδ' ἀλλοτρία δόξειεν ἂν εἶναι ἡ σκέψις ὑπὲρ αὐτῆς, εἴπερ ἐστὶν ἀρετὴ ὡς φαμέν. ἔπειτ' ἴσως ἐστὶ φιλοσόφου καὶ περὶ τούτων παρεπισκοπεῖν, ὅσα ἐν τῷ αὐτῷ τυγχάνουσιν ὄντα. καὶ ἀναγκαῖον δέ, ἐπεὶ περὶ τῶν ἐν ψυχῇ λέγομεν ὑπὲρ ἁπάντων λέγειν. ἔστι δὲ καὶ ἡ σοφία ἐν ψυχῇ. ὥστε οὐκ ἄλλως ὑπὲρ ψυχῆς ποιούμεθα τοὺς λόγους. ὥσπερ δ' ἔχει ἡ δεινότης πρὸς φρόνησιν, οὕτως δόξειεν ἂν ἔχειν ἐπὶ τῶν ἀρετῶν ἁπασῶν. λέγω δὲ οἷον εἰσὶν ἀρεταὶ καὶ φύσει ἐν ἑκάστοις ἐγγινόμεναι. οἷον ὁρμαί τινες ἐν ἑκάστῳ ἄνευ λόγου πρὸς τὰ ἀνδρεῖα καὶ τὰ δίκαια, καὶ καθ' ἑκάστην καὶ πρὸς τὰ τοιαῦτα. ἔστι δὲ δὴ καὶ ἔθει καὶ προαιρέσει. αἱ δὲ δὴ μετὰ λόγου οὖσαι, πῶς ἀρεταί εἰσιν ἐπαινεταὶ ἐπιγινόμεναι. ἔστιν οὖν ἡ φυσικὴ ἀρετὴ αὕτη ἡ ἄνευ λόγου, χωριζομένη μὲν τοῦ λόγου μικρὰ καὶ ἀπολειπομένη τοῦ ἐπαινεῖσθαι. πρὸς δὲ τὸν λόγον καὶ τὴν προαίρεσιν προστιθεμένη, τελείαν ποιεῖ τὴν ἀρετήν. διὸ καὶ συνεργεῖ τῷ λόγῳ. καὶ οὐκ ἔστιν ἄνευ τοῦ λόγου ἡ φυσικὴ ὁρμὴ πρὸς ἀρετήν. οὐδ' αὖ ὁ λόγος καὶ ἡ προαίρεσις, οὐ πάνυ τελειοῦται τῷ εἶναι ἀρετή, ἄνευ τῆς φυσικῆς ὁρμῆς. διὸ οὐκ ὀρθῶς Σωκράτης ἔλεγε φάσκων εἶναι τὴν ἀρετὴν λόγους. οὐδὲν γὰρ ὄφελος εἶναι πράττειν τὰ ἀνδρεῖα καὶ τὰ δίκαια, μὴ εἰδότα καὶ προαιρούμενον τῷ λόγῳ. διὸ τὴν ἀρετὴν ἔφη λόγον εἶναι, οὐκ ὀρθῶς. ἀλλ' οἱ νῦν βέλτιον. τὸ γὰρ κατὰ τὸν ὀρθὸν λόγον πράττειν τὰ καλά, τοῦτό φασιν εἶναι ἀρετήν. ὀρθῶς μὲν οὐδ' οὕτω. πράξειε μὲν γὰρ ἄν τις τὰ δίκαια προαιρέσει μὲν οὐδεμιᾷ, οὐδὲ γνώσει τῶν καλῶν, ἀλλ' ὁρμῇ τινι ἀλόγῳ, ὀρθῶς δὲ ταῦτα καὶ κατὰ τὸν ὀρθὸν λόγον. λέγω δὲ ὡς ἂν ὁ λόγος ὁ ὀρθὸς κελεύσειεν ἄν, οὕτως ἔπραξεν. ἀλλ' ὅμως ἡ τοιαύτη πρᾶξις, οὐκ ἔχει τὸ ἐπαινετόν. ἀλλὰ βέλτιον ὡς ἡμεῖς ἀφορίζομεν τὸ μετὰ λόγου εἶναι τὴν ὁρμὴν πρὸς τὸ καλόν. τὸ γὰρ τοιοῦτον καὶ ἀρετὴ καὶ ἐπαινετόν. πότερον δ' ἐστὶν ἡ φρόνησις ἀρετή, ἢ οὔ; ἀπορήσειεν ἄν τις. οὐ μὴν ἀλλ' ἐντεῦθεν γένοιτο δῆλον ὅτι ἀρετή.

δεινότης sicuti a prudetia sic se ht ad alias uirtu[tes]

Τέως

Diff° uirtutis sec[undum] quosda[m]

An prudetia sit uirtus?

εἴπερ γὰρ δικαιοσύνη τε καὶ ἀνδρεία καὶ αἱ ἄλλαι ἀρεταὶ διὰ τὸ τῶν καλῶν πρακτικαὶ ἐπαινεταί εἰσι, δῆλον ὡς καὶ ἡ φρόνησις τῶν ἐπαινετῶν ἂν εἴη καὶ τῶν ἐν ἀρετῆς τάξει ὄντων. ἐφ' ἃ γὰρ ἡ ἀνδρεία ὁρμᾷ πράττειν, ἐπὶ ταῦτα καὶ ἡ φρόνησις. τὸ γὰρ ὅλον ὡς αὕτη προστάττει, οὕτω καὶ ἡ ἀνδρεία πράττει. ὥστ' εἰ αὐτὴ ἐπαινετὴ τῷ ποιεῖν ἃ ἂν ἡ φρόνησις προστάττῃ, ἥ γε φρόνησις τελείως ἂν εἴη καὶ ἐπαινετὴ καὶ ἀρετή. πότερον δ' ἐστὶν ἡ φρόνησις πρακτική, ἢ οὔ, ἴδοι ἄν τις ἐντεῦθεν ἐπὶ τὰς ἐπιστήμας ἐπιβλέψας, οἷον ἐπὶ τὴν οἰκοδομικήν. ἔστι γάρ, ὥς φαμεν, ἐν οἰκοδομικῇ ὁ μὲν ἀρχιτέκτων τις καλούμενος, ὁ δ' ὑπηρετῶν τούτῳ οἰκοδόμος. ὁ γε δ' ἐστὶ ποιητικὸς οἰκίας. ἔτι δὲ καὶ ὁ ἀρχιτέκτων, καθ' ὅσον τὴν οἰκίαν, ποιητικὸς οἰκίας. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ποιητικῶν ἔχει, ἐν αἷς ἐστὶν ἀρχιτέκτων καὶ ὑπηρέτης. τούτου ποιητικός ἄρα τινὸς καὶ ὁ ἀρχιτέκτων ἔσται, καὶ τοῦ αὐτοῦ τούτου ποιητικὸς καὶ ὁ ὑπηρετικός. εἰ τοίνυν ὁμοίως καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει, ὅπερ εἰκός τε καὶ εὔλογον, καὶ ἡ φρόνησις ἂν εἴη πρακτική. αἱ γὰρ ἀρεταὶ πᾶσαι πρακτικαί εἰσιν, ἡ δὲ φρόνησις ὥσπερ ἀρχιτέκτων τις αὐτῶν ἐστίν. ὅπως γὰρ αὕτη προστάξῃ, οὕτως αἱ ἀρεταὶ καὶ οἱ κατὰ ταύτας πράττουσιν. Ἐπεὶ οὖν αἱ ἀρεταὶ πρακτικαί, καὶ ἡ φρόνησις πρακτικὴ ἂν εἴη. πότερον δὲ αὕτη πάντων ἄρχει τῶν ἐν τῇ ψυχῇ, ὥσπερ δοκεῖ καὶ ἀπορεῖται, ἢ οὔ; τῶν γὰρ βελτιόνων οὐκ ἂν δόξειεν· οἷον τῆς σοφίας οὐκ ἄρχει. ἀλλά φησιν αὕτη ἐπιμελεῖται πάντων, καὶ κυρία ἐστὶ προστάττουσα. ἀλλ' ἴσως ἔχει ὥσπερ ἐν οἰκίᾳ ὁ ἐπίτροπος· οὗτος γὰρ πάντων κύριος, καὶ πάντα διοικεῖ. ἀλλ' οὔπω οὗτος ἄρχει πάντων, ἀλλὰ παρασκευάζει τῷ δεσπότῃ σχολήν, ὅπως ἂν ἐκεῖνος μὴ κωλυόμενος ὑπὸ τῶν ἀναγκαίων ἐκκλείηται τοῦ τῶν καλῶν τι καὶ προσηκόντων πράττειν. οὕτω καὶ ὁμοίως τούτῳ ἡ φρόνησις, ὥσπερ ἐπίτροπός τίς ἐστι τῆς σοφίας, καὶ παρασκευάζει ταύτῃ σχολὴν καὶ τὸ ποιεῖν τὸ αὐτῆς ἔργον, κατέχουσα τὰ πάθη καὶ ταῦτα σωφρονίζουσα.

ΤΕΛΟΣ, ΤΟΥ Α'.

*An prudentia sit actiua an no(n)*

*ἀρχιτέκτων a — οἰκοδόμος D*

*Prudentia ad reliq(ua)s uirtutes se h(abe)t sicut architectó ad fabros*

*Pulcherrima co(m)par(atio) quomodo se habeat prudétia ad sapientiá & reliq(ua)s uirtutes intellectuales*



# ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΩΝ ΜΕΓΑΛΩΝ, ΤΟ Β'.

Ἐπεὶ δὲ ταῦτα ὑπὲρ ἐπιεικείας δέοι ἂν τὴν ἐπίσκεψιν ποιήσασθαι, τί τ' ἐστὶ καὶ ἐν τίσι καὶ περὶ τί. ἔστι δὴ ἡ ἐπιείκεια καὶ ὁ ἐπιεικής, ὁ ἐλαττωτικὸς τῶν δικαίων τῶν κατὰ νόμον. ἃ γὰρ ὁ νομοθέτης ἐξαδυνατεῖ καθ' ἕκαστα ἀκριβῶς διορίζειν, ἀλλὰ καθόλου λέγει, ὁ ἐν τούτοις παραχωρῶν, καὶ ταῦθ' αἱρούμενος ἃ ὁ νομοθέτης ἐβούλετο μὲν καθ' ἕκαστα διορίσαι, οὐκ ἠδυνήθη δέ, ὁ τοιοῦτος ἐπιεικής. οὐκ ἔστι δὲ ἐλαττωτικὸς τῶν δικαίων ἁπλῶς· τῶν μὲν γὰρ φύσει καὶ ὡς ἀληθῶς ὄντων δικαίων οὐκ ἐλαττοῦται, ἀλλὰ τῶν κατὰ νόμον, ἃ ὁ νομοθέτης ἐξαδυνατῶν ἀπέλιπεν. ἡ δ' εὐγνωμοσύνη καὶ ὁ εὐγνώμων ἐστὶ περὶ ταῦτα περὶ ἃ καὶ ἡ ἐπιείκεια, περὶ τὰ δίκαια καὶ τὰ ἐλλελειμμένα ὑπὸ τοῦ νομοθέτου τῷ μὴ ἀκριβῶς διωρίσθαι, κριτικὸς ὢν τῶν ἐλλελειμμένων ὑπὸ τοῦ νομοθέτου, καὶ γνωρίσκων ὅτι ὑπὸ μὲν τοῦ νομοθέτου ἐλλέλειπται, ἔστι μέντοι δίκαια. ὁριστὴς γὰρ ὁ εὐγνώμων. ἔστι μὲν οὖν οὐκ ἄνευ ἐπιεικείας ἡ εὐγνωμοσύνη· τὸ μὲν γὰρ κρῖναι τοῦ εὐγνώμονος, τὸ δὲ δὴ πράττειν κατὰ τὴν κρίσιν τοῦ ἐπιεικοῦς. ἡ δὲ εὐβουλία ἔστι μὲν περὶ ταὐτὰ τῇ φρονήσει· περὶ γὰρ τὰ πρακτά ἐστι τὰ περὶ αἵρεσιν καὶ φυγήν. ἔστι δὲ οὐκ ἄνευ φρονήσεως· ἡ μὲν γὰρ φρόνησις πρακτικὴ τούτων ἐστίν, ἡ δὲ εὐβουλία ἕξις ἢ διάθεσις ἤ τι τοιοῦτον ἡ ἐπιτευκτικὴ τῶν ἐν τοῖς πρακτικοῖς βελτίστων.

*De Aequitate .i. ἐπιεικεία*

*De Modestia .i. εὐγνωμοσύνη*

*De p(ro)mptitudine .i. εὐβουλία*

*:. instructio interpres*

In fit iusti omnes eque excipe?

An prudens possit lædere & iniuria afficere aliquem?

Prudentiam maximum bonū esse

No, scire quæ faciunt ad sanitatē est medicū esse sed cui apta sit & quādo & q̄m

ἀσυμφορωτάτων. διὸ οὐδὲ τὰ ῥιαῦτα βουλίας ἀνδόξειε τὰ ἀποτυγμάτου συμβαίνοντα κατὰ τρόπον· οἷος γὰρ μὴ ὄστιν ὁλόγως ὁ σκοπῶν τὸ βέλτιστον, οὐκέτι ἂν εἴτις, ὥστ συνέβη τὰ κατὰ ξόπον, ῥῦτν δύβολον· ἀλλ' ὐτυχῆ· τὰ γὰρ ἀνθ τοῦ λόγου τοῦ κείνοντος γινόμενα κατορθώματος· ὐτυχήματά ὄστ ⟨ποτερον δέποτε τοῦ δικαίου ὄστ τὸ τῇ ψῆφῳ τὸ ἴσον ἑκάστῳ ἀποδιδόναι· λέγω δὲ οἷον, ὁποῖος ἂν εἴη ἕκαστος· τοιοῦτον τι πόλμυον ἐυτυγχάνειν· ἢ οὐ· ῥῦτν μὴ ⟨ὁ κόλακος· ἢ ἀρέσκου δύξειεν ἂν εἶναι· ἀλλὰ τὸ κατ ἀξίαν ἑκάστῳ ἀποδόναι τῶν ἐνΤωξιν, τοῦτο καὶ δικαίου καὶ ἁπλοῦς ἀνθρώπου δόξῃ εἶναι⟩ Α πρήσειε δ' ἂν τις καὶ ῥῦτν· εἰ πέρ ὄστ τὸ ἀδικεῖν τὸ βλάπτειν εἰκόνται καὶ εἰδότα, ⟨ὁ ὁμ· ⟨ὡς, καὶ ὃ ἕνεκα· ὄστ δὲ μὴ βλάβην ἢ ἀδικίαν ἐνἀγαθοῖσ, ἢ ὡς εἰ ἀγαθά· ὁ ἀδικῶν, ἄρα ἢ ὁ ἄδικος, εἰδείη ἂν ὁποῖα ἀτυχεῖα καὶ ὁποῖα κακά· τὸ δ' ἐγχειροῦν πρᾶν τοιούτων εἰδὼν αἱ ὄστν ἴδιον τοῦ φρονίμου καὶ τῆς φρονήσεως. ἄτοπον δ' ἂν συμβαίνει, τὸ τῷ ἀδικῳ συμπαρακολουθεῖν τὸ μέγιστον τἀγαθὸν τὴν φρόνησιν· ἢ οὐκ ἂν δύξειε παρακολουθεῖν τῷ ἀδικῳ ἡ φρόνησις· οὐ γὰρ σκοπεῖ ὁ ἄδικος· ὃ δ' ἁμάρτημα κείνῳ ῥᾴστως ἀτυχεῖ ⟨τὸ αὐ τὸ ἀγαθ'' αἰὰ διαμαρτάνῳ· τ' ⟨ὃ φρονήσεως ὄρ' ὄστ· τὸ, ὀρθῶς δικάσθαι ταῦτα θεωρῶ· ὁμοίως ὥστερ ἐπὶ τῆς ἰατρικὴν τὸ μὴ ἁπλῶς ὑγιεινὸν ἢ τὸ ὑγείας ποιητικὸν οἶδα μᾶλλον· ἅπαντες· ὅτι ἐλλέβορος ἢ τὸ ἐλατήριον· ⟨αἱρεῖται μᾶλ καὶ αἱ καύσεις ὑγιεινότεραί εἰσι· ἢ ὑγείας ποιητικά· ἀλλ' ὅμως οὐκέτ ἔχω μᾶλλον τὴν ἰατρικὴν ὡΐστήμην· ἀγαθὸν γὰρ ἔτι οἶδα μᾶλλον τὸ καθ' ἕκαστον ἀποθόν· ὥστε οἷς ἀστρὸς οἶδε τίνι ὅτι τοῦ τἀγαθὸν καὶ πότε καὶ ὡῶς δικαιότερόν· ἐν τούτῳ γὰρ ἡ δικαιοσύνη ἐστὶν ὡΐστήμη· τοῦ μὲν οὖν ἁπλῶς ὑγιεινὰ εἰδότος· ὅμως οὐκέτ ἔχω μᾶλλον· οὐδὲ παρακολουθεῖν ἡμῖν ἡ δικαιοσύνη ὡΐστήμη· ὡῶς δ' αὖτως ὁ ἄδικος· ὅτι μᾶλλον οὖν ἁπλῶς καὶ ἐυτυχεῖν ἀγαθόν·

καὶ ἡ ἀρχὴ



καὶ ἡ ἀρχὴ ⟨ἡ ὀρθὸσία, οἶδεν· ἀλλ' εἰ αὐτῷ ἀποθὸν ἢ μὴ· ἢ πότε· ἢ πῶς· δικαιοῦμεν, ὅκ ἔτι οἶδε· ῥῦτν δ' ἐστὶ μάλιστα ⟨ἡ φρονήσεως· ὥστε τῷ ἀδίκῳ ὀ παρακολουθεῖ ἡ φρόνησις· αἱρεῖται γὰρ τἀγαθὰ ὑπὲρ ὧν ἀδικεῖ τὰ ἀποθά· ὅτα δὲ αὐ τ' ἀποθά· ὁ ⟨ὠλὸς· ⟨ἡ ἀρχὴ, ἀ ὠλῶσ μ' ἀγαθόν· αὐτῷ μόνῳ· ἴσως ὅκ ἀποθόν· ὑπερβάς γὰρ ⟨ἀρξας, πολλὰ κακὰ αὐτὸς ἑαυτῷ πρήσει ⟨τ' ⟨φίλοις· ὀ δ' δικαιώσας ἀρχὴ ὀρθῶσ χρήσαθ' ⟨ἕξει δὲ καὶ τοῦ τὸ ἀπρεία ⟨ν σκέψιν πότερόν ὄστ πρὸς τὸν Φαῦλον ἀδικία, ἢ οὔ· εἰ γὰρ ἡ μὲν ἀδικία ὄστν ⟨ὠβλάβη, ἡ δὲ βλάβη, ⟨ὠστερήσει τῶν ἀποθῶν, οὐκ ἂν δόξειε βλάπτειν· τὰ γὰρ ἀγαθὰ εἰ αὐ τῷ οἷς τοις εἶναι ἀγαθὰ, οὐκ ἀποθά εἰσιν· ἢ γὰρ ἀρχὴ ⟨ὁ ὠλῶν, τὸν Φαῦλον οὐ δικαίωμον αὐτοῖς χρῆσθ' ὀρθῶσ βλάψῃ· εἰ οὖν αὐτὸν βλάψῃ ὥσ ραγόμενα, ὀρύτων στερίσκων, ὅκ ἂν δόξειε ἀδικεῖν· ὁδὴ ῥιῶν λόγος δόξειεν ἂν εἶναι πρᾴοξος τῆς πολλοῖς· πού τ⟨ς⟩ οἷον⟩ ἢ ἀρχὴ ἢ δικαίωμεν ⟨ὠλότῳ, δικαιοῦμεν ἢ εἶναι χρῆσθαι, ὅκ ὀρθῶς ὑπολαμβάνον τ⟨ς⟩ δῆλον ⟨ὄ τοῦτο καὶ ἐκ τοῦ νομοθέτου· ὁ γὰρ νομοθέτης ὀ πᾶσιν ἐπιτρέπει τὸ ἄρχειν, ἀλλ' ὡς εἴρηται ⟨ἡ ἡλικία ⟨ἡ ἀπειρία· ὡὐ δεῖ ὑπάρχειν τῷ μέλλοντι ἄρχειν, ὡστε δικαίου ὃν παντὶ ἄρχειν ὑπάρξαι· εἰδήπερ ἀτυχεῖα κρίνοιτο ἂν ἄρχειν· ἢ ἴδοις ἂν ἐὰν τὸν ἐᾶς κυβερνᾶν, ὃ δ' ἔχεις· εἴπερ αὖ τις δέον τοῖσδε τὸν ἐν τῇ ψυχῇ ὦ δυνήσει, ἢ ἄρχειν ἢ κυβερνᾶν· ἢ ἐπὶ μὲν τοῦ σώματος ὁρῶμεν οὐ δικαιοῦμεν ὑγιαίνειν τοὺς τὰ ἀποθὰ ἀγαθὰ πρὸς φέρομένους· ἀλλ' εἰ μέλλει τὸ ὑγιαίνειν τὸ σῶμα τὸ φαῦλον, ὕδωρ αὐτῷ πρότερον ἢ ὀλίγα σιτία πρὸ σενεκτέον· τῷ δὲ τὴν ψυχὴν φαύλῳ ἔχοντι πρὸς τὸ μηθὲν καὶ ὃν ἐρεῖ ἔσθαι, ἀφεκτέον ἢ ὠλότου καὶ ἀρχῆς ἢ δυνάμεως ⟨ἀποθῶς τ' τοιούτων· ὅσῳ οὐκ ἐνεκτότερον ἢ ὑμεταβολώτερον ψυχὴ σώματος· ὡς περ γὰρ ὁ φαῦλος τὸ σῶμα· ὅτως ἰῶ ἐστὶ θεῖος διαπεφθ⟨ς⟩· ⟨ὁ φαῦλος τὴν ψυχὴν ὅτως ἐπιτήδειος διάγειν μηθὲν πρ⟨ς⟩ οὐτων ἔχων ἕξει· ⟨ὃ τοιοῦτον ἀπορείαν οἷον

BBBB

An qs possit nocere malo homi

Omnes putant posse administrare magistratū potestate & ope sed fallūtur.

ἐπεισάκτων μὴ ἢ ἄλλα πράξαι, τὰ ἀνδρεῖα καὶ τὰ δίκαια πότ-
ἀν τις πράξῃ· ἐν μὲν δὴ ταῖς φυσικαῖς ἀρεταῖς ἔφαμεν τὸ
ὁρμὴν μόνον δεῖν πρὸς τὸ καλὸν ὑπάρχειν ἄνευ λόγου· ᾧ δ' ὅτιν
αἵρεσις ἐν τῷ λόγῳ καὶ τῷ λόγον ἔχοντί ὅτιν· ὥστε τὸ μὲν λέ-
σθαι καὶ παρεῖσαι· καὶ ἡ τελεία ἀρετὴ ὑπάρξῃ ἐφαμεν
μετὰ φρονήσεως εἶναι· οὐκ ἄνευ δὲ τῆ φυσικῆς ὁρμῆς τῆ ἰῶ
τὸ καλὸν, ὅδ' ἐναντιώσεται ἀρετῇ· πέφυκε γὰρ ὑπείκειν τῷ
λόγῳ· ἢ ὡς ὅ τος προστάττῃ· ὥστε τῷῷ αὐ ὅ τος ἀγῃ, ἐπὶ τοῦτο
ἀποκλίνει· τὸ γὰρ βέλτιστον ὅ τός ὅτιν ὁ αἱρούμενος· οὔτε γὰρ
ἄνευ τῆς φρονήσεως αἱ ἄλλαι ἀρεταὶ γίνονται, οὐθ' ἡ φρόνησις
τελεία ἄνευ τῶν ἄλλων ἀρετῶν· ἀλλὰ συνεργοῦσί πως μετ' ἄλ
λήλων ἐπακολουθοῦσαι τῇ φρονήσει· οὐχῆττον δὲ καὶ τὰ φύ
σει ὑπαρχόντα· πότερον ποτε καὶ ἐπὶ τῶν ἀρετῶν οὕτως
ἔχει ὥσπερ ἐπὶ τῶν ἄλλων ἀγαθῶν τῶν τέκτος καὶ τῶν πει
σῶμα· ταῦτα γὰρ εἰς ὑπερβολὴν γιγνόμενα, χείρους ποιεῖ· οἷον
πλοῦτος πολὺς γιγνόμενος, ὑπερόπτας καὶ ἀνδρεῖς ἐποί
ησεν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἀγαθῶν· ἀρχὴς· τιμῆς· κάλ
λους· μεγέθους· πότερον οὖν καὶ ἐπ' ἀρετῆς ὅτως ἔχει, ὥστε ἐάν
τινι δικαιοσύνη ἢ ἀνδρία εἰς ὑπερβολὴν παραγένηται χεί
ρων ἔσται; ἢ οὔφησιν· ἀλλ' ἀπὸ μὲν φ ἀρετῆς τῇ μὴ γίνεται· ἢ ὃ
τι μή, μεγάλη γιγνομένη, χείρους ποιεῖ· ὥστε δῆλον ὅτι φύσις
ἀρετὴ εἰς ἐπίδοσιν βαδίζουσα μεγέθους χείρους ποιήσει· φ
δὲ τιμῆς ἡ ἀρετὴ αἰτία· ὥστε καὶ ἡ ἀρετὴ ποιοῖ ἂν χείρας μεί
ζων γιγνομένη· ἢ οὐ τοῦτο ἀληθές· φ γὰρ ἀρετῆς εἰ καὶ ἄλλα
πολλά ὅτιν ἔργα ὥς περ καὶ ὅτι, καὶ τοῦτο ἐν τοῖς μάλιστα, τὸ
φ ἀγαθοῖς τούτοις καὶ τοῖς ποιούτοις δωσέαθαι ὀρθῶς πα
ραγενομένοις χῆσθαι· εἰ δὲ ἀπαιδεύτος παραγενομένοις αὐτῷ
ἢ τιμῆς ἢ ἀρχῆς μεγάλης μὴ χήσεται πρὸς τούτοις, οὐκέτι ἂν εἴη
ἀπαίδευτος· οὐτε δὴ τιμὴ οὐτε ἡ ἀρχὴ ποιήσει τὸν ἀπαίδευτον
χείρω, ὥς περ δὴ ἀρετή· τὸ δ' ὅλον ἐπεὶ δὴ περ ἡ μὴν ἐν ἀρχῇ
δι-

Naturales uirtutes

Relique uirtutes nō fiunt sine prudentia neq: ꝑfecta prudētia sine alijs

Extraria bona si mia sint reddere homines malos





διώρισται ὅτι εἰσὶν αἱ ἀρεταὶ μεσότητες· ἔτι ἡ μᾶλλον ἀρετὴ,
μᾶλλον ὅτι μεσότης· ὥστ' ἐὰν τις χείρω ποιήσει εἰς μέγεθος ἡ ἀρε
τὴ ἰδσα· ἀλλὰ βελτίω· ἡ γὰρ μεσότης, ὠφελείας καὶ ὑπερβολῆς
φ τῶν παθῶν ἰῶ μεσότης· ταῦτα μὲν μέχρι τούτου· Μετὰ δὲ
ταῦτα ἀναγκαῖόν ὅτιν ἑτέραν ἀρχὴν ποιησαμένους λέγειν ὑ
πὲρ ἐγκρατείας καὶ ἀκρασίας· ὡς ὑπὲρ ὄ ἡ ἀρετὴ καὶ ἡ κα
κία αὐτοῖς εἰσιν ἀ τοποι, ὡ σαύτως ἀναγκαῖον καὶ τοὺς πει
ρωτῶντων λόγους λεχθῆσομένους ἀ τόπους γίνεσθαι· οὐ γὰρ ὁμοίας
ἡ ἀρετὴ αὐτὴ ὅδε ταῖς ἄλλαις· ἐν μὲν δὴ ταῖς ἄλλαις ἐπὶ τοῦ
του καὶ ὁ λόγος ἐ τὸ ποιόθη ὁρμῶσι· ἐ οὐκ ἐναντιοῦται ἀλλή
λοις· ἐν δὲ ταύτης ἐναντιοῦται ἀλλήλοις ὁ τελόγος ἐ τὸ ποι
σθῆ· ὅδε δεῖ τὰ τοιαύτῃ ψυχῇ πονομῆσαι· φαῦλοι λεγόμεθα·
κακίαι· ἀκρασίαι· θηριότητες· ὑπερ μὲν οὖν κακίας ἡ ἀρετῆς
τίδε ἡ ἐναντίον, εἴρηται· νῦν δὲ ὑπὲρ ἀκρα
σίας ἡ θηριότητος λεκτέον αὖ εἴη· Ἔστι δὲ ἠθηριότης, ὑπερβάλ
λουσά τις κακία· ὅταν γένηται ἄνευ τελῶσι ἰδίῳ μὲν φαῦλον δ'
αὖ ὂν φαμὲν εἶναι· ἀλλ θηριῶδες· ὡς ὅταν τις ἀκακίαν θηριό
τητα· ἢ ὃ αὖ τις φαμὲν ἀρετὴ ταύτῃ, ὅτιν αὐώνυμος· ὅτι δὲ ἡ ἀρε
αὐτὴ ὑπὲρ αὖ ὃ ὅσα οἷον ἡρωϊκή τις ἠθεία· αὐώνυμος δ' ὅτιν
αὐτὴ, ἡ ἀρετὴ ὅτι ὑπὲρ θεὸν ἀρετή· ὁ θεὸς βελτίων φ ἀρετ·
ἢ ἀκατάρετον ὅτι ἀπονδάκτος· ὅτω γὰρ βελτίων ἔσται ἡ ἀρετὴ τῷ
θεῷ· διὸ αὐώνυμος ἡ ἀρετὴ ἡ τῆ κακίᾳ τῆ θηριότητι αὐτικεί
μένη· θέλφ δὲ τῇ τοιαύτῃ αὐτικεῖσθαι ἠθείᾳ ὑπὲρ αὖ ὂν· ὡς
περ δ ἐ ἡ κακία ἡ θηριότης ὑπὲρ ἄνον ὅτιν· οὕτω καὶ ἡ ἀρετὴ ἡ
αὐτικειμένη ὑπὲρ δὲ ἀκρασίας καὶ ἐγκρατείας πρῶτον δεῖ
εἰπεῖν τὰ ἀπορούμενα· πρὸς ἃς ἐναντίους μένους λόγους τοῖς
φαινομένοις, ὅπως ἐκ τῶν ἀπορουμένων λόγων συνεστήσκε
φάμενοι, ἢ ταῦτα βεβαιώσαντες, τὴν ἀλήθειαν ὑπὲρ αὐτῶν, εἰς τὸ
ἐνδεχόμενον ἰδωμεν· ἔσον δ' ὅτως ἰδεῖν τελῆθες ἔσαι σωκράτης
μὲν ὁ πρεσβύτης αὐτῷ ὅλως ἢ ὁκ ἔφη ἀκρασίαν εἶναι· λέγων



De cōtinētia & incontinentia

Tria ee in anim nostro secundu quæ mali dicim

κακία. Vitiu

ἀκρασία. incōtn

θηριότης. ferit

Insignis malign tas ferritas dici potest

Heroica uirtus ꝓponitur ferri tati

Deū nō esse uir tuosum. Sed uir tute supiorem

Socratē

Insignem improbitatē, feritatem dici posse. Nota pro hispanis

Ex dubitationibus orta consideratio indagat ueritatem

.: f. μὴ

·/· f. ἢ



ὅτι οὐθεὶς εἰδὼς τὰ κακά, ὅτι κακά εἰσιν ἕλοιτ' ἄν. ὁ δὲ ἀκρα-
τὴς δοκεῖ εἰδὼς ὅτι φαῦλά εἰσιν, αἱρεῖσθαι. ὅμως ἀγόμενος
ὑπὸ τοῦ πάθους. διὰ δὴ τὸν τοιοῦτον λόγον οὐκ ᾤετο εἶναι ἀκρα-
σίαν. οὐ δὴ ὀρθῶς. ἄτοπον γὰρ τῷ λόγῳ τούτῳ πεισθέντας ἀναιρεῖν τὸ
πιθανῶς γινόμενον. ἀκρατεῖς γάρ εἰσιν ἄνθρωποι. καὶ αὐτοὶ εἰδότες
ὅτι φαῦλα, ὅμως ταῦτα πράττουσιν. ἐπεὶ δ' οὖν ἐστιν ἀκρασία,
πότερον ὁ ἀκρατὴς ἐπιστήμην τινὰ ἔχει, ᾗ θεωρεῖ καὶ ἐξετάζει τὰ
φαῦλα; ἀλλὰ πάλιν οὐκ ἂν δόξειεν. ἄτοπον γὰρ τὸ κράτιστον καὶ βε-
βαιότατον τῶν ἐν ἡμῖν, ἡττᾶσθαι ὑπό τινος. ἐπιστήμη γὰρ πάν-
των τῶν ἐν ἡμῖν, μονιμώτατόν ἐστι καὶ βιαστικώτατον. ὥστε
πάλιν ὁ λόγος οὗτος ἐναντιοῦται τῷ μὴ εἶναι ἐπιστήμην. ἀλλ' ἄρα
γε ἐπιστήμη μὲν οὔ. δόξα δέ. ἀλλ' εἰ δόξαν ἔχει ὁ ἀκρατής, οὐκ ἂν εἴη
ψεκτός. εἰ γὰρ φαῦλόν τι πράττει μὴ ἀκριβῶς εἰδὼς ἀλλὰ δοξά-
ζων, συγγνώμην ἄν τις ἀπονείμη προσθέσθαι τῇ ἡδονῇ καὶ πρᾶξαι
τὰ φαῦλα μὴ ἀκριβῶς εἰδότα ὅτι φαῦλά εἰσιν, ἀλλὰ δοξάζοντα.
οἷς δέ γε συγγνώμην ἔχομεν, τούτους οὐ ψέγομεν. ὥστε ὁ ἀκρατὴς
εἴπερ δόξαν ἔχει, οὐκ ἔσται ψεκτός. ἀλλ' ἔστι ψεκτός. οἱ δὴ τοιοῦτοι
λόγοι ἀπορεῖν ποιοῦσιν. οἱ μὲν γάρ, οὐκ ἔφασαν εἶναι ἐπιστήμην. ἄτοπον
τι γὰρ συμβαίνει. οἱ δὲ πάλιν, οὐδὲ δόξαν. καὶ γὰρ οὗτοι ἄτοπον
τι πάλιν ἐροῦσι συμβαίνειν. ἀλλὰ δὴ καὶ τοῦτ' ἄν τις ἀπορήσειεν.
ἐπεὶ γὰρ δοκεῖ ὁ σώφρων καὶ ἐγκρατὴς εἶναι. πότερον τῷ σώφρονι τί
ποιήσει σφοδρὰς ἐπιθυμίας. εἰ μὲν οὖν ἔσται ἐγκρατής, σφοδρὰς
δεήσει ἔχειν αὐτὸν ἐπιθυμίας. οὐ γὰρ ἂν εἴποις ἐγκρατῆ, ὅστις με-
τρίων ἐπιθυμιῶν κρατεῖ, εἰ δέ γε σφοδρὰς μὴ ἕξει ἐπιθυμίας, οὐκ
ἔτι ἔσται σώφρων. οὐ γὰρ σώφρων ἔσται ὁ μὴ ἐπιθυμῶν μηδὲ πάσχων
οὐθέν. ἔχει δὲ καὶ τὰ τοιαῦτα πάλιν ἀπορίαν. συμβαίνει γὰρ ἐκ τῶν
λόγων καὶ τὸν ἀκρατῆ ποτὲ ἐπαινετὸν εἶναι. καὶ τὸν ἐγκρατῆ
ψεκτόν. ἔστω γάρ τις φησὶ διημαρτηκὼς τῷ λογισμῷ. καὶ δοκεί-
τω αὐτῷ λογιζομένῳ τὰ καλὰ εἶναι φαῦλα. ἡ δὲ ἐπιθυμία
ἀγέτω ἐπὶ τὰ καλά. οὐκοῦν ὁ μὲν λόγος οὐκ ἐάσει πράττειν. ὑπὸ δὲ

τῆς

*Scientiam eorum quae in nobis sunt potentissimum firmissimumque esse*

*Quibus ueniam damus, hos non uituperamus*

*Temperatum uideri etiam continentem esse*

*Non posse dici continentem qui mediocribus cupiditatibus affectus eas domat*



τῆς ἐπιθυμίας ἀγόμενος πράξει. τοιοῦτος γὰρ ἦν ὁ ἀκρατής.
πράξει ἄρα τὰ καλά. ἡ γὰρ ἐπιθυμία ἐπὶ ταῦτα ἀγέτω. ὁ δὲ λό-
γος κωλύσει. διημαρτημένος γὰρ τῷ λογισμῷ τῶν καλῶν. οὐκοῦν
οὗτος ἀκρατὴς μὲν ἔσται. ἐπαινετὸς μέντοι. ᾗ γὰρ πράττει τὰ καλὰ
ἐπαινετός. ἄτοπον δὴ τὸ συμβαῖνον. πάλιν δ' αὖ διημαρτηκέ-
τω τῷ λόγῳ. καὶ τὰ καλὰ αὐτῷ μὴ δοκείτω καλὰ εἶναι. ἡ δὲ ἐ-
πιθυμία ἀγέτω ἐπὶ τὰ καλά. ἐγκρατὴς μέντοι ἦν ὁ ἐπιθυμῶν
μέν, μὴ πράττων δὲ ταῦτα διὰ τὸν λόγον. οὐκοῦν ὁ διημαρτηκὼς τῷ
λόγῳ τῶν καλῶν κωλύσει ὧν ἐπιθυμεῖ πράττειν, κωλύει ἄρα τὰ
καλὰ πράττειν. ἐπὶ ταῦτα γὰρ ἡ ἐπιθυμία ἦγεν. ὁ δέ γε τὰ κα-
λὰ μὴ πράττων δέον πράττειν, ψεκτός. ὁ ἄρα ἐγκρατὴς ἔσται ποτὲ
ψεκτός. ἄτοπον δὴ καὶ οὕτω τὸ συμβαῖνον. πότερον δὴ ἀκρασία
καὶ ὁ ἀκρατὴς ἐν ἅπασιν ἔσται καὶ περὶ πάντα. οἷον περὶ χρήματα
καὶ τιμὴν καὶ ὀργὴν καὶ δόξαν. περὶ γὰρ ταῦτα πάντα δοκοῦσιν
ἀκρατεῖς εἶναι ἢ οὔ. ἀλλὰ περί τι ἀφωρισμένον ἐστὶν ἡ ἀκρα-
σία, ἀπορήσειεν ἄν τις. τὰ μὲν οὖν τὴν ἀπορίαν παρέχοντα.
ταῦτ' ἐστίν. ἀναγκαῖον δὲ λῦσαι τὰς ἀπορίας. πρῶτον μὲν οὖν τὴν
ἐπὶ τῆς ἐπιστήμης. ἄτοπον γὰρ ἐδόκει εἶναι ἐπιστήμην ἔχοντα ταύ-
την ἀποβαλεῖν ἢ μεταπίπτειν. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῆς δό-
ξης. οὐθὲν γὰρ διαφέρει δόξαν εἶναι ἢ ἐπιστήμην. εἰ γὰρ ἔσται ἡ δόξα
σφοδρὰ τῷ βέβαιον εἶναι καὶ ἀμετάπειστον, οὐθὲν διοίσει τῆς ἐπι-
στήμης, δόξης ἐχούσης τὸ πιστεύειν οὕτως ἔχειν ὡς δοξάζουσιν. οἷον
Ἡράκλειτος ὁ ἐφέσιος τοιαύτην ἔχει δόξαν. ὑπὲρ ὧν αὐτῷ ἐδό-
κει. οὐθὲν δὴ ἄτοπον τῷ ἀκρατεῖ, οὔτ' εἰ ἐπιστήμην ἔχει οὔτ' εἰ δόξαν
οἵαν λέγομεν, πράττειν τι φαῦλον. ἔστι γὰρ ἐπίστασθαι διττόν. ὧν
τὸ μέν ἐστι τὴν ἐπιστήμην ἔχειν. ἐπίστασθαι γὰρ φαμὲν τότε ὅ-
ταν τις ἐπιστήμην ἔχῃ, τὸ δ' ἕτερον, τὸ ἐνεργεῖν ἤδη τῇ ἐπιστή-
μῃ. ἀκρατὴς οὖν ἐστιν ὁ ἔχων τὴν ἐπιστήμην τῶν καλῶν. οὐκ ἐνερ-
γῶν δὲ αὐτῇ. ὅταν οὖν μὴ ἐνεργῇ τῇ ἐπιστήμῃ ταύτῃ. οὐδὲν ἄτο-
πόν ἐστιν αὐτὸν πράττειν τὰ φαῦλα ἔχοντα τὴν ἐπιστήμην.

*Continens q*

*In quibus posita sit incontinentia*

*Opinio uehementer nihil distat a scientia*

*Heraclitus*

*Scire est duplex*



*f. εἶχε uel ἔσχε habuit interpres*

*Opiniones heracliti adeo firmae & stabiles ut loco scientiae apud illum essent ·/·*

ὅμοιον γάρ ἐστιν ὥσπερ ἐπὶ τῶν καθευδόντων. οὗτοι γὰρ ἔχοντες τὴν ἐπιστήμην, ὅμως ἐν τῷ ὕπνῳ πολλὰ δυσχερῆ καὶ πράττουσι καὶ πάσχουσιν. οὐ γὰρ ἐνεργεῖ ἐν αὐτοῖς ἡ ἐπιστήμη. ὡσαύτως δὲ ἐπὶ τοῦ ἀκρατοῦς. ὥσπερ γὰρ καθεύδοντι ἔοικε, καὶ τῇ ἐπιστήμῃ οὐκ ἐνεργεῖ. λύεται δὴ ἀπορία οὕτως. ἠπορεῖτο γὰρ πότερον ὁ ἀκρατὴς ἐκβάλλει ποτὲ τὴν ἐπιστήμην, ἢ μεταπίπτει. ἄτοπον γὰρ ἀμφότερα δοκεῖ εἶναι. ἀλλὰ πάλιν ἐντεῦθεν ἂν γένοιτο φανερὸν ὥσπερ ἔφαμεν ἐν τοῖς ἀναλυτικοῖς, ἐκ δύο προτάσεων γίνεσθαι τὸν συλλογισμόν. καὶ τούτων εἶναι τὴν μὲν πρώτην καθόλου, τὴν δὲ δευτέραν ὑπὸ ταύτην καὶ ἐπὶ μέρους. οἷον ἐπίσταμαι πάντα τὸν πυρέττοντα ὑγιῆ ποιῆσαι, οὗτος δὲ πυρέττει, ἐπίσταμαι ἄρα καὶ τοῦτον ὑγιῆ ποιῆσαι. ἔστιν οὖν ὃ τῇ μὲν καθόλου ἐπιστήμῃ ἐπίσταμαι, τῇ δὲ ἐπὶ μέρους οὔ. γίνεται οὖν ἁμαρτία τῷ τὴν ἐπιστήμην ἔχοντι καὶ ἐνταῦθ'. οἷον ἅπαντα μὲν τὸν πυρέττοντα ὑγιῆ ποιῆσαι. εἰ μέντοι οὗτος πυρέττει, οὐκ οἶδα. ὡσαύτως τοίνυν ἐπὶ τοῦ ἀκρατοῦς τοῦ τὴν ἐπιστήμην ἔχοντος ἡ αὐτὴ ἁμαρτία συμβήσεται. ἐνδέχεται γὰρ τὸν ἀκρατῆ, τὴν μὲν καθόλου ἐπιστήμην ἔχειν, ὅτι τὰ τοιαῦτα φαῦλα καὶ βλαβερά, μὴ μέντοι γε ὅτι ἐστὶ ταῦτα φαῦλα, ἐπὶ μέρους εἰδέναι. ὥστε οὕτως ἔχων τὴν ἐπιστήμην ἁμαρτήσεται. ἔχει γὰρ τὴν καθόλου. τὴν δ' ἐπὶ μέρους, οὔ. οὐδὲν οὖν ἄτοπον οὐδ' οὕτω συμβήσεται ἐπὶ τοῦ ἀκρατοῦς, τὸ ἔχοντα τὴν ἐπιστήμην φαῦλόν τι πράττειν. ἔστι γὰρ ὥσπερ ἐπὶ τῶν μεθυόντων. οἱ γὰρ μεθύοντες, ὅταν αὐτῶν ἡ μέθη ἀπαλλαγῇ, πάλιν οἱ αὐτοί εἰσιν. οὐκ ἐξέπεσε δ' αὐτῶν ὁ λόγος, οὐδ' ἡ ἐπιστήμη, ἀλλ' ἐκρατήθη ὑπὸ τῆς μέθης. ἀπαλλαγέντες δὲ τῆς μέθης, πάλιν οἱ αὐτοί εἰσιν. οὐκ ἐξέπεσε δ' αὐτῶν ὁ λόγος, οὐδ' ἡ ἐπιστήμη. ὁμοίως ἔχει ὁ ἀκρατὴς πάλιν. ἐπικρατῆσαν γὰρ τὸ πάθος, ἠρεμεῖν ἐποίησε τὸν λογισμόν. ὅταν δ' ἀπαλλαγῇ τὸ πάθος ὥσπερ ἡ μέθη, πάλιν ὁ αὐτός ἐστιν. ἦν δὲ καὶ ἄλλος τις λόγος ἐπὶ τῆς ἀκρασίας, ὃς παρεῖχεν ἀπορίαν, ὡς ἐπαινετοῦ ποτε τοῦ ἀκρατοῦς ἐσομένου, καὶ ψεκτοῦ τοῦ ἐγκρατοῦς. οὐ συμβαίνει δὲ τοῦτο. οὐ γάρ ἐστιν οὔτ' ἐγκρα-

τὴς

Analyticorũ mẽtio

Incontinens tenet generalia. errat autem circa particularia

Incontinentes cõparantur ebriis



τὴς οὔτ' ἀκρατὴς ὁ τῷ λόγῳ διαψευσάμενος. ἀλλ' ὁ λόγον ἔχων ὀρθὸν καὶ τούτῳ τὰ φαῦλα ὁρῶν τὰ ἐκείνων καὶ τὰ καλά. καὶ ἀκρατὴς μὲν, ὁ τοιούτῳ λόγῳ ἀπειθῶν. ἐγκρατὴς δὲ, ὁ πειθόμενος καὶ μὴ ὑπὸ τῶν ἐπιθυμιῶν ἀγόμενος. οὐδὲ γὰρ ᾧτινι οὐ δοκεῖ πράττειν αἰσχρὸν εἶναι, ἐπιθυμοῦντι δὲ πράττειν, ὁ τοιοῦτος ἀπεχόμενος ἐγκρατής ἐστιν. ὥστε εἰ μή ἐστιν ἐπὶ τῶν τοιούτων μήτε ἐγκράτεια, μήτε ἀκρασία, οὐδὲν ἐπαινετὴ εἴη ἡ ἀκρασία. οὐδὲ ψεκτὴ ἡ ἐγκράτεια ὥσπερ ἐδόκει. εἰσὶ δὲ τῶν ἀκρασιῶν αἱ μὲν, νοσηματικαί. αἱ δὲ φύσει. οἷον νοσηματικαὶ μὲν, αἱ τοιαῦται. εἰσὶ γάρ τινες οἳ τίλλοντες τρίχας διατρώγουσιν. εἰ οὖν τις ταύτης τῆς ἡδονῆς κρατεῖ, οὐκ ἔστιν ἐπαινετός. οὐδὲ ψεκτὸς ὁ μὴ κρατῶν ἢ οὐ σφόδρα. φύσει δὲ, οἷον υἱόν ποτέ φασι κρινόμενον ἐν δικαστηρίῳ ὅτι τὸν πατέρα τύπτοι, ἀπολογεῖσθαι λέγοντα ὅτι καὶ γὰρ οὗτος τὸν ἑαυτοῦ πατέρα, καὶ ἀποφυγεῖν. δοκεῖ γὰρ τοῖς δικασταῖς φυσικὴν εἶναι τὴν ἁμαρτίαν. εἰ δή τις τοῦ πατέρα τύπτειν ἐκράτει, οὐκ ἐπαινετός. οὐ δὴ τῶν τοιούτων ζητοῦμεν νῦν ἀκρασιῶν. οὐδ' ἐγκρατειῶν, ἀλλὰ καθ' ἃς ψεκτοὶ ἁπλῶς καὶ ἐπαινετοὶ λεγόμεθα. ἔστι δὲ τῶν ἀγαθῶν τὰ μὲν, ἐκτὸς, οἷον, πλοῦτος. ἀρχή. τιμή. φίλοι. δόξα. τὰ δὲ ἀναγκαῖα, καὶ περὶ σῶμά ἐστιν. οἷον ἁφή τε καὶ γεῦσις. ὁ οὖν περὶ ταῦτα ἀκρατὴς, οὗτος ἁπλῶς ἂν καὶ ἀκρατὴς δόξειεν εἶναι. καὶ οἷον σωματικαί. καὶ ἣν ζητοῦμεν ἀκρασίαν ἤδη περὶ ταῦτα δόξειεν εἶναι. ἠπορεῖτο δὲ πάλιν τίνι ποτέ ἐστιν ἡ ἀκρασία. περὶ μὲν οὖν τιμὴν, οὐκ ἔστιν ἁπλῶς ἀκρατής. ἐπαινεῖται γάρ πως ὁ περὶ τιμὴν ἀκρατής. φιλότιμος γάρ τις. τὸ δ' ὅλον λέγομεν καὶ ἐπὶ τῶν τοιούτων τὸν ἀκρατῆ. προστιθέντες περὶ τιμὴν ἀκρατὴς, ἢ δόξαν ἢ ὀργήν. ἀλλὰ τῷ ἁπλῶς ἀκρατεῖ οὐ προστίθεμεν περὶ ἃ, ὑπάρχοντος αὐτῷ καὶ φανεροῦ ὄντος ἄνευ τῆς προθέσεως περὶ ἅ ἐστιν, ἔστι γὰρ περὶ ἡδονὰς καὶ λύπας τὰς σωματικὰς, ὁ ἁπλῶς ἀκρατής. δῆλον δὲ καὶ ἐντεῦθεν, ὅτι περὶ ταῦτα ἡ ἀκρασία. ἐπεὶ γὰρ ψεκτὸς ὁ ἀκρατὴς, ψεκτὰ εἶναι τὰ ὑποκείμενα. τιμὴ μὲν οὖν καὶ δόξα καὶ ἀρχὴ, καὶ χρήματα, καὶ περὶ ὅσα ἄλ-

Incõtinentiæ aliæ ualitudinariæ, aliæ naturales

Qui fit uer' incõtinens

Circa quæ fit incontinentia

Circa honoris cupiditatẽ incontinẽtia laudatur. i. Φιλοτιμία



ἢ περὶ uidetur deesse. ex sentᵃ ipsa & interprete

Φιλοτιμία

*:: rf. ὅω* — *i. Mallem legere ψεκτή ut ex sequentibus apparet*



λα ἀκρατεῖς λέγονται οὐκ εἰσὶ ψεκταί· αἱ δὲ δυνάμεις αἱ σωματι-
καὶ ψεκταί. διὸ εἰκότως ὁ περὶ ταύτας ὢν μᾶλλον τοῦ δέοντος,
οὗτος ἀκρατὴς τελέως λέγεται. ἐπεὶ δὴ δέ ἐστι τῶν περὶ τὰ ἄλλα
ἀκρασιῶν λεγομένων, ἡ περὶ τὴν ὀργὴν οὖσα ἀκρασία ψεκτοτάτη,
πότερον ψεκτοτάτη ἐστὶν ἡ περὶ τὴν ὀργὴν, ἢ ἡ περὶ τὰς ἡδονάς.
ἔστι μὲν οὖν ἡ περὶ τὴν ὀργὴν ἀκρασία, ὁμοία τῶν παίδων τοῖς πρὸς
τὸ διακονεῖν προθύμως ἔχουσι. καὶ γὰρ οὗτοι ὅταν εἴπῃ ὁ δεσπότης
δός μοι, τῇ προθυμίᾳ ἐξενεχθέντες, πρὸ τοῦ ἀκοῦσαι ὃ δεῖ δοῦναι,
ἔδωκαν καὶ ἐν τῇ δόσει διήμαρτον. πολλάκις γὰρ δέον βιβλίον δοῦναι,
γραφεῖον ἔδωκαν. ὅμοιον δὴ πέπονθε τούτῳ, ὁ τῆς ὀργῆς ἀκρατής.
ὅταν γὰρ ἀκούσῃ τὸ πρῶτον ῥῆμα ὅτι ἠδίκησεν, ὥρμησεν ὁ θυμὸς
πρὸς τὸ τιμωρήσασθαι. οὐκέτι ἀναμείνας ἀκοῦσαι, πότερον δεῖ, ἢ
οὐ δεῖ, ἢ ὅτι μὴ οὕτω σφόδρα. ἡ μὲν οὖν τοιαύτη ὁρμὴ πρὸς ὀρ-
γήν, ἣ δοκεῖ ἀκρασία εἶναι ὀργῆς, οὐ λίαν ἐπιτιμητέα ἐστίν. ἡ δὲ
πρὸς τὴν ἡδονὴν ὁρμή, ψεκτή γε. ἔστι γὰρ διαφορὰ ἔχουσα πρὸς
ταύτην, διὰ τὸν λόγον ὃς ἀποτρέπει τοῦ μὴ πράττειν. ἀλλ' ὅμως πράτ-
τει διὰ τὸν λόγον. διὸ ψεκτή ἐστι μᾶλλον τῆς δι' ὀργὴν ἀκρασίας.
ἡ μὲν γὰρ δι' ὀργὴν ἀκρασία, λύπη ἐστίν. οὐδεὶς γὰρ ὀργιζόμενος οὐ λυπεῖ-
ται. ἡ δὲ δι' ἐπιθυμίαν, μεθ' ἡδονῆς. διὸ μᾶλλον ψεκτή. ἡ γὰρ δι' ἡδονὴν
ἀκρασία μεθ' ὕβρεως δοκεῖ εἶναι. πότερον δὲ καὶ ἡ ἐγκράτεια καὶ ἡ
καρτερία ταὐτόν ἐστιν, ἢ οὔ. ἡ μὲν γὰρ ἐγκράτεια, ἐστὶ περὶ ἡδονάς.
καὶ ὁ ἐγκρατής, ὁ κρατῶν τῶν ἡδονῶν. ἡ δὲ καρτερία περὶ λύπας. ὁ γὰρ
καρτερῶν καὶ ὑπομένων τὰς λύπας, οὗτος καρτερικός ἐστι. πάλιν ἡ ἀ-
κρασία καὶ ἡ μαλακία, οὐκ ἔστι ταὐτόν. ἡ μὲν γὰρ μαλακία, καὶ ὁ μα-
λακός, ὁ μὴ ὑπομένων πόνους. οὐχ ἅπαντας δέ, ἀλλ' οὓς ἀναγκαίως ἂν
ἄλλος τις ὑπομείνειεν. ὁ δ' ἀκρατὴς, ὁ μὴ δυνάμενος ὑπομένειν ἡδονήν,
ἀλλὰ καταμαλακιζόμενος καὶ ὑπὸ τούτων ἀγόμενος. ἔστιν δὲ
πάλιν τις καλούμενος ἀκόλαστος. πότερον οὖν ὁ ἀκόλαστος ἀκρα-
τής, καὶ ὁ ἀκρατὴς ὁ αὐτός, ἢ οὔ; ὁ μὲν γὰρ ἀκόλαστος τοιοῦτός τις, οἷος
οἴεσθαι ἃ πράττει, ταῦτα καὶ βέλτιστα εἶναι αὐτῷ καὶ συμφερώ-

ταῦτα

*Margin: In sit incontinentia turpissima iræ incontinentia. — Pulcherrima iræ comparatio — Incontinentia p[ro] uoluptates no[n] uidet[ur] esse sine iniuria — καρτερία constãtia circa λύπας .i. ægritudines — μαλακία. mollities q[ui]d & circa quæ — ἀκόλαστος intemperans quis & circa quæ — Intemperans, Incontinens — Da.*



τατα. καὶ λόγον οὐδένα ἔχειν ἐναντιούμενον τοῖς αὐτῷ φαινο-
μένοις ἡδέσιν. ὁ δὲ ἀκρατὴς λόγον ἔχει ὃς ἐναντιοῦται αὐτῷ, ἐφ' ἃ
ἡ ἐπιθυμία ἄγει. πότερον δὲ ἰατότερος ὁ ἀκόλαστος, ἢ ὁ ἀκρατής.
οὕτω μὲν οὖν οὐ δόξειεν ἂν ὁ ἀκρατής. ὁ γὰρ ἀκόλαστος ἰατότερος.
εἰ γὰρ αὐτῷ λόγος ἐγγένοιτο ὁ διδάξων ὅτι φαῦλα, οὐκέτι πρά-
ξει. τῷ δὲ γε ἀκρατεῖ ὑπάρχει ὁ λόγος, καὶ ὅμως πράττει. ὥστε
ἂν ὁ τοιοῦτος δόξειεν ἀνίατος εἶναι. ἀλλὰ πότερον διάκειται χεῖρον,
ᾧ μηδὲν ἀγαθόν τι ὑπάρχει, ἢ τῷ καὶ ταῦτα. ἢ δῆλον ὅτι ἐκεῖνος.
καὶ ὅσῳ γε ὅ,τι τιμιώτερον κακῶς διάκειται. ἔστι γοῦν ὁ μὲν ἀκρατής,
ἀγαθὸν ἔχων τὸν λόγον, ὀρθὸν ὄντα. ὁ δὲ ἀκόλαστος οὐκ ἔχει. ὅτι
ἐστὶν ὁ λόγος ἑκάστου ἀρχή. τοῦ μὲν οὖν ἀκρατοῦς ἡ ἀρχὴ τιμιωτά-
τη οὖσα, εὖ διάκειται. τοῦ δὲ ἀκολάστου, κακῶς. ὥστε χείρων ἂν εἴη ὁ
ἀκόλαστος τοῦ ἀκρατοῦς. ἔτι ὥσπερ καὶ ἐπὶ τῆς θηριότητος ἧς
ἐλέγομεν κακίας, οὐκ ἔστιν ἰδεῖν ἐν θηρίῳ οὖσαν, ἀλλ' ἐν ἀνθρώπῳ. ἡ γὰρ
θηριότης, ὄνομά ἐστιν τῇ ὑπερβαλλούσῃ κακίᾳ. διὰ τί δ' οὐδέν.
ἢ ὅτι ἡ ἀρχὴ φαύλη ἐν θηρίῳ οὐκ ἔστιν. ἔστι δὲ ἡ ἀρχή, ὁ λόγος. ἐπεὶ
πότερον ἂν πλείω κακὰ ποιήσειε λέων, ἢ Διονύσιος, ἢ Φάλαρις, ἢ
Κλέαρχος ἤ τις τούτων τῶν μοχθηρῶν. ἢ δῆλον ὅτι οὗτοι. ἡ γὰρ ἀρχὴ
ἐνοῦσα φαύλη, μεγάλα συμβάλλεται, ἐν δὲ θηρίῳ ὅλως οὐκ ἔστιν ἀρχή.
ἐν μὲν οὖν τῷ ἀκολάστῳ, ἔνεστιν ἀρχὴ φαύλη. ᾗ γὰρ πράττει φαῦ-
λα ὄντα, καὶ ὁ λόγος σύμφησι ταῦτα, καὶ δοκεῖ αὐτῷ ταῦτα δεῖν
πράττειν, φαῦλος. ἐν αὐτῷ δὴ ἀρχὴ ἔνεστιν οὐχ ὑγιής. διὸ βελτίων
ἂν δόξειεν εἶναι ὁ ἀκρατὴς τοῦ ἀκολάστου. ἔστι δὲ καὶ τῆς ἀκρα-
σίας δύο εἴδη. ἡ μέν, προπετική τις καὶ ἀπρονόητος καὶ ἐξαί-
φνης γινομένη. οἷον, ὅταν ἴδωμεν καλὴν γυναῖκα, εὐθέως τι
ἐπάθομεν, καὶ ἀπὸ τοῦ πάθους ὁρμὴ ἐγένετο πρὸς τὸ πρᾶξαί τι ὧν
ἴσως οὐ δεῖ. ἡ δ' ἑτέρα, οἷον ἀσθενική τις ἡ μετὰ λόγου οὖσα ἀπο-
τρέποντος. ἐκείνη μὲν οὖν, οὐδὲν λίαν δόξειεν εἶναι ψεκτή. καὶ γὰρ
ἐν τοῖς σπουδαίοις ἡ τοιαύτη γίνεται, ἐν τοῖς θερμοῖς καὶ εὐφυέσιν. ἡ
δέ, ἐν τοῖς ψυχροῖς καὶ μελαγχολικοῖς. οἱ δὲ τοιοῦτοι ψεκτοί. ἔτι



*Margin: Intemperans sanari propingor q[ua]m incontinens &c — Peius se h[abe]t intemperans q[ua]m incotinens — Ἔστιν ἡ ἀρχὴ ὁ λόγος — Dionysius, Phalaris, Clearch? — Incontinentiæ duo genera — Primi conatus no[n] sunt admodu[m] uituperãdi — ἀκρατεῖς rf.*

τί ἐστι τῷ λόγῳ προσλαβόντα, μηθὲν παθεῖν. οἱ δὲ ὅτι ἐξαίφνης ἀπροσόπτως, δεῖ οὖν κατέχειν αὐτόν. τῷ δὴ τοιούτῳ λόγῳ προκαταλαβὼν ὁ ἐκ τῆς προσφάτου φαντασίας ἀκρατής, οὐδὲ πείσεται οὐδὲ πράξει οὐδὲν αἰσχρόν. ὁ δὲ τῷ λόγῳ μὲν εἰδὼς, ὅτι οὐ δεῖ, πρὸς δὲ τὴν ἡδονὴν ἐνδιδοὺς καὶ καταμαλακιζόμενος, ὁ τοιοῦτος ψεκτότερος. οὔτε γὰρ ὁ σπουδαῖος οὐδέποτε οὕτω γένοιτ᾽ ἂν ἀκρατής. ὅ, τε λόγος προκαταλαβών, οὐκ ἂν εἴσαι τὸ ἡγεμὼν γὰρ οὗτος ἐν αὐτῷ ὑπάρχει, ᾧ οὗτε πειθαρχεῖ, ἀλλὰ τῇ ἡδονῇ ἐνδίδωσι καὶ καταμαλακίζεται καὶ ἐξασθενεῖ πως.

*In temperans sit continens?*

Πότερον δ᾽ ὁ σώφρων ἐγκρατής ἐστιν, ἠπορήθη μὲν ἐν τοῖς ἐπάνω, νῦν δὲ λεγέσθω. ἔστι γὰρ ὁ σώφρων καὶ ἐγκρατής. ὁ γὰρ ἐγκρατής ἐστιν οὐ μόνον ὁ ἐπιθυμιῶν ἐνουσῶν ταύτας κατέχων διὰ τὸν λόγον, ἀλλὰ καὶ ὁ τοιοῦτος ὤν, οἷος καὶ μὴ ἐνουσῶν ἐπιθυμιῶν τοιοῦτος εἶναι οἷος εἰ ἐγγένοιντο κατέχειν.

*Continens q.*

*Temperans q.*

ἔστι δὲ σώφρων, ὁ μὴ ἔχων ἐπιθυμίας φαύλας, τόν τε λόγον ὀρθὸν τὸν περὶ ταῦτα. ὁ δ᾽ ἐγκρατὴς ὁ ἐπιθυμίας ἔχων φαύλας, τόν τε λόγον τὸν περὶ ταῦτα ὀρθόν. ὥστ᾽ ἀκολουθήσει τῷ σώφρονι ὁ ἐγκρατὴς καὶ ἔσται σώφρων. ὁ μὲν γὰρ σώφρων, ὁ μὴ πάσχων. ὁ δ᾽ ἐγκρατής, ὁ πάσχων καὶ τούτου κρατῶν, ἢ οἷός τε πάσχειν. οὐδέτερον δὲ τούτων τῷ σώφρονι ὑπάρχει. διὸ οὐκ ἔστιν ὁ ἐγκρατὴς σώφρων.

*An intemperans sit incontinens aut contra*

Πότερον οὖν δὲ ὁ ἀκόλαστος ἀκρατής ἐστιν, ἢ ὁ ἀκρατὴς ἀκόλαστος, ἢ οὐδέτερον ἑτέρῳ ἕτερος ἀκολουθεῖ; ὁ μὲν γὰρ ἀκρατής ἐστιν οὗ ὁ λόγος τοῖς πάθεσι μάχεται. ὁ δ᾽ ἀκόλαστος, οὐ τοιοῦτος, ἀλλ᾽ ὁ πράττων τὰ φαῦλα, ἅμα τὸν λόγον σύμψηφον ἔχων. οὐδὲ δὴ ὁ ἀκόλαστος οἷος ἀκρατής, οὐδ᾽ ὁ ἀκρατὴς οἷος ὁ ἀκόλαστος.

*Peiorē incontinente esse intemperantem*

ἔτι δὲ φαυλότερος ὁ ἀκόλαστος τοῦ ἀκρατοῦς. δυσιατότερα γὰρ τὰ φυσικὰ τῶν ἐξ ἔθους γινομένων. καὶ γὰρ τὸ ἔθος διὰ τοῦτο δοκεῖ ἰσχυρὸν εἶναι, ὅτι εἰς φύσιν καθίστησιν.

*Naturalia uitia peiora esse q̄m more & cōsuetudine cōtracta*

ὁ μὲν οὖν ἀκόλαστος αὐτὸς τοιοῦτός ἐστιν οἷος φαῦλός τις τῇ φύσει εἶναι. διὰ τοῦτο καὶ ἀπ᾽ αὐτοῦ ὁ λόγος φαῦλος ἐν αὐτῷ ἐστιν. ἀλλ᾽ ὁ ἀκρατὴς οὐχ οὕτως. οὐ γὰρ ὅτι αὐτὸς τοιοῦτός ἐστιν, ὁ λόγος ὁ σπουδαῖος. φαῦλον γὰρ αὐτὸν ἔδει εἶναι,



εἰ αὐτὸς τῇ φύσει τοιοῦτος ἦν, οἷος ὁ φαῦλος. ὁ μὲν οὖν ἄρα ἀκρατὴς ἔθει ἔοικε φαῦλος εἶναι. ὁ δὲ ἀκόλαστος φύσει. δυσιατότερος οὖν ὁ ἀκόλαστος. τὸ μὲν γὰρ ἔθος ἄλλῳ ἔθει ἐκκρούεται, ἡ δὲ φύσις οὐδενὶ ἐκκρούεται.

*Mos more truditur natura nulla re truditur.*

Πότερον οὖν δ᾽ ἐπεὶ πάρεστιν ὁ ἀκρατὴς τοιοῦτός τις οἷος εἰδέναι καὶ μὴ διεψεῦσθαι τῷ λόγῳ, ἔστι δὲ καὶ ὁ φρόνιμος τοιοῦτος, ὁ τῷ λόγῳ τῷ ὀρθῷ ἕκαστα θεωρῶν, πότερον οὖν ἐνδέχεται τὸν φρόνιμον ἀκρατῆ εἶναι, ἢ οὔ; ἀπορήσειε γὰρ ἄν τις τὰ εἰρημένα. ἐὰν δὲ παρακολουθήσωμεν τοῖς ἔμπροσθεν εἰρημένοις, οὐκ ἔσται ὁ φρόνιμος ἀκρατής. ἔφαμεν γὰρ τὸν φρόνιμον εἶναι, οὐχ ᾧ ὁ ὀρθὸς λόγος μόνον ὑπάρχει, ἀλλ᾽ ᾧ καὶ τὸ πράττειν τὰ κατὰ λόγον φαινόμενα βέλτιστα. εἰ δὲ πράττει τὰ βέλτιστα ὁ φρόνιμος, οὐδ᾽ ἂν ἀκρατὴς εἴη ὁ φρόνιμος. ἀλλ᾽ ὁ τοιοῦτος δεινὸς μέν ἐστι. διῃρήμεθα γὰρ ἐν τοῖς ἐπάνω τόν τε δεινὸν καὶ τὸν φρόνιμον ὡς ἑτέρων ὄντων. περὶ μὲν γὰρ ταὐτά, ἀλλ᾽ ὁ μὲν πρακτικὸς περὶ ἃ δεῖ, ὁ δ᾽ οὐ πρακτικός. τὸν οὖν δεινὸν ἀκρατῆ ἐνδέχεται εἶναι. οὐ γὰρ πρακτικὸς περὶ ἃ καὶ δεινός. τὸν φρόνιμον δ᾽ οὐκ ἐνδέχεται ἀκρατῆ εἶναι.

*An prudens possit esse incontinens*

*δεινός → D*

*φρόνιμος*

*De Voluptate*

Μετὰ δὲ ταῦτα λεκτέον ἂν εἴη περὶ ἡδονῆς, ἐπειδήπερ ὑπὲρ εὐδαιμονίας ἐστὶν ὁ λόγος. τὴν δ᾽ εὐδαιμονίαν οἴονται πάντες ἤτοι ἡδονὴν εἶναι καὶ τὸ ἡδέως ζῆν, ἢ οὐκ ἄνευ γε ἡδονῆς. οἱ δὲ καὶ τῇ ἡδονῇ δυσχεραίνοντες καὶ οὐκ οἰόμενοι δεῖν τὴν ἡδονὴν ἐναριθμεῖσθαι τοῖς ἀγαθοῖς, ἀλλὰ τό γε ἄλυπον προστιθέασιν. ἐγγὺς οὖν τὸ ἀλύπως τῷ ἡδέως ἐστί. διόπερ λεκτέον ὑπὲρ ἡδονῆς. οὐ μόνον δὲ διότι καὶ οἱ ἄλλοι οἴονται δεῖν, ἀλλὰ δὴ ἀναγκαῖόν ἐστιν ἡμῖν λέγειν ὑπὲρ ἡδονῆς. ἐπειδὴ γὰρ ὑπὲρ εὐδαιμονίας ἡμῖν ἐστιν ὁ λόγος. τὴν δ᾽ εὐδαιμονίαν διωρισάμεθα, καί φαμεν εἶναι ἀρετῆς ἐνέργειαν ἐν βίῳ τελείῳ. ἡ δ᾽ ἀρετή ἐστι περὶ ἡδονὴν καὶ λύπην. ἐπειδήπερ οὐκ ἔστιν ἡ εὐδαιμονία ἄνευ ἡδονῆς.

*Felicitatis diff. ἀρετῆς ἐνέργεια ἐν βίῳ τελείῳ*

πρῶτον μὲν οὖν εἴπωμεν ἅτινες λέγουσί τινες οὐκ οἰόμενοι δεῖν τὴν ἡδονὴν ὡς ἐν ἀγαθοῦ μέρει λαμβάνειν. πρῶτον μὲν γάρ φασιν εἶναι τὴν ἡδονὴν γένεσιν. τὴν δὲ γένεσιν ἀτελές τι. τὸ δὲ ἀγαθὸν οὐδέποτε τὴν τοῦ ἀτελοῦς χώραν ἔχειν. δεύτερον

∴ ff. δδ

δι' ὅτι εἰσί τινες φαῦλαι ἡδοναί· τὸ δ' ἀγαθὸν οὐδέποτε ἐν φαυλότητι εἶναι. πάλιν οὖν ἐν ἅπασιν ἐγγίνεται. καὶ γὰρ ἐν τῷ φαύλῳ καὶ ἐν τῷ σπουδαίῳ καὶ ἐν θηρίῳ καὶ ἐν βοσκήματι. τὸ δ' ἀγαθὸν ἀμιγές ἐστι τοῖς φαύλοις καὶ οὐ πολύκοινον. καὶ ὅτι οὐκ ἄριστον ἡ ἡδονή· τὸ δ' ἀγαθὸν κράτιστον. καὶ ὅτι ἐμποδίζει τοῦ πράττειν τὰ καλά· τὸ δὲ κωλυτικὸν τῶν καλῶν, οὐκ ἂν εἴη ἀγαθόν.

*An uoluptas omnis sit generatio*

Πρῶτον μὲν οὖν πρὸς τὸ πρῶτον ἂν εἴη λεκτέον πρὸς τὴν γένεσιν, καὶ πειρατέον τὸν λόγον τοῦτον λύειν διὰ τὸ μὴ ἀληθῆ εἶναι. ἔστι γὰρ πρῶτον μὲν οὐ πᾶσα ἡδονὴ γένεσις. ἡ γὰρ ἀπὸ τοῦ θεωρεῖν ἡδονὴ γινομένη, οὐκ ἔστι γένεσις· οὐδ' ἡ διὰ τοῦ ἀκοῦσαι καὶ ὀσφρανθῆναι. οὐ γὰρ ἐξ ἐνδείας γινομένη ὥσπερ ἐπὶ τῶν ἄλλων· οἷον ἐκ τοῦ φαγεῖν ἢ πιεῖν· αὗται μὲν γὰρ ἐξ ἐνδείας καὶ ὑπερβολῆς γίνονται· τῷ ἢ τὴν ἔνδειαν ἀναπληροῦσθαι, ἢ τῆς ὑπερβολῆς ἀφαιρεῖσθαι. διὸ γένεσις δοκεῖ εἶναι. ἡ δ' ἔνδεια καὶ ὑπερβολὴ, λύπη. λύπη οὖν ἐνταῦθα ὅθεν ἡ τῆς ἡδονῆς γένεσις. ἐπὶ δέ γε τοῦ ἰδεῖν καὶ ἀκοῦσαι καὶ ὀσφρανθῆναι, οὐκ ἔστι προλυπηθῆναι· οὐδεὶς γὰρ ἡδόμενος τῷ ὁρᾶν ἢ τῷ ὀσφραίνεσθαι προελυπήθη. ὁμοίως δὲ καὶ ἐπὶ τῆς διανοίας· ἔστι θεωροῦντά τι ἥδεσθαι ἄνευ τοῦ προλυπηθῆναι. ὥστ' εἴη ἄν τις ἡδονή· ὡς λόγος ὁ αὐτῶν ἔφη διὰ τοῦτο οὐκ ἀγαθόν, ὅτι γένεσίς ἐστι δέ τις ἡδονή, ἣ οὐκ ἔστι γένεσις· αὕτη ἂν εἴη ἀγαθόν. τὸ δ' ὅλον οὐκ ἔστιν οὐδεμία ἡδονὴ γένεσις. οὐδὲ γὰρ αὗται αἱ ἀπὸ τοῦ φαγεῖν καὶ πιεῖν ἡδοναί, οὐκ εἰσὶ γενέσεις· ἀλλὰ διαμαρτάνουσιν οἱ ταύτας φάσκοντες εἶναι τὰς ἡδονὰς γενέσεις. οἴονται γὰρ, ἐπειδὴ τῆς προσφορᾶς γενομένης γίνεται ἡδονή, διὰ τοῦτο γένεσιν εἶναι. ἔστι δ' οὔ. ἐπειδὴ γάρ ἐστι τῆς ψυχῆς τι μέρος ᾧ ἡδόμεθα ἅμα τῇ προσφορᾷ ὡς ἐσμὲν ἐνδεεῖς, τοῦτο μόριον τῆς ψυχῆς ἐνεργεῖ καὶ κινεῖται. ἡ δὲ κίνησις αὐτοῦ καὶ ἡ ἐνέργεια ἐστὶν ἡδονή. διὰ τὸ δὴ ἅμα τῇ προσφορᾷ ἐκεῖνο τὸ μόριον τῆς ψυχῆς ἐνεργεῖν, ἢ διὰ τὴν αὐτοῦ ἐνέργειαν, οἴονται γένεσιν εἶναι τὴν ἡδονήν· τῷ τὴν προσφορὰν δήλην εἶναι· τὸ δὲ τῆς ψυχῆς μό-

*Aegritudo est, ubi est uoluptatis generatio*

*Quid sit uoluptas & quod sit in quadam animae parte*

ριον



ριον ἄδηλον. ὅμοιον οὖν εἴ τις τὸν ἄνθρωπον οἴεται εἶναι σῶμα, ὅτι τοῦτο μὲν ἐστὶν αἰσθητόν, ἡ δὲ ψυχὴ οὔ. ἔστι δέ γε καὶ ἡ ψυχή. ὁμοίως δὲ καὶ ἐπὶ τούτου. ἔστι γὰρ μόριον τι τῆς ψυχῆς ᾧ ἡδόμεθα, ὃ ἅμα τῇ προσφορᾷ ἐνεργεῖ. διὸ οὐκ ἔστιν οὐδεμία ἡδονὴ γένεσις. ἀλλὰ καὶ κατάστασις δέ φασιν εἰς φύσιν αἰσθητὴν ἡ ἡδονή. ἔστι γὰρ μὴ ἀποκαθισταμένοις εἰς φύσιν, ἔστιν ἡδονή. τὸ γὰρ ἀποκαθίστασθαί ἐστι, τὸ τοῦ ἐνδεοῦς τῇ φύσει, τούτου τὴν ἀναπλήρωσιν γίνεσθαι. ἔστι δὲ ὥς φαμεν μὴ ὄντα ἐνδεᾶ ἥδεσθαι. ἡ μὲν γὰρ ἔνδεια λύπη. αὐτὴν δὲ λύπης φαμὲν ἥδεσθαι. ὥστε οὐκ ἂν εἴη ἡ ἡδονὴ ἀποκατάστασις τοῦ ἐνδεοῦς. ἐνδεὲς γὰρ ἐπὶ τῶν τοιούτων ἡδονῶν οὐδέν. ὥστε εἰ διότι μὲν γένεσις, ἡ ἡδονὴ οὐκ ἀγαθὸν ἐδόκει εἶναι, οὐκ ἔστιν δὲ οὐδεμία ἡδονὴ γένεσις, ἀγαθὸν ἂν εἴη ἡ ἡδονή. ἀλλὰ μετὰ τοῦτο οὐ πᾶσά φησιν ἡ ἡδονὴ ἀγαθή. συνίδοι δ' ἄν τις καὶ ὑπὲρ τούτου οὕτως. ἐπεὶ γὰρ τἀγαθὸν φαμὲν ἐν πάσαις ταῖς κατηγορίαις λέγεσθαι, καὶ γὰρ ἐν οὐσίᾳ καὶ ἐν τῷ πρός τι, καὶ ποσῷ καὶ ποτὲ καὶ ὅλως ἐν ἁπάσαις. ἤδη γ' ἐκεῖνο φανερόν, κατὰ πᾶσαν γὰρ ἡδονήν τις ἀκολουθεῖ· ὥστε ἐπειδὴ τὸ ἀγαθὸν ἐν ἁπάσαις ταῖς κατηγορίαις καὶ ἡδονὴ ἂν εἴη ἀγαθόν. ὥστε ἐπειδὴ ἐν τούτοις μὲν τἀγαθὰ, καὶ ἡ ἡδονὴ ἡ δὲ ἀπὸ τῶν ἀγαθῶν ἡδονή, ἀγαθὸν ἂν εἴη πᾶσα ἡδονή. ἅμα δὲ δῆλον ἐκ τούτου, ὅτι καὶ διάφοροι τῷ εἴδει ἡδοναί εἰσι· διάφοροι γὰρ καὶ κατηγορίαι. ἐν αἷς ἐστὶν ἡδονή. οὐ γὰρ ὥσπερ ἐπὶ τῶν ἐπιστημῶν ἔχει· οἷον τῆς γραμματικῆς ἢ ἄλλης ἧς τινοσοῦν. ἐὰν ἔχῃ γὰρ Λάμπρος τὴν γραμματικήν, ὁμοίως διακείσεται ὑπὸ τῆς γραμματικῆς ταύτης ὁ γραμματικὸς ἄλλῳ ὁτῳοῦν ἔχοντι γραμματικήν. οὐ δύο εἰσὶ διάφοροι αἱ γραμματικαί, ἥ τε ἐν Λάμπρῳ καὶ ἐν Ἰλεῖ· ἀλλ' ἐπὶ τῆς ἡδονῆς οὐχ οὕτως. ἡ γὰρ ἀπὸ τῆς μέθης ἡδονή, καὶ ἡ ἀπὸ τοῦ συνίμεθαι, οὐχ ὁμοίως διατιθέασι. διὸ διάφοροι τῷ εἴδει δόξαιεν ἂν εἶναι αἱ ἡδοναί. ἀλλὰ δὴ καὶ διότι φαῦλαί εἰσιν ἡδοναί τινες, καὶ διὰ τοῦτο οὐκ ἐδόκει ἡδονὴ αὐτοῖς ἀγαθὸν εἶναι. τὸ δὴ τοιοῦτον καὶ ἡ τοιαύτη κρίσις, οὐκ ἴδιός ἐστιν ἡδονῆς, ἀλλὰ καὶ ἐπὶ φύσεως καὶ ἐπιστήμης· ἔστι γὰρ καὶ φύσις φαύλη, οἷον ἡ τῶν σκωλήκων

καὶ ἡ τῶν κανθάρων, καὶ ὅλως ἡ τῶν ἀτίμων ζῴων. ἀλλ' οὐ διὰ τοῦτο ἡ φύσις τῶν φαύλων. ὁμοίως δ' εἰσὶ καὶ ἐπιστῆμαι φαῦλαι, οἷον αἱ βάναυσοι, ἀλλ' ὅμως οὐ διὰ τοῦτο φαῦλον ἡ ἐπιστήμη, ἀλλ' ἀγαθὸν τῷ γένει, καὶ ἐπιστήμη καὶ φύσις. ὥσπερ γὰρ οὐδ' ἀνδριαντοποιὸν θεωρεῖν δεῖν ποῖός τις ἐξ ὧν ἀπέτυχεν ἢ κακῶς εἰργάσατο, ἀλλ' ἐξ ὧν εὖ, οὕτως οὐδ' ἐπιστήμην οὐδὲ φύσιν, οὐδὲ ἄλλο οὐδὲν ποῖόν τί ἐστιν ἐκ τῶν φαύλων, ἀλλ' ἐκ τῶν σπουδαίων. ὁμοίως δὲ καὶ ἡ ἡδονὴ τῷ γένει ἀγαθόν ἐστιν. ἐπεὶ ὅτι γέ εἰσιν φαῦλαι ἡδοναί, οὐδὲ ἡμᾶς λανθάνει. ἐπεὶ γὰρ αἱ φύσεις τῶν ζῴων εἰσὶ διάφοροι, οἷον καὶ φαύλη καὶ σπουδαία, οἷον ἡ μὲν ἀνθρώπου σπουδαία, ἡ δὲ λύκου ἤ τινος ἄλλου θηρίου φαύλη. ὁμοίως δ' ἑτέρα φύσις ἵππου καὶ ἀνθρώπου καὶ ὄνου καὶ κυνός. ἡ δὲ ἡδονή ἐστι κατάστασις ἐκ τοῦ παρὰ φύσιν εἰς φύσιν ἑκάστου τὴν αὐτοῦ. ὥστε τοῦτ' ἂν εἴη ἥδιστον τῇ γε φαύλῃ φύσει, ἆρά γε ἡ φαύλη φύσει φαύλη ἡδονή; οὐ γάρ ἐστι ταὐτὸν ἵππῳ καὶ ἀνθρώπῳ, ὁμοίως δ' οὐδὲ τοῖς ἄλλοις, ἀλλ' ἐπείπερ αἱ φύσεις διάφοροι, καὶ αἱ ἡδοναὶ διάφοροι. ἡ γὰρ ἡδονὴ ἦν ἀποκατάστασις, καὶ ἡ ἀποκατάστασις φασὶν εἰς φύσιν καθίστησιν. ὥστε τῆς μὲν φαύλης φύσεως ἡ κατάστασις φαύλη, τῆς δὲ σπουδαίας σπουδαία. ἀλλ' οἱ φάσκοντες εἶναι τὴν ἡδονὴν οὐ σπουδαῖον, πεπόνθασιν οἷον οἱ μὴ εἰδότες τὸ νέκταρ, οἴονται τοὺς θεοὺς οἶνον πίνειν, καὶ οὐκ εἶναι τούτου ἥδιον οὐδέν. τοῦτο δὲ πάσχουσιν διὰ τὴν ἄγνοιαν. οἷς ὅμοιον πεπόνθασιν οἱ πάσας τὰς ἡδονὰς γενέσεις φάσκοντες εἶναι, καὶ οὐκ ἀγαθόν. διὰ γὰρ τὸ μὴ εἰδέναι ἄλλας ἡδονάς, ἀλλ' ἢ τὰς σωματικάς, ταύτας τε ὁρῶν γενέσεις τε οὔσας καὶ οὐ σπουδαίας, ὅλως οὐκ οἴονται εἶναι τὴν ἡδονὴν ἀγαθόν. ἐπεὶ δ' οὖν ἐστιν ἡ ἡδονὴ καὶ καθισταμένης τῆς φύσεως καὶ καθεστηκυίας, οἷον καθισταμένης μὲν αἱ ἐκ τῆς ἐνδείας ἀναπληρώσεις, καθεστηκυίας δὲ αἱ ἀπὸ τῆς ὄψεως καὶ τῆς ἀκοῆς καὶ τῶν τοιούτων, βελτίους ἂν εἶεν αἱ καθεστηκυίας τῆς φύσεως ἐνέργειαι. αἱ γὰρ ἡδοναὶ κατ' ἀμφοτέρους λεγόμεναι τοὺς τρόπους ἐνέργειαί εἰσιν. ὥστε δῆλον ὅτι αἱ ἀπὸ τῆς ὄψεως ἡδοναί, ἢ τῆς ἀκοῆς ἢ τοῦ διανοεῖσθαι, βελτίους τι ἂν εἶεν

σαν.

*propter mala aliquam specie ideo genus ipsum est malum*

*statuarius non est iudicandus ex his quae male fecit sed ex his quae bene.*

*ἡδονὴ καθισταμένης φύσεως ἡ ἡδονὴ καθεστηκυί(ας).*

*ἀλλ' ἢ μὴ videtur deesse ex interprete & sensu ipso*



σαν. ἐπεὶ αἵ γε σωματικαὶ ἐξ ἀναπληρώσεως. ἔτι καὶ τοῦτο ἐλέγετο, ὅτι οὐκ ἀγαθόν· τὸ γὰρ ἐν πᾶσιν εἶναι καὶ πᾶσι κοινόν, οὐκ ἀγαθόν. τὸ δὴ τοιοῦτον ἐστὶ φιλοτίμου μᾶλλον καὶ φιλοτιμίας οἰκεῖόν ἐστιν. ὁ γὰρ φιλότιμός ἐστιν ὁ μόνος βουλόμενος ἔχειν, καὶ τῶν τοιούτων τῶν ἄλλων ὑπερέχειν. καὶ τὴν ἡδονὴν οὖν εἰ μέλλει ἀγαθὸν εἶναι, τοιοῦτον δεῖν εἶναι. ἢ οὔ, ἀλλὰ καὶ τοὐναντίον. διὰ τοῦτο δόξειεν ἂν εἶναι ἀγαθόν, ὅτι πάντα τούτου ἐφίεται. τοῦ γὰρ ἀγαθοῦ πάντα πέφυκεν ἐφίεσθαι. ὥστε εἰ τῆς ἡδονῆς πάντ' ἐφίεται, ἀγαθὸν ἂν εἴη τῷ γένει ἡ ἡδονή. πάλιν καὶ ὅτι ἐστὶν ἐμπόδιον ἡ ἡδονή, οὐκ ἔφασαν αὐτὴν ἀγαθὸν εἶναι. τὸ δὲ ἐμπόδιον φάσκειν εἶναι, διὰ τὸ μὴ ὀρθῶς σκοπεῖν φαίνεται αὐτοῖς. οὐ γάρ ἐστιν ἐμπόδιον ἡ ἀπὸ τοῦ πράγματος τοῦ πραττομένου ἡδονή, ἐὰν μή τι ἄλλη ἐμποδίζῃ. οἷον ἡ ἀπὸ τῆς μέθης ἡδονὴ ἐμπόδιόν ἐστι τῷ πράττειν. ἀλλ' οὕτω μὲν καὶ ἐπιστήμη, ἐπιστήμης ἐμπόδιον ἄν. οὐ γάρ ἐστιν ἅμα ἀμφοτέραις ἐνεργεῖν. ἀλλὰ διὰ τί οὐκ ἀγαθὸν ἡ ἐπιστήμη ἂν ποιῇ τὴν ἀπὸ τῆς ἐπιστήμης ἡδονήν, καὶ πότερον ἐμπόδιον ἔσται ἢ οὔ. ἀλλὰ μᾶλλον πράξει. ἡ γὰρ ἡδονὴ παρορμᾷ πρὸς τὸ μᾶλλον πράττειν ἀπ' αὐτοῦ γινομένη, εἴπερ ὁ σπουδαῖος ποιήσων τὰ πράττειν τὰ κατ' ἀρετὴν καὶ ἡδέως ταῦτα πράττῃ, ἆρα οὐ πολλῷ μᾶλλον ἐνεργήσει ἄρα κατὰ τὴν πρᾶξιν. καὶ ἐὰν μέν γε ἡδόμενος πράττῃ, σπουδαῖος ἔσται. ἂν δὲ λυπούμενος τὰ καλὰ πράττῃ, οὐ σπουδαῖος. ἡ γὰρ λύπη ἐπὶ τοῖς δι' ἀνάγκην ἐστίν. ὥστε εἰ λυπεῖταί τις τὰ καλὰ πράττων, ἀναγκαζόμενος πράττει. ὁ δ' ἐξ ἀνάγκης πράττων, οὐ σπουδαῖος. ἀλλὰ μὴν οὐκ ἔστι γε μὴ λυπούμενον ἢ ἡδόμενον τὰ κατ' ἀρετὴν πράττειν. τὸ δ' ἀνὰ μέσον οὐκ ἔστι. διὰ τί; ὅτι ἡ ἀρετὴ ἐν πάθει. τὸ δὲ πάθος ἐν λύπῃ καὶ ἡδονῇ. ἐν δὲ τῷ ἀνὰ μέσον οὐκ ἔστι. δῆλον οὖν ὡς καὶ ἡ ἀρετὴ μετὰ λύπης καὶ ἡδονῆς. εἰ μὲν οὖν λυπούμενός τις τὰ καλὰ πράττει, οὐ σπουδαῖος. ὥστε οὐκ ἂν εἴη ἡ ἀρετὴ μετὰ λύπης· καὶ μεθ' ἡδονῆς ἄρα. οὐ μόνον ἄρα οὐκ ἐμπόδιόν ἐστιν ἡ ἡδονή, ἀλλὰ καὶ προτρεπτικὴ πρὸς τὸ πράττειν.

*Τοῦ ἀγαθοῦ πάντα πέφυκε ἐφίεσθαι*

*ὁ ἐξ ἀνάγκης πράττων οὐ σπουδαῖος*

*ὁ λυπούμενος τις τὰ καλὰ πράττων οὐ σπουδαῖος*

τὸ ὅλον δὲ οὐκ ἐνδέχεται αὐτὴν ἡδονῆς εἶναι τὴν ἀπὸ τοῦ τῆς γινομένης. ἀλλ' ἦν λόγος ὅτι οὐδεμία ἐπιστήμη ποιεῖ ἡδονήν. οὐκ ἔστι δέ, οὐδὲ τοῦτο ἀληθές· οἱ γὰρ ὀψοποιοὶ καὶ στεφανοποιοὶ καὶ οἱ μυρεψοὶ ἡδονῶν εἰσι ποιητικοί. ἀλλὰ δὴ ταῖς ἄλλαις ἐπιστήμαις οὐκ ἔστιν ἡ ἡδονὴ ὡς τέλος, ἀλλὰ μεθ' ἡδονῆς τε, οὐκ ἄνευ ἡδονῆς. οὐκ ἔστιν οὖν ἐπιστήμη ποιητικὴ ἡδονῆς. ἔτι δὲ καὶ ἄλλο ἐλέγετο, ὅτι οὐκ ἄριστον. ἀλλ' οὕτω μὲν καὶ ἐκ τούτου τῷ λόγῳ ἀναιρήσεις καὶ τὰς καθ' ἕκαστα λεγομένας ἀρετάς· ἡ γὰρ ἀνδρία οὐκ ἔστιν ἄριστον. ἆρ' οὖν διὰ τοῦτο οὐκ ἀγαθόν; ἢ τοῦτό γε ἄτοπον. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. οὐδὲ ἡ ἡδονὴ διὰ τοῦτο κακὸν ἢ ἀγαθόν, ὅτι οὐκ ἄριστον. ἀπορήσειε δ' ἄν τις μεταβὰς μὲν καὶ ἐπὶ τῶν ἀρετῶν, τὸ τοιοῦτον. οἷον ἐπειδὴ ὁ λόγος κρατεῖ ποτε τῶν παθῶν· φαμὲν γὰρ ἐπὶ τοῦ ἐγκρατοῦς. καὶ τὰ πάθη δὲ πάλιν ἀντεστραμμένως τοῦ λόγου κρατεῖ, οἷον ἐπὶ τῶν ἀκρατῶν συμβαίνει. ἐπεὶ οὖν τὸ ἄλογον μέρος τῆς ψυχῆς ἔχον τὴν κακίαν κρατεῖ τοῦ λόγου εὖ διακειμένου· ὁ γὰρ ἀκρατὴς τοιοῦτος· καὶ ὁ λόγος ὁμοίως φαῦλος, διὸ κἀκεῖνος κρατήσει τῶν παθῶν εὖ διακειμένων καὶ ἐχόντων τὴν οἰκείαν ἀρετήν. εἰ δὲ τοῦτ' ἔσται, συμβήσεται τῇ ἀρετῇ κακῶς χρῆσθαι· ὁ γὰρ λόγῳ φαύλῳ διακείμενος, καὶ χρώμενος τῇ ἀρετῇ κακῶς αὐτῇ χρήσεται. τὸ δὴ τοιοῦτον ἄτοπον ἂν συμβαίνειν δόξειεν. πρὸς δὴ τὴν τοιαύτην ἀπορίαν ῥᾴδιον ἀντειπεῖν καὶ λῦσαι ἐκ τῶν ἔμπροσθεν ἡμῖν εἰρημένων ὑπὲρ ἀρετῆς. τότε γὰρ φαμὲν εἶναι ἀρετήν, ὅταν ὁ λόγος εὖ διακείμενος τοῖς πάθεσιν εὖ ἔχουσι τὴν οἰκείαν ἀρετὴν σύμμεικτος ᾖ, καὶ τὰ πάθη τῷ λόγῳ· οὕτω γὰρ διακείμενα συμφωνήσουσι πρὸς ἄλληλα, ὥστε τὸν μὲν λόγον προστάττειν ἀεὶ τὸ βέλτιστον, τὰ δὲ πάθη ῥᾳδίως εὖ διακείμενα ποιεῖν ὃ ἂν λόγος προστάττῃ. ἂν οὖν ὁ λόγος φαῦλος ᾖ διακείμενος, τὰ δὲ πάθη εὖ, οὐκ ἔστιν ἀρετὴ ἐκλείποντος τοῦ λόγου· ἐξ ἀμφοτέρων γὰρ ἡ ἀρετή. ὥστ' οὐ δὲ κακῶς χρῆσθαι ἐνδέχεται ἀρετῇ. ἁπλῶς δ' οὐχ ὥσπερ οἴονται οἱ ἄλλοι, τῆς ἀρετῆς ἀρχὴ καὶ ἡγεμών ἐστιν ὁ λόγος, ἀλλὰ μᾶλλον τὰ πάθη. δεῖ γὰρ πρὸς τὸ καλὸν ὁρμὴν ἄλογόν τινα πρῶτον ἐγγίνεσθαι, ὃ καὶ

γίνεται

Dubitatio

Sol°

Notanda haec omnia



γίνεται· εἶθ' οὕτως τὸν λόγον ὕστερον ἐπιψηφίζοντα εἶναι καὶ διακρίνοντα. ἴδοι δ' ἄν τις τοῦτο ἐκ τῶν παίδων καὶ τῶν ἄνευ λόγου ζώντων· ἐν γὰρ τούτοις ἄνευ τοῦ λόγου ἐγγίνονται ὁρμαὶ τῶν παθῶν, πρὸς τὸ καλὸν πρότερον· ὁ δὲ λόγος ὕστερον ἐπιγινόμενος καὶ σύμψηφος ὤν, ποιεῖ πράττειν τὰ καλά. ἀλλ' οὐκ ἐὰν ἀπὸ τοῦ λόγου τὴν ἀρχὴν λάβῃ πρὸς τὰ καλά, οὐκ ἀκολουθεῖ τὰ πάθη ὁμογνωμονοῦντα, ἀλλὰ πολλάκις ἐναντιοῦται. διὸ μᾶλλον ἀρχὴ ἔοικε πρὸς τὴν ἀρετὴν τὸ πάθος εὖ διακείμενον, ἢ ὁ λόγος. ἐχόμενον δ' ἂν εἴη τούτων εἰπεῖν, ἐπειδὴ περὶ εὐδαιμονίας ἐστὶν ὁ λόγος, περὶ εὐτυχίας. οἴονται γὰρ οἱ πολλοὶ τὸν εὐδαίμονα βίον, τὸν εὐτυχῆ εἶναι, ἢ οὐκ ἄνευ εὐτυχίας. καὶ ὀρθῶς ἴσως. ἄνευ γὰρ τῶν ἐκτὸς ἀγαθῶν, ὧν ἡ τύχη ἐστὶ κυρία, οὐκ ἐνδέχεται εὐδαίμονα εἶναι. διὸ ζητέον ἐστὶν ὑπὲρ εὐτυχίας, καὶ ἁπλῶς ὁ εὐτυχὴς τίς ἐστι, καὶ ἐν τίσι, καὶ περὶ τί. πρῶτον μὲν οὖν ἐπὶ ταῦτα μέν τις ἐλθὼν καὶ ἀποβλέψας ἀπορήσειεν. οὔτε γὰρ ἂν εἴποι τις τὴν τύχην ὡς ἐστὶ φύσις· ἡ γὰρ φύσις ἀεὶ οὗ ἐστιν αἰτία, τοῦ τοιούτου ὡς ἐπὶ τὸ πολύ, ἢ ὡσαύτως ποιητική ἐστιν· ἡ δέ γε τύχη οὐδέποτε, ἀλλ' ἀτάκτως καὶ ὡς ἔτυχε. διὸ ἡ τύχη ἐν τοῖς τοιούτοις λέγεται. οὔτε δὴ νοῦν γέ τινα ἢ λόγον ὀρθόν· καὶ γὰρ ἐνταῦθα οὐχ ἧττόν ἐστι τὸ τεταγμένον καὶ τὸ ἀεὶ ὡσαύτως, ἡ δὲ τύχη οὔ. διὸ καὶ οὗ πλεῖστος νοῦς καὶ λόγος, ἐνταῦθα ἐλαχίστη τύχη· οὗ δὲ πλείστη τύχη, ἐνταῦθα ἐλάχιστος νοῦς. ἀλλ' ἆρά γε ἡ εὐτυχία ἐστὶν ὡς ἐπιμέλειά τις θεῶν; ἢ τοῦτο οὐκ ἂν δόξειεν· τὸν γὰρ θεόν, ἀξιοῦμεν κύριον ὄντα τῶν τοιούτων, τοῖς ἀξίοις ἀπονέμειν καὶ τἀγαθὰ καὶ τὰ κακά. ἡ δὲ τύχη καὶ τὰ ἀπὸ τῆς τύχης ὡς ἀληθῶς ὡς ἂν τύχῃ γίνεται. εἰ δέ γε τῷ θεῷ τοιοῦτον ἀπονέμομεν, φαῦλον αὐτὸν κριτὴν ποιήσομεν, ἢ οὐ δίκαιον. καὶ τοῦτο οὐ προσῆκόν ἐστι θεῷ. ἀλλὰ μὴν ἔξω γε τούτων εἰς οὐδὲν ἄλλο τὴν τύχην ἄν τις τάξειεν· ὥστε δῆλον ὅτι τούτων αὐτὴ εἴη. νοῦς μὲν δὴ καὶ λόγος καὶ ἐπιστήμη, παντελῶς ἀλλότριόν τι ἔοικεν εἶναι. ἀλλὰ μὴν οὐδ' ἡ ἐπιμέλεια ἡ καὶ εὔνοια παρὰ τοῦ θεοῦ δόξειεν ἂν εἶναι εὐτυχία.

De Prospa fortuna

Sine extrarijs bonis nemo potest esse felix

Fortunā nō e naturā

Vbi plurimū intellectus & rationis ibi ~~plura~~ minimū fortunae

ἀλλὰ τὸ χωρὶς φαύλοις ἐγγίνεσθαι. τὸν δὲ θεὸν τῶ φαύλων οὐκ εἰκὸς εἶναι μακάριον. λοιπὸν γίνυται καὶ οἰκότατον φρονεῖν τὴν εὐτυχίαν ὄντων ἡ εὐτυχία καὶ ἡ φύσις ὅτι δὴ καὶ εὐτυχία ἐστὶ καὶ τύχη. χωρὶς μὲν ἐφ' ἡμῖν ὄντα ὅσα μὴ δι' ὧν αὐτοὶ κύριοι ἐσμὲν, ἃ δυνατοὶ πρᾶξαι. διὸ τὸν δίκαιον, ὑθεὶς λέγειν εὐτυχῆ. ὑδὲ τὸν ἀνδρεῖον. οὐδ' ὅλως τῶ κατὰ ἀρετὴν ὑδὲν ἐφ' ἡμῖν γὰρ ὅτι ταῦτα ἔχειν καὶ μὴ ἔχειν. ἀλλ' ἤδη ἐστὶ χωρὶς τοιούτοις οἰκότερον τὴν εὐτυχίαν ἐροῦμεν. τὸν γὰρ εὐβουλον εὐτυχῆ λέγομεν. καὶ ὅλως, ᾧ τοιαῦτα τῶν ἀτεχνῶν ὑπάρχει, ὧν μὴ αὐτὸς κύριός ἐστιν. ἀλλ' ὅμοιος δὴ ἐν ταῦθα αὐ κυρίως εὐτυχίαι λέγοιτο. ὅτι δὲ πολλαχῶς λεγόμενος. καὶ γὰρ ᾧ παρὰ τὸν λογισμὸν τὸν αὑτοῦ συμβέβηκε τὰ ἀτεχνῶν πρᾶξαι, εὐτυχῆ φαμέν. ἢ ᾧ κατὰ λόγον ζημίαν εἰς λαβεῖν. τὸν τοιοῦτον κερδαίνοντα εὐτυχῆ φαμέν. ὅτιν ὃν ἡ εὐτυχία τῷ ἀτεχνῶν τι ὑπάρξαι ᾧ δὲ λόγον. ἀλλὰ μᾶλλον καὶ οἰκειότερον ἡ εὐτυχία αὖ δόξειν εἶναι. ἐν ᾧ ἀτεχνῶν λαβεῖν. τὸ μὲν γὰρ ἀτεχνῶν λαβεῖν, ὃ ἂν καθ' αὑτὸ δόξειν εὐτύχημα εἶναι. ὅτιν ὃν ἡ εὐτυχία ἄλογος φύσις. ὁ γὰρ εὐτυχὴς ὅτι ὁ αὐτῶν λόγον ἔχων ὁρμὴν πρὸς τὰ ἀτεχνῶν. ἐν τούτων εὐτυχάμων. φῦρ δ' ὅτι φύσεως. ἐν δὲ τῇ ψυχῇ φύσει ἐστὶ τῇ φύσει τοιοῦτον. ᾧ ὁρμῶ μὲν ἀλόγως, πρὸς ἃ αὖ ὧν ἔχω μὴ εἴτις ἐρωτήσειε τὸν ὅτως ἔχοντα διὰ τί φῦτο ἀρέσκεσθαι ὅτω πράττειν. ὃν οἶδέ φησιν, ἀλλ' ἀρέσκεσθαι. ὁμοίως δὲ ἔχων τοῖς ἐνθουσιάζουσι. ἐν γὰρ οἱ ἐνθουσιάζοντες, αὐτὸ λόγου ὁρμὴν ἔχουσι πρὸς τὸ πράττειν τι. τὸν δ' εὐτυχίαν, οὐκ ἔχομεν οἰκείαν ἢ ἰδίᾳ ὀνόματι προσαγορεύειν. ἀλλ' αἰτίαν πολλάκις φαμὲν εἶναι αὐτοῦ. ἡ δὲ αἰτία ἀλλότριον τοῦ ὀνόματος. ἡ γὰρ αἰτία καὶ οὗ ὅτιν αἰτία, ἄλλο ὅτι καὶ αὐτὸ ὁρμῆς φύσει ἐστὶν εὐτυχανούσης τῶν ἀγαθῶν αἰτία λέγομεν. οἷον ἡ τοῦ κακὸν μὴ λαβεῖν. ἢ πάλιν τὸ μὴ οἰόμενον ἀγαθὸν λήψεσθαι, ἀγαθὸν λαβεῖν. ὅτιν οὖν ἡ τοιαύτη εὐτυχία διάφορος ἐκείνης. καὶ ἔοικεν αὐτὴ, ἐκτῶν πραγμάτων φύσει μεταπτώσεως γίνεσθαι ἢ κατασυμβεβηκὸς εὐτυχίας. ὥστε

ἐνθουσιάζοντες q.



ἀλλ' οὖν πρός γε τὴν εὐδαιμονίαν, ἥ τοιαύτη ἂν εἴη εὐτυχία, οἰκειοτέρα. ἧς ἐν αὐτῷ ἡ ἀρχὴ φύσει ὁρμῆς τῶν ἀτεχνῶν ὅτι φύσει ἐστὶ δόξεως. ἐπεὶ οὖν ὅτιν ἡ εὐδαιμονία οὐκ ἀνθρώπων ἐκτὸς ἀτεχνῶν, ταῦτα δὲ γίνεται ἀπὸ φύσεως εὐτυχίας, οἷον ἀρτίως ἐφαμὲν. συνεργὸς ἂν εἴη τῇ εὐδαιμονίᾳ. πλὴν μὲν ὅν εὐτυχίας ταῦτα. ἐπεὶ δὴ δὲ ὑπὲρ ἑκάστης τῶν ἀρετῶν, κατὰ μέρος εἰρήκαμεν. λοιπὸν ἂν εἴη καθόλου συντεθῶντα καθ' ἕκαστα εἰφαλαιώσαμεν. ἐπεὶ οὖν ἐστὶ μὲν οὖν ὀρθῶς λεγόμενον φρόνημα. ἐπὶ τὸ τελέως εὐδαίμονα, ἢ καλοκαγαθίαν. καλὸς καὶ ἀγαθὸς γὰρ φησιν ὁ τὸν τελέως εὐδαίμονα. ἐπὶ γὰρ φρονεῖν τὸν καλὸν καὶ ἀγαθὸν λέγουσιν. οἷον τὸν δίκαιον καλὸν, καὶ ἀτεχνῶν φασι. τὸν ἀνδρεῖον. τὸν σώφρονα. ὅλως δ' εἰπεῖν τῶν ἀρετῶν ἕπεσθαι δὴ οὖν εἰς δύο διαιροῦμεν. καὶ τὰ μὲν φαμὲν εἶναι καλὰ. τὰ δὲ, καὶ ἀγαθὰ, καὶ τῶν ἀγαθῶν. τὰ μὲν ἁπλῶς ἀγαθὰ. τὰ δὲ οὐ. καὶ καλὰ μὲν, οἷον τὰς ἀρετὰς, καὶ τὰς ἀπαρετῆς πράξεις. ἀτεχνῶν δὲ, ἀρχὴν. πλοῦτον. δόξαν. τιμὴν. τὰ τοιαῦτα. ὅτιν οὖν ὁ καλὸς καὶ ἀγαθὸς ᾧ τὰ ἁπλῶς ἀτεχνῶν ἐστὶν ἀτεχνῶν. καὶ τὰ ἁπλῶς καλὰ καλά ἐστιν. ὁ τοιοῦτος γὰρ καλὸς καὶ ἀγαθός. ᾧ δὲ τὰ ἁπλῶς ἀτεχνῶν μή ἐστιν ἀγαθὰ, οὐκ ἐστὶ καλὸς καὶ ἀγαθὸς. ὡς περ οὐδὲ ὑγιαίνειν ἂν δόξειν, ᾧ τὰ ἁπλῶς ὑγιεινὰ μὴ ὑγιῆ ἐστιν. εἰ γὰρ ὁ πλοῦτος καὶ ἡ ἀρχὴ παραγινόμενα τισὶ βλαπτοίεν, οὐκ ἂν αἱρετὰ εἴη. ἀλλὰ τὸ τοιαῦτα ὅσα ἂν αὐτὸν μὴ βλάπτῃ βουλήσεται αὐτῷ εἶναι. ὁ δὲ τοιοῦτος ὢν οἷος ὑποπολλάκις τῶν ἀγαθῶν πρὸς τὸ μὴ εἶναι αὐτῷ. ὃν ἂν δόξειεν καλὸς καὶ ἀγαθὸς εἶναι. ἀλλ' ᾧ τὰ ἀγαθὰ ὠφέλιμα ὅτα ἀγαθά ἐστι. καὶ ὑπὸ τούτων μὴ διαφθείρεται, οἷον ὑπὸ πλούτου καὶ ἀρχῆς. ὁ τοιοῦτος καλὸς καὶ ἀτεχνῶν ὑπὲρ τοὺς κατὰ τὰς ἀρετὰς ὀρθῶς πράττειν, εἰρήκαμεν. ἱκανῶς ἔφαμεν γὰρ τὸ κατὰ τὸν ὀρθὸν λόγον πράττειν. ἀλλ' ἴσως ἂν τις αὐτὸ τοῦτο ἀνοῶν, ἐρωτήσειε, τὸ κατὰ τὸν ὀρθὸν λόγον τί ποτέ ἐστι

καλοκαγαθία q. honestas vita

καλὰ ἀγαθά D a

καλὸς κ' ἀγαθὸ q. honestus & bon

Quid sit secundú rectam ratione agere

καὶ ποῦ ἐστιν ὁ ὀρθὸς λόγος. ἔστιν οὖν κατὰ τὸν ὀρθὸν λόγον πράττειν, ὅταν τὸ ἄλογον μέρος τῆς ψυχῆς μὴ κωλύῃ τὸ λογικὸν ἐνεργεῖν τὴν αὐτοῦ ἐνέργειαν· τότε γὰρ ἡ πρᾶξις ἔσται κατὰ τὸν ὀρθὸν λόγον. ἐπειδὴ γάρ ἐστι τῆς ψυχῆς, τὸ μὲν χεῖρον ἔχομεν, τὸ δὲ βέλτιον, ἀεὶ δὲ τὸ χεῖρον τοῦ βελτίονος ἕνεκέν ἐστιν, ὥσπερ ἐπὶ σώματος καὶ ψυχῆς· τὸ σῶμα τῆς ψυχῆς ἕνεκεν, καὶ τότε ἐροῦμεν εὖ ἔχειν τὸ σῶμα, ὅταν οὕτως ἔχῃ ὥστε μὴ κωλύειν, ἀλλὰ καὶ συμβάλλεσθαι καὶ συμπαρορμᾶν πρὸς τὸ τὴν ψυχὴν ἐπιτελεῖν τὸ αὑτῆς ἔργον· τὸ γὰρ χεῖρον τοῦ βελτίονος ἕνεκεν, πρὸς τὸ συνεργεῖν τῷ βελτίονι. ὅταν οὖν τὰ πάθη μὴ κωλύωσι τὸν νοῦν τὸ αὑτοῦ ἔργον ἐνεργεῖν, τότε ἔσται τὸ κατὰ τὸν ὀρθὸν λόγον γινόμενον. ναί. ἀλλ' ἴσως ἐρεῖ τις ἄν· ὅταν πῶς ἔχωσι τὰ πάθη οὐ κωλύουσι, καὶ πότε οὕτως ἔχουσιν; οὐ γὰρ οἶδα. τὸ δὴ τοιοῦτον οὐκ ἔστιν εἰπεῖν ῥᾴδιον· οὐδὲ γὰρ ὁ ἰατρός, ἀλλ' ὅταν εἴπῃ τῷ πυρέττοντι πτισάνην προσφέρεσθαι· τὸ δὲ πυρέττειν πῶς αἰσθάνομαι; ὅταν φησὶν ὁρᾷς ὠχρὸν ὄντα. τὸ δ' ὠχρὸν πῶς εἰδήσω; ἐνταῦθα συνιέτω ὁ ἰατρός. εἰ γὰρ μὴ ἔχεις παρὰ σαυτοῦ φύσει τὴν τῶν τοιούτων αἴσθησιν, οὐκ ἔστι. ὡσαύτως ὑπὲρ τῶν ἄλλων κοινὸς ἐστὶ τῶν τοιούτων ὁ λόγος. ὁμοίως δὲ ἔχει καὶ ἐπὶ τῶν παθῶν τὸ γνωρίζειν· δεῖ γὰρ αὐτὸν συμβάλλεσθαι πρὸς αἴσθησίν τι.

τὸ χεῖρον ἀεὶ τοῦ βελτίονος ἕνεκεν

συνιέτω

Ἐπιζητήσειε δ' ἄν τις ἴσως καὶ τὸ τοιοῦτον· ἆρα γε ἐγὼ εἰδήσας ταῦτα, καὶ δὴ εὐδαίμων ἔσομαι; οἴονται γάρ. τὸ δέ ἐστιν οὐ τοιοῦτον· οὐδεμία γὰρ οὐδὲ τῶν ἄλλων ἐπιστημῶν παραδίδωσι τῷ μανθάνοντι τὴν χρῆσιν καὶ τὴν ἐνέργειαν, ἀλλὰ τὴν ἕξιν μόνον. οὕτως οὐδὲ ἐνταῦθα παραδίδωσι τὸ εἰδῆσαι ταῦτα τὴν χρῆσιν· ἡ γὰρ εὐδαιμονία ἐστὶν ἐνέργεια ὡς ἔφαμεν, ἀλλὰ τὴν ἕξιν, οὐδὲν τοῦ εἰδέναι ἐξ ὧν ἐστιν ἡ εὐδαιμονία, ἀλλ' ἐκ τοῦ τούτοις χρήσασθαι. τὴν δὲ χρῆσιν καὶ τὴν ἐνέργειαν τούτων, οὐκ ἔστι ταύτης τῆς πραγματείας τὸ ἀποδιδόναι· οὐδὲ γὰρ ἄλλη ἐπιστήμη οὐδεμία τὴν χρῆσιν παραδίδωσιν, ἀλλὰ τὴν ἕξιν. ἐφάπτεσθαι δὲ τούτων

ὑπὲρ-

Felicitaté actioné esse nó habitum

Nulla Scientia usum dat sed habitum.

φιλοσ. ἔ

συνίετε



De Amicitia

ὑπὲρ φιλίας ἀναγκαῖόν ἐστιν εἰπεῖν, τί ἐστι, καὶ ἐν τίσι, καὶ περὶ τί. ἐπειδήπερ ὁρῶμεν παρὰ πάντα τὸν βίον παρατείνουσαν, καὶ ἐν παντὶ καιρῷ, καὶ οὖσαν ἀγαθόν, συμπαραληπτέα ἂν εἴη πρὸς τὴν εὐδαιμονίαν. πρῶτον μὲν οὖν ἴσως ἃ ἀπορεῖται καὶ ζητεῖται, βέλτιον διελθεῖν. πότερον γάρ ἐστιν ἡ φιλία ἐν τοῖς ὁμοίοις, ὥσπερ δοκεῖ καὶ λέγεται; καὶ γὰρ κολοιός φασι παρὰ κολοιὸν ἱζάνει, καὶ αἰεί τοι τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον. φασὶ δὲ καὶ κυνός ποτε ἀεὶ καθευδούσης ἐπὶ τῆς αὐτῆς κεραμίδος, ἐρωτηθέντα τὸν Ἐμπεδοκλέα διὰ τί ποτε ἡ κύων ἐπὶ τῆς αὐτῆς κεραμίδος καθεύδει, εἰπεῖν, ὅτι ἔχει τι κεραμὶς ὅμοιον ἡ κύων, ὡς διὰ τὸ ὅμοιον τὴν κύνα φοιτῶσαν. πάλιν δ' αὖ δοκεῖ ἄλλοις τισὶν ἐν τοῖς ἐναντίοις μᾶλλον ἐγγίνεσθαι ἡ φιλία. ἐρᾶν μὲν γάρ φησιν ὄμβρου γαῖαν, ὅταν ξηρὸν πέδον. τὸ δὴ ἐναντίον φασὶ τῷ ἐναντίῳ βούλεσθαι φίλον εἶναι· ἐν μὲν γὰρ τοῖς ὁμοίοις οὐδὲ ἐνδέχεσθαι γίνεσθαι· τὸ γὰρ ὅμοιόν φησι τοῦ ὁμοίου οὐδὲν προσδεῖσθαι. καὶ τὰ τοιαῦτα δή. ἔτι πότερον ἔργον δύσκολόν ἐστι φίλον γενέσθαι ἢ ῥᾴδιον γενέσθαι; οἷον κόλακες ταχέως προσπεφυκότες, φίλοι μὲν οὐκ εἰσί, φαίνονται δὲ φίλοι εἶναι. ἔτι δὲ καὶ τὰ τοιαῦτα ἀπορεῖται, πότερον ἔσται ὁ σπουδαῖος τῷ φαύλῳ φίλος, ἢ οὔ· ἡ μὲν γὰρ φιλία ἐν πίστει καὶ βεβαιότητι, ὁ δὲ φαῦλος ἥκιστα τοιοῦτος. πρῶτον μὲν οὖν διοριστέον ἂν εἴη ὑπὲρ φιλίας ποίας σκοποῦμεν. ἔστι γάρ, ὡς οἴονται, φιλία καὶ πρὸς θεόν, καὶ τὰ ἄψυχα, οὐκ ὀρθῶς. τὴν γὰρ φιλίαν ἐνταῦθά φαμεν εἶναι οὗ ἐστι τὸ ἀντιφιλεῖσθαι. ἡ δὲ πρὸς θεὸν φιλία οὐδὲ ἀντιφιλεῖσθαι δέχεται, οὔθ' ὅλως τὸ φιλεῖν· ἄτοπον γὰρ ἂν εἴη εἴ τις φαίη φιλεῖν τὸν Δία. οὐδὲ δὴ παρὰ τῶν ἀψύχων ἐνδέχεται ἀντιφιλεῖσθαι. φιλία μέντοι καὶ πρὸς τὰ ἄψυχά ἐστιν, οἷον οἶνον ἢ ἄλλο δή τι τῶν τοιούτων. διόπερ οὔτε τὴν πρὸς τὸν θεὸν φιλίαν ἐπιζητοῦμεν, οὔτε τὴν πρὸς τὰ ἄψυχα, ἀλλὰ τὴν πρὸς τὰ ἔμψυχα, καὶ πρὸς ταῦτα, ἐν οἷς ἐστι τὸ ἀντιφιλεῖν. εἰ δή τις μετὰ τοῦτο ἐπισκέψαιτο τί ἐστι τὸ φιλητόν. ἔστιν οὖν οὐκ ἄλλο τι ἢ τἀγαθόν.

περὶ κολοιός παρὰ κολοιὸν ἱζάνει

Homer

ὁμοῖον ἄγει θεὸς τὸν ὁμοῖον

Empedoclés

Empedoclis dictum egregium

ἕτερον μὲν οὖν ἐστὶ τὸ φιλητὸν καὶ τὸ φιλητέον, ὥσπερ καὶ τὸ βουλητὸν καὶ τὸ βουλητέον. βουλητὸν μὲν γάρ, τὸ ἁπλῶς ἀγαθόν· βουλητέον δὲ, τὸ ἑκάστῳ ἀγαθόν. οὕτω καὶ φιλητὸν μὲν, τὸ ἁπλῶς ἀγαθόν. φιλητέον δὲ, τὸ αὑτῷ ἀγαθόν. ἔστι δὲ τὸ μὲν φιλητέον, καὶ φιλητόν. τὸ δὲ φιλητὸν, οὐκ ἔστι φιλητέον. ἐνταῦθα οὖν ἐστι καὶ διὰ τὸ τοιοῦτον ἡ ἀπορία. πότερόν ἐστιν ὁ σπουδαῖος τῷ φαύλῳ φίλος, ἢ οὔ. συνῆπται γάρ πως τῷ ἀγαθῷ, τὸ αὑτῷ ἀγαθόν. καὶ τὸ φιλητέον τῷ φιλητῷ. ἕπεται δὲ καὶ ἀκολουθεῖ τῷ ἀγαθῷ. καὶ τὸ ἡδὺ εἶναι καὶ τὸ συμφέρον. ἡ μὲν οὖν τῶν σπουδαίων φιλία ἐστὶν, ὅταν ἀντιφιλῶσιν ἀλλήλους. φιλοῦσι δὲ ἀλλήλους, ᾗ φιλητοί. φιλητοὶ δὲ ᾗ ἀγαθοί. οὐκ οὖν σπουδαῖός φησι τῷ φαύλῳ οὐκ ἔσται φίλος. ἔσται μὲν οὖν. ἐπειδὴ γὰρ τἀγαθῷ ἠκολούθει τὸ συμφέρον καὶ τὸ ἡδὺ, εἰ ἔστι φαῦλος ὢν ἡδὺς ταύτῃ φίλος. πάλιν αὖ συμφέρων ᾗ συμφέρον ταύτῃ φίλος. ἀλλ' οὐκ ἔσται γε κατὰ τὸ φιλητὸν ἡ τοιαύτη φιλία. φιλητὸν γὰρ ἦν τἀγαθόν. ὁ δὲ φαῦλος οὐ φιλητός. οὐ γάρ. ἀλλὰ κατὰ τὸ φιλητέον. ἔστι γὰρ ἀπὸ τῆς παντελοῦς φιλίας τῆς ἐν τοῖς σπουδαίοις, καὶ αὗται αἱ φιλίαι. ἥ τε κατὰ τὸ ἡδὺ καὶ ἡ κατὰ τὸ συμφέρον. ὁ μὲν οὖν κατὰ τὸ ἡδὺ φιλῶν, οὐ φιλεῖ τὴν κατὰ τὸ ἀγαθὸν φιλίαν. οὐδὲ ὁ κατὰ τὸ συμφέρον. εἰσὶ δὲ αἱ φιλίαι αὗται. ἥ τε κατὰ τὸ ἀγαθὸν ἀλλ' ἡ κατὰ τὸ ἡδὺ καὶ ἡ κατὰ τὸ συμφέρον. οὐχ αἱ αὐταὶ μὲν. οὐ παντελῶς δὲ, οὐδὲ ἀλλότριαι ἀλλήλων. ἀλλ' ἀπὸ τοῦ αὐτοῦ πως ἠρτημέναι εἰσίν. οἷον φαμὲν ἰατρικὸν τὸ μαχαίριον. ἰατρικὸν τὸν ἄνθρωπον. καὶ ἰατρικὴν τὴν ἐπιστήμην. ταῦτα οὐχ ὁμοίως λέγεται. ἀλλὰ τὸ μὲν μαχαίριον τῷ χρήσιμον εἶναι πρὸς ἰατρικήν, ἰατρικὸν λέγεται. ὁ δ' ἄνθρωπος τῷ ποιητικὸς εἶναι ὑγιείας. ἡ δ' ἐπιστήμη, τῷ αἰτία εἶναι καὶ ἀρχή. ὁμοίως δὲ καὶ αἱ φιλίαι οὐχ ὡσαύτως. ἥ τε τῶν σπουδαίων ἡ διὰ τὸ ἀγαθόν. καὶ ἡ κατὰ τὸ ἡδύ. καὶ ἡ κατὰ τὸ συμφέρον. οὔτε δὴ ὁμωνύμως λέγονται, ἀλλ' οὐκ εἰσὶ μὲν αἱ αὐταί. περὶ ταῦτα δέ πως, καὶ ἐκ τῶν αὐτῶν εἰσιν. εἰ δή τις λέγοι, ὁ κατὰ τὸ ἡδὺ φιλῶν οὐκ ἔστι φίλος τούτῳ. οὐ γὰρ κατὰ τὸ ἀγαθὸν

ἀγαθὸν



ἀγαθὸν φίλος ἐστί, βαδίζει ὁ τοιοῦτος ἐπὶ τὴν τῶν σπουδαίων φιλίαν τὴν ἐξ ἁπάντων τούτων οὖσαν, ἔκ τε τοῦ ἀγαθοῦ καὶ ἐκ τοῦ ἡδέος, καὶ ἐκ τοῦ συμφέροντος. ὥστ' ἀληθῶς οὐκ ἔστιν ἐκείνην γε τὴν φιλίαν φίλος. ἀλλὰ τὴν κατὰ τὸ ἡδύ. ἢ κατὰ τὸ συμφέρον. πότερον οὖν ἔσται ὁ σπουδαῖος, τῷ σπουδαίῳ φίλος. ἢ οὔ. οὐδὲν γὰρ προσδεῖται φησὶν ὅμοιος τῷ ὁμοίῳ, ὁ δὴ τοιοῦτος λόγος ζητεῖ τὴν κατὰ τὸ συμφέρον φιλίαν. ᾗ γὰρ προσδεῖται ὁ ἕτερος τοῦ ἑτέρου ταύτῃ ὄντες φίλοι ἐν τῇ κατὰ τὸ συμφέρον φιλίᾳ εἰσίν. ἀλλὰ ἑτέρα διώρισται ἡ κατὰ τὸ συμφέρον φιλία, καὶ ἡ κατ' ἀρετήν, καὶ ἡδονήν. εἰκὸς δὴ καὶ πολὺ μᾶλλον τούτους. πάντα γὰρ αὐτοῖς ὑπάρχει τἀγαθά, καὶ τὸ ἡδὺ καὶ τὸ συμφέρον. ἀλλὰ καὶ ὁ σπουδαῖος τῷ φαύλῳ. ᾗ γὰρ ἴσως ἡδύς, ταύτῃ καὶ φίλος. καὶ ὁ φαῦλός γε τῷ φαύλῳ. ᾗ γὰρ ἴσως τὸ αὐτὸ αὐτοῖς συμφέρει, ταύτῃ καὶ φίλος. ὁρῶμεν γὰρ τοῦτο γινόμενον ὅταν τὸ αὐτὸ ᾖ τὸ συμφέρον φίλους τούτους διὰ τὸ συμφέρον. ὥστ' οὐδὲν κωλύει καὶ φαύλοις οὖσι, ταὐτόν τι συμφέρειν. βεβαιοτάτη μὲν οὖν καὶ μονιμωτάτη καὶ καλλίστη ἐστὶν ἐν τοῖς σπουδαίοις φιλία ἡ κατ' ἀρετὴν καὶ τἀγαθὸν οὖσα εἰκότως. ἡ μὲν γὰρ ἀρετή, ἀμετάπτωτον. δι' ἣν ἡ φιλία, ὥστε εἰκὸς τὴν φιλίαν τὴν τοιαύτην ἀμετάπτωτον εἶναι. τὸ δὲ συμφέρον, φιλία οὐ βεβαία. ἀλλὰ τῷ συμφέροντι μεταπίπτει. ὁμοίως καὶ ἡ κατὰ τὴν ἡδονήν. ἡ μὲν οὖν τῶν βελτίστων φιλία, ἡ κατ' ἀρετὴν γινομένη ἐστίν. ἡ δὲ τῶν πολλῶν, ἡ κατὰ τὸ συμφέρον. ἡ δὲ κατὰ τὴν ἡδονὴν ἐν τοῖς φορτικοῖς καὶ τυχοῦσι. συμβαίνει δὲ καὶ ἀγανακτεῖν ὅταν φαύλοις ἐντύχωσι τοῖς φίλοις καὶ θαυμάζειν. ἔστι δὲ οὐδὲν ἄτοπον. ὅταν γὰρ ἡ φιλία λάβῃ τὴν ἡδονὴν ἀρχήν, δι' ἣν φίλοι εἰσί, ἢ τὸ συμφέρον, ἅμα ταῦτα ὑπολείπει, καὶ ἡ φιλία οὐ διαμένει. πολλάκις δὲ μένει μὲν ἡ φιλία, κακῶς δ' ἐχρήσατο τῷ φίλῳ. διὸ ἀγανακτοῦσιν. ἔστι δ' οὐδὲ τοῦτο ἄλογον. οὐδὲ γὰρ δι' ἀρετὴν ἡ φιλία σφίσι πρὸς τοῦτον ὑπῆρχε. διὸ οὐδὲν ἄτοπον μηδὲν ποιεῖν αὐτὸν τῶν κατ' ἀρετήν.

*Tria genera amicitiae*

*Firmissima omnium amicitiarum quae virtute niti[tur]*

ἀγανακτοῦσιν οὖν οὐκ ὀρθῶς. οἱ ἡδονὴν γὰρ ποιησάμενοι τὴν φιλίαν, τὴν ἀρετῆς οἴονται δεῖν αὐτοῖς ὑπάρχειν. τὸ δ' ἐστιν ἄτοπον. οὐ γάρ ἐστιν ἡ διὰ ἡδονὴν καὶ τὸ συμφέρον, ἀρετῆς ἐχομένη. κοινωσάμενοι οὖν ἡδονῇ ἀρετὴν ζητοῦσιν οὐκ ὀρθῶς. οὐ γὰρ ἀκολουθεῖ τῇ ἡδονῇ καὶ τῷ συμφέροντι ἡ ἀρετή. ἀλλὰ τῇ ἀρετῇ ἀμφότερα ταῦτα ἀκολουθεῖ. ἄτοπον γὰρ εἰ μή τις οἴεται τοὺς σπουδαίους αὐτοὺς αὑτοῖς ἡδίστους εἶναι. καὶ γὰρ οἱ

*Euripides*

φαῦλοι ὥς φησιν εὐριπίδης, αὐτοὶ ἑαυτοῖς ἡδεῖς εἰσι. κακὸς κακῷ γὰρ συντέτηκεν. οὐ γὰρ ἀκολουθεῖ τῇ ἡδονῇ ἡ ἀρετή, ἀλλ' ἡ ἡδονὴ τῇ ἀρετῇ ἀκολουθεῖ. πότερον δὲ καὶ δεῖ ἐν τῇ τῶν σπουδαίων φιλίᾳ τὴν ἡδονὴν εἶναι, ἢ οὐ δεῖ. ἄτοπον γὰρ τὸ μὴ φάναι δεῖν. εἰ γὰρ ἀφελεῖς αὐτῶν τὸ ἡδεῖς εἶναι ἀλλήλοις, ἄλλους ποιήσονται φίλους εἰς τὸ συζῆν τοὺς ἡδεῖς. εἰς γὰρ τὸ συζῆν οὐδὲν μεῖζόν ἐστι τοῦ ἡδεῖς εἶναι. ἄτοπον οὖν τὸ μὴ οἴεσθαι δεῖν τοὺς σπουδαίους μάλιστα ἀλλήλοις συζῆν. τοῦτο δ' οὐκ ἔστιν ἄνευ τοῦ ἡδέος. δέοι ἂν ἄρα ὡς ἔοικε μάλιστα τούτοις ὑπάρχειν τὸ ἡδέσιν εἶναι. ἐπεὶ δὲ διῄρηνται αἱ φιλίαι εἰς τρία εἴδη, καὶ ἐν ταύταις ἠπορεῖτο, πότερον ἐν ἰσότητι ἡ φιλία ἐγγίνεται, ἢ ἐν ἀνισότητι. ἔστιν οὖν κατ' ἀμφότερα. ἡ μὲν γὰρ καθ' ὁμοιότητα, ἡ τῶν σπουδαίων, καὶ ἡ τελεία φιλία. ἡ δὲ κατὰ ἀνομοιότητα, ἡ κατὰ τὸ συμφέρον. τῷ γὰρ εὐπόρῳ ὁ πένης διὰ τὴν ἔνδειαν ὧν ὁ πλούσιος εὐπορεῖ, φίλος ἐστί. καὶ τῷ σπουδαίῳ ὁ φαῦλος διὰ ταὐτό. διὰ γὰρ τὴν τῆς ἀρετῆς παρ' οὗ οἴεται αὐτῷ ἔσεσθαι διὰ τοῦτο τούτῳ φίλος. γίνεται οὖν ἐν τοῖς ἀνομοίοις φιλία, κατὰ τὸ συμφέρον. διὸ καὶ εὐριπίδης, ἐρᾷ μὲν ὄμβρου γαῖα ὅταν ξηρὸν ᾖ πέδον. ὡς ἐναντίοις οὖσι τούτοις ἐγίνεται φιλία ἡ διὰ τὸ συμφέρον. καὶ γὰρ εἰ θέλεις τὰ ἐναντιώτατα ποιῆσαι πῦρ καὶ ὕδωρ, ταῦτα ἀλλήλοις χρήσιμά εἰσι. τὸ γὰρ πῦρ φασὶν ἐὰν μὴ ἔχῃ ὑγρόν, φθείρεσθαι. ὡς τοῦτο αὐτῷ παρασκευάζον, ὥσπερ τροφήν τινα. ταύτην δὲ τοσαύτην ὅσης κρατήσειεν. ἂν μὲν γὰρ πλείω ποιή-

*Euripides*

*Ignis si deest humor*
*temperatus absumi*
*alitur .n. contrario*
*tanquam alimento*

σης.



σης. τὸ ὑγρὸν ἐὰν κρατήσῃ, φθείρεσθαι τὸ πῦρ. ἐὰν δὲ σύμμετρον, συνοίσει. δῆλον οὖν, ὅτι ἐν τοῖς ἐναντιωτάτοις φιλία ἐγίνεται διὰ τὸ συμφέρον. ἀνάγονται δὲ πᾶσαι αἱ φιλίαι καὶ αἱ ἐν ἰσότητι καὶ αἱ ἐν ἀνισότητι, εἰς τὰς διῃρημένας τρεῖς. ἔστι δ' ἐν ἁπάσαις ταῖς φιλίαις διαφορὰ γινομένη πρὸς ἀλλήλους, ὅταν μὴ ὁμοίως φιλῶσιν, ἢ εὖ ποιῶσιν, ἢ ὑπηρετῶσιν, ἢ ὅτι ἂν ᾖ τοιοῦτον, ὅταν μὲν γὰρ ὁ μὲν ἐκτενῶς ποιῇ. ὁ δὲ ἐλλείπῃ, κατὰ τὴν ἔλλειψιν τὸ ἔγκλημα καὶ ἡ μέμψις. οὐ μὴν, ἀλλ' ἐπὶ μὲν τῶν τοιούτων, τὸ αὐτό ἐστι τέλος τῆς φιλίας. οἷον οἱ ἀμφότεροι κατὰ τὸ συμφέρον ἀλλήλοις φίλοι, ἢ κατὰ τὸ ἡδύ, ἢ κατ' ἀρετήν, εὔδηλος ἡ ἔλλειψις ἡ παρὰ τοῦ ἑτέρου, ἐὰν πλείω ἀγαθὰ σύ μοι ποιῇς, ἢ ἐγὼ σοί. οὐδ' ἀμφισβητῶ ἔτι μὴ οὐ δεῖν σε μᾶλλον ὑπ' ἐμοῦ φιλεῖσθαι. ἐν οἷς δὲ ἡ φιλία μὴ διὰ ταὐτό φίλοι ἐσμέν, μᾶλλον αἱ διαφοραί. ἄδηλος γὰρ ἡ ἔλλειψις παρ' ἑκατέρου. οἷον, εἰ ὁ μὲν, δι' ἡδονὴν φίλος ἐστίν. ὁ δὲ διὰ τὸ συμφέρον. ἐνταῦθα ἡ ἀμφισβήτησις. οὔτε γὰρ ὁ τῷ συμφέροντι ὑπερέχων, ἀξίαν οἴεται τὴν ἡδονὴν ἀντικαταλλάττεσθαι τοῦ συμφέροντος, οὔτε ὁ τῇ ἡδονῇ ὑπερέχων ἀξίαν τῆς ἡδονῆς ἐν τῷ συμφέροντι χάριν ἀπολαμβάνειν. διὸ μᾶλλον αἱ διαφοραὶ ἐν ταῖς τοιαύταις φιλίαις γίνονται. οἱ δὲ ἐν ἀνισότητι φίλοι ὄντες. οἱ μὲν ὑπερέχοντες πλούτῳ ἢ ἄλλῳ τινὶ τοιούτῳ, οὐκ οἴονται δεῖν αὐτοὶ φιλεῖν. ἀλλ' ὑπὸ τῶν ἐνδεεστέρων οἴονται δεῖν αὐτοὶ φιλεῖσθαι. ἔστι δὲ βέλτιον τὸ φιλεῖν ἢ τὸ φιλεῖσθαι. τὸ μὲν γὰρ φιλεῖν ἐνέργειά τις ἡδονῆς καὶ ἀγαθόν. ἀπὸ δὲ τοῦ φιλεῖσθαι, οὐδεμία τῷ φιλουμένῳ ἐνέργεια γίνεται. ἔτι δὲ βέλτιον τὸ γνωρίζειν, ἢ τὸ γνωρίζεσθαι. τὸ μὲν γὰρ γνωρίζεσθαι καὶ τὸ φιλεῖσθαι, καὶ τοῖς ἀψύχοις ὑπάρχει. τὸ δὲ γνωρίζειν καὶ φιλεῖν τοῖς ἐμψύχοις. ἔτι τὸ εὐποιητικὸν εἶναι βέλτιον. ἢ τὸ μή. ὁ μὲν οὖν φιλῶν, εὐποιητικός ἐστι ᾗ φιλεῖ. ὁ δὲ φιλούμενος ᾗ φιλεῖται οὔ. ἀλλ' οἱ ἄνθρωποι διὰ φιλοτιμίαν φιλεῖσθαι μᾶλλον βούλονται ἢ φιλεῖν. διὰ τὸ ἐν τῷ φιλεῖσθαι ὑπεροχήν τινα εἶναι. ἀεὶ γὰρ ὁ φιλούμενος ὑπ-

*Melius esse amare quam amari*

περέχει ἢ δυνάμει ἢ εὐπορίᾳ ἢ ἀρετῇ. ὁ δὲ φιλότιμος τῆς ὑπεροχῆς ὀρέγεται. καὶ οὐκ οἴονται δεῖν αὐτοὶ φιλεῖν οἱ ἐν ὑπεροχῇ ὄντες ἀνταποδιδόναι γὰρ ἐν οἷς ὑπερέχουσι τοῖς φιλοῦσιν αὐτούς. ἔτι δὲ καὶ ἥττους αὐτῶν εἰσι. διὸ οὐκ οἴονται δεῖν φιλεῖν, ἀλλὰ φιλεῖσθαι. ὁ δ' ἐνδεὴς χρημάτων, ἢ ἡδονῶν, ἢ ἀρετῆς, θαυμάζει τὸν ὑπερέχοντα τούτοις, καὶ φιλεῖ, διὰ τούτων ἢ τυγχάνειν ἢ οἴεσθαι τεύξεσθαι. εἰσὶ δὲ καὶ τοιαῦται φιλίαι ἐκ τῆς ὁμοιοπαθείας. ἐκ τοῦ τἀγαθὰ βούλεσθαι τινὶ εἶναι. οὐκ ἔστι δὲ ἡ μία τούτων γινομένη φιλία πάντα ταῦτα ἔχουσα. πολλάκις γὰρ, ἄλλῳ μὲν εἶναι βουλόμεθα τἀγαθά. συζῆν μέντοι μετ' ἄλλου. ἀλλὰ ταῦτα πότερον δεῖ φιλίας εἰπεῖν, ἢ τῆς τελείας φιλίας τῆς κατ' ἀρετὴν, πάθη. ἐν ἐκείνῃ γὰρ τῇ φιλίᾳ πάντα ταῦτα ἐνυπάρχει. καὶ γὰρ συζῆν μετ' οὐδενὸς ἄλλου ἂν θέλοιμεν. καὶ γὰρ τὸ ἡδὺ καὶ τὸ συμφέρον καὶ ἡ ἀρετὴ, τῷ σπουδαίῳ ὑπάρχει καὶ τἀγαθὰ τούτῳ μάλιστα βουλοίμεθ' ἄν, καὶ τὸ ζῆν καὶ τὸ εὖ ζῆν, οὐκ ἄλλῳ τινὶ, ἢ τούτῳ. πότερον δ' ἐστὶν αὑτῷ φιλία καὶ πρὸς αὑτὸν φιλία, ἢ οὔ, νῦν μὲν ἀφείσθω. ὕστερον δ' ἐροῦμεν. πάντα γὰρ βουλόμεθα ἡμῖν αὐτοῖς. καὶ γὰρ συζῆν μεθ' ἡμῶν αὐτῶν βουλόμεθα. ἴσως δὲ τοῦτο καὶ ἀναγκαῖον καὶ τὸ εὖ ζῆν. καὶ τὸ ζῆν. καὶ τὸ βούλεσθαι τἀγαθὸν, οὐκ ἄλλῳ τινί. ἔτι ὁμοιοπαθεῖς ἡμῖν αὐτοῖς μάλιστα ἐσμὲν ἄν. ἐὰν γὰρ προσπταίσωμεν ἢ ἄλλο τι περιπέσωμεν τῶν τοιούτων, εὐθὺς λυπούμεθα. διὸ δόξειεν ἂν οὕτως εἶναι αὐτῷ πρὸς αὑτὸν φιλία. τὰ δὴ τοιαῦτα οἷον τὴν ὁμοιοπάθειαν καὶ τὸ εὖ ζῆν καὶ τὰ ἄλλα ἤτοι εἰς τὴν πρὸς ἡμᾶς αὐτοὺς φιλίαν ἀναφέροντες λέγομεν, ἢ εἰς τὴν τελείαν. ἐν ἀμφοτέραις δὲ πάντα ταῦτα ὑπάρχει. καὶ γὰρ τὸ συζῆν καὶ τὸ εἶναι βούλεσθαι καὶ τὸ εὖ εἶναι καὶ τἆλλα πάντα ἐν αὐταῖς εἰσίν. ἔτι δὲ ἴσως ἂν δόξειεν ἐν οἷς ἐστι δίκαιον, ἐν τούτοις καὶ φιλίαν εἶναι. διὸ καὶ ὅσα περὶ δικαίων εἴδη, τοσαῦτα καὶ φιλιῶν. τὸ δὴ δίκαιόν ἐστι καὶ ξένῳ πρὸς πολίτην, καὶ δούλῳ πρὸς δεσπότην. καὶ πολίτῃ πρὸς πολίτην. καὶ υἱῷ πρὸς πατέρα, καὶ γυναικὶ πρὸς ἄνδρα. καὶ ὅσαι ἁπλῶς ἄλλαι κοινωνίαι καὶ φιλίαι ἐν ἑκάσταις τούτων. βε-



βαιοτάτη δ' ἂν δόξειεν εἶναι τῶν φιλιῶν ἡ ξενική. οὐ γάρ ἐστιν οὐδὲν αὐτοῖς τέλος κοινὸν, ὑπὲρ οὗ ἀμφισβητοῦσιν. οἷον ἐν τοῖς πολίταις. διαμφισβητοῦντες γὰρ πρὸς ἀλλήλους κατὰ τὴν ὑπεροχὴν, οὐ μένουσι φίλοι ὄντες. ἐχόμενον δ' ἂν εἴη νῦν τοῦτ' εἰπεῖν. πότερόν ἐστι πρὸς αὑτὸν φιλία, ἢ οὔ. ἐπεὶ δ' οὖν ὁρῶμεν ὥσπερ καὶ μικρὸν ἐπάνω ἐλέγομεν, ὅτι ἐκ μὲν τῶν καθ' ἕκαστα αὐτοὶ αὑτοῖς ἂν μάλιστα βουλοίμεθα. καὶ γὰρ τἀγαθὰ, καὶ τὸ εἶναι καὶ τὸ εὖ εἶναι. ὁμοιοπαθέστατοι δ' αὐτοῖς ἡμῖν ἐσμὲν καὶ συζῆν τε μεθ' ἑαυτῶν μάλιστα βουλοίμεθα. ὥστ' εἰ μὲν ἐκ τῶν καθ' ἕκαστα γνωρίζεται ἡ φιλία, τὰ δὲ καθ' ἕκαστα ἡμῖν αὐτοῖς ἂν βουλοίμεθα ὑπάρχειν, δῆλόν ἐστι ὡς ἔστι πρὸς αὑτοὺς φιλία ὥσπερ καὶ τὴν ἀδικίαν ἔφαμεν πρὸς αὑτὸν εἶναι. ἐπειδὴ γὰρ ἕτερος μὲν ὁ ἀδικῶν, ἕτερος δὲ ὁ ἀδικούμενος, ὁ αὐτὸς δὲ εἷς ἐστιν ἕκαστος, διὰ τὸ τοιοῦτον οὐκ ἐδόκει εἶναι πρὸς αὑτὸν ἀδικία. ἔστι μέντοι ὡς ἔφαμεν, σκοποῦντες ἐπὶ τῶν τῆς ψυχῆς μερῶν. ἐπειδή ἐστι πλείω. ὅταν ταῦτα μὴ ὁμονοῶσι, τότε εἶναι πρὸς αὑτὸν τὴν ἀδικίαν. ὁμοίως οὖν τούτῳ καὶ ἡ φιλία δόξειεν εἶναι πρὸς αὑτόν. ἐπειδὴ γὰρ ὁ φίλος ἐστὶν ὥς φαμεν, ὅταν βουλώμεθα σφόδρα φίλον εἰπεῖν, μία φαμὲν ψυχὴ, ἡ ἐμὴ καὶ ἡ τούτου. ἐπεὶ οὖν ἐστι τῆς ψυχῆς πλείω μέρη, τότε ἔσται μία ψυχὴ, ὅταν συμφωνῶσι πρὸς ἄλληλα, ὅ τε λόγος καὶ τὰ πάθη, οὕτω γὰρ μία ἔσται. ὥστε μιᾶς γενομένης, ἔσται πρὸς αὑτὸν φιλία. αὕτη δ' ἔσται ἡ πρὸς αὑτὸν φιλία ἐν τῷ σπουδαίῳ. τούτῳ γὰρ μόνῳ τὰ τῆς ψυχῆς εὖ ἔχουσι μέρη πρὸς ἄλληλα. τῷ μὴ διαφέρεσθαι. ἐπεὶ ὅ γε φαῦλος οὐδέποτε ἐστὶν αὐτὸς αὑτῷ φίλος. μάχεται γὰρ ἀεὶ ἑαυτῷ. ὁ γοῦν ἀκρατὴς, ὅταν πράξῃ τι τῶν καθ' ἡδονὴν, μετ' οὐ πολὺ μεταμελεῖται. καὶ κακίζει αὐτὸς αὑτόν. ὁμοίως ἐπὶ τῶν ἄλλων κακιῶν ὁ φαῦλος ἔχει. διατελεῖ γὰρ αὐτὸς αὑτῷ μαχόμενος καὶ ἐναντιούμενος. ἔστι δὲ φιλία καὶ ἐν ἰσότητι. οἷον, ἡ μὲν τῶν ἑταίρων ἐν ἰσότητι ἀριθμῷ καὶ δυνάμει ἀγαθοῦ. οὐδέτερος γὰρ αὐτῶν ἐστιν ἄξιος θατέρου πλέον ἔχειν. οὔτε κατὰ τὸν ἀριθμὸν ἀγαθῶν, οὔτε κατὰ δύναμιν. οὔτε κατὰ μέγεθος, ἀλλὰ τὸ ἴσον. ἴσοι γάρ τινες

*firmissima omnium, amicitia quae cum hospitibus contrahitur*

*An sit homini amicitia erga se ipsum*

ἐθέλουσιν εἶναι οἱ ἑταῖροι. ἐν ἀνισότητι δὲ οἱ πατέρες πρὸς υἱούς·
καὶ ἄρχομενος πρὸς ἄρχοντας· καὶ κρείττονος καὶ χείρονος· καὶ
γυναικὸς καὶ ἀνδρός· καὶ ἁπλῶς ἐν οἷς ἐστιν ὁ τὴν τοῦ χείρονος
καὶ κρείττονος τάξιν ἔχων ἐν τῇ φιλίᾳ. αὕτη γάρ ἐστιν ἡ ἐν
ἀνισότητι φιλία κατὰ λόγον· οὐδέποτε γὰρ ἐπὶ πᾶσι ταὐτὸν δοίη·
οὐδεὶς ἴσον ἂν δοίη τῷ βελτίονι καὶ τῷ χείρονι, ἀλλὰ μεῖζον τῷ
καθ' ὑπεροχὴν ὄντι ἀεί. τοῦτο δ' ἴσον ἐστὶ τῷ λόγῳ ἴσον· γάρ πως
ὁ τὸ ἔλαττον ἔχων ἀγαθὸν χείρων ὢν τῷ μεῖζον ἔχοντι κρείτ-
τονι ὄντι. τῶν δὲ φιλιῶν ἁπασῶν τῶν εἰρημένων τούτων, μάλιστά
πως ἐπιγίνεται τὸ φιλεῖν ἐν τῇ συγγενικῇ· καὶ ταῦτα ἐν τῇ πα-
τρὶ πρὸς υἱόν. καὶ διὰ τί ποτε ὁ πατὴρ τὸν υἱὸν μᾶλλον φιλεῖ, ἢ ὁ υἱὸς
τὸν πατέρα; πότερον ὥσπερ ἔνιοι λέγοντες ὀρθῶς πρὸς γε τοὺς πολ-
λούς, ὅτι ὁ μὲν πατὴρ εὐεργέτηκέ πως τὸν υἱόν, ὁ δ' υἱὸς χάριν ὀφεί-
λει τῆς εὐεργεσίας. αὕτη μὲν οὖν ἡ αἰτία ἐν τῇ κατὰ τὸ συμφέρον
φιλίᾳ δόξειεν ἂν εἶναι. ὥσπερ δὲ καὶ κατὰ τὰς ἐπιστήμας ὁρῶ-
μεν ἔχον, οὕτω πως ἔχει καὶ ἐνταῦθα. λέγω δ' οἷόν ἐστιν· ἔστι μὲν
οὖν τὸ αὐτὸ τέλος τε καὶ ἐνέργεια, καὶ οὐκ ἄλλο τι παρὰ τὴν ἐνέργειαν τέ-
λος· οἷον τῷ αὐλητῇ ἡ αὐτὴ ἐνέργεια καὶ τέλος· τὸ γὰρ αὐλεῖν καὶ τέλος αὐτῷ
ἐστὶ καὶ ἐνέργεια. ἀλλ' οὐ τῇ οἰκοδομικῇ· ἕτερον τέλος παρὰ τὴν
ἐνέργειαν. ἔστιν οὖν ἡ φιλία ἐνέργειά τις· οὐδὲν δέ ἐστιν ἄλλο τέλος
παρὰ τὴν ἐνέργειαν τοῦ φιλεῖν, ἀλλὰ τοῦτο αὐτό. ὁ μὲν οὖν πατὴρ
ἐνεργεῖ πως ἀεὶ μᾶλλον, παρὰ τὸ αὐτοῦ τι εἶναι τὸν υἱόν.
τοῦτο δ' ὁρῶμεν καὶ ἐπὶ τῶν ἄλλων ὂν· πάντες γὰρ πρὸς ὃ ἂν αὐτοὶ
ποιήσωσι, πρὸς τοῦτό πως καὶ εὖνοοί εἰσιν. ὁ οὖν πατὴρ εὐνοεῖ πως
πρὸς τὸν υἱὸν αὐτοῦ ὄντα ποίημα, τῇ μνήμῃ καὶ τῇ ἐλπίδι ἀγό-
μενος. διὸ μᾶλλον φιλεῖ ὁ πατὴρ τὸν υἱόν, ἢ ὁ υἱὸς τὸν πατέρα. ἐπεὶ δὲ καὶ
ὑπὲρ τῶν ἄλλων φιλιῶν τῶν λεγομένων καὶ δοκουσῶν ἐπισκέψασθαι, εἰ
εἰσὶ φιλίαι· οἷον ἡ εὔνοια φιλία δοκεῖ. ἁπλῶς μὲν οὖν οὐκ
ἂν δόξειεν εἶναι ἡ εὔνοια φιλία. πολλοῖς γὰρ πολλάκις ἢ
ἀπὸ τοῦ ἰδεῖν ἢ ἀπὸ τοῦ ἀκοῦσαί τι ὑπέρ τινος ἀγαθόν, εὖνοι γι-
νόμεθα. ἆρ' οὖν ἤδη καὶ φίλοι, ἢ οὔ; οὐ γὰρ εἴ τις ἦν Δαρείῳ εὔνους ἐν Πέρ-

[Q]ur pater amat ma-
gis filium quam filius
patrem:



σαις ὄντι, ὥσπερ ἴσως ἦν, εὐθέως καὶ φιλία ἦν αὐτῷ πρὸς Δα-
ρεῖον. ἀλλ' ἀρχὴ μὲν αὖ ποτε φιλίας ἡ εὔνοια δόξειεν ἂν εἶναι.
γένοιτο δ' ἂν ἡ εὔνοια φιλία, εἰ προσλάβοι βούλησιν τοῦ τἀγα-
θὰ δυνατὸς ὢν πρᾶξαι, πράττειν ἐκείνου ἕνεκεν ᾧ ἐστιν εὔνους.
ἔστι δ' ἡ εὔνοια τοῦ ἤθους καὶ πρὸς τὸ ἦθος. οὐδεὶς γὰρ λέγεται εὔ-
νους οἴνῳ ἢ ἄλλῳ τινὶ τῶν ἀψύχων ἀγαθῶν ἢ ἡδέων. ἀλλ' ἄν
τις ᾖ τὸ ἦθος σπουδαῖος, πρὸς τοῦτο ἡ εὔνοια. οὐκ ἔστι δὲ χωρὶς
τῆς φιλίας ἡ εὔνοια, ἀλλ' ἐν τῷ αὐτῷ· διὸ δοκεῖ φιλία εἶναι.
ἡ δ' ὁμόνοια ἔστι μὲν σύνεγγυς τῇ φιλίᾳ, ἐὰν τὴν ὁμόνοιαν
λέγῃς τὴν κυρίως λεγομένην. εἰ γάρ τις ἐμπεδοκλεῖ ὁμοίως
ὑπολαμβάνει καὶ δοκεῖ αὐτῷ τὰ στοιχεῖα εἶναι ἃ κἀκείνῳ,
ἆρά γε οὗτος ἐμπεδοκλεῖ ὁμονοεῖ, ἢ οὔ; ἐπείπερ ἔτι ἄλλο τι
οὕτως. πρῶτον μὲν γὰρ οὐκ ἔστιν ἡ ὁμόνοια ἐν τοῖς νοητοῖς,
ἀλλ' ἐν τοῖς πρακτικοῖς, καὶ ἐν τούτοις οὐκ ἐννοοῦσι ταὐτόν.
ἀλλ' εἰ ἅμα τῷ τὸ ταὐτὸ νοεῖν, προαίρεσιν ἔχουσι περὶ ἃ νοοῦ-
σιν ἐπὶ ταὐτά. εἰ γὰρ ἐννοοῦσιν ἀμφότεροι ἄρχειν, ἀλλ' ὁ μὲν
αὐτόν, ὁ δ' αὐτὸν, ἆρά γε ἤδη ὁμονοοῦσιν; ἢ οὔ; ἀλλ' εἰ καὶ ἐγὼ ἐμαυ-
τὸν βούλομαι ἄρχειν κἀκεῖνος ἐμέ, οὕτως ἤδη ὁμονοοῦμεν.
ἔστι δὴ ὁμονοεῖν ἐν τοῖς πρακτικοῖς μετὰ βουλήσεως ταὐ-
τοῦ. περὶ ἄρχοντος ἄρα κατάστασιν ἐν τοῖς πρακτικοῖς
τοῦ αὐτοῦ ἐστὶν ἡ ὁμόνοια ἡ κυρίως λεγομένη. ἐπεὶ δ' ἐστὶν
ὥς φαμεν αὐτῷ πρὸς αὐτὸν φιλία, πότερον ὁ σπουδαῖος αὖ
φίλαυτος, ἢ οὔ. ἔστι δὲ φίλαυτος ὁ αὐτοῦ ἕνεκεν πάντα
πράττων ἐν τοῖς κατὰ τὸ λυσιτελές. ὁ μὲν οὖν φαῦλος, φίλαυ-
τος ἐστι· αὐτὸς αὐτοῦ γὰρ ἕνεκεν πάντα πράττει. ἀλλ' οὐχ ὁ
σπουδαῖος· διὰ τοῦτο γάρ ἐστι σπουδαῖος, ὅτι ἄλλου ἕνεκεν τὰ
πράττει. διὸ οὐκ ἔστι φίλαυτος. ἀλλ' ὁρμῶσι μὲν ἅπαντες ἐπὶ
τἀγαθά, καὶ οἴονται αὐτοῖς δεῖν μάλιστα ὑπάρχειν· τοῦτο δ'
ἔστι μάλιστα φανερὸν ἐπὶ πλούτου καὶ ἀρχῆς. ὁ μὲν οὖν
σπουδαῖος ἐκστήσεται τούτων ἄλλῳ, οὐχ ὡς οὐ προσῆκον αὐτῷ

Beneuolentiã n[on]
esse amicitiã sed
principium ad e[am]

Nõ esse beneuoli-
tiam erga inani-
mata ut uinũ &

Empedocles

Concordia quid
& an sit amici-
tia. & circa qu[ae]

An bonus sit φί-
λαυτος

φίλαυτος q[uis]

μάλιστα· ἀλλ' αὖ ὁρᾷ ἄλλον δυμησόμενον μᾶλλον τούτοις αὐτοῦ χρῆσθαι· οἱ δ' ἄλλοι τοῦτο οὐ ποιήσουσι δι' ἀπορίαν· οὐ γὰρ οἴονται κακῶς ἂν χρήσασθαι τοῖς τοιούτοις ἀγαθοῖς· ἢ διὰ φιλοτιμίαν τοῦ ἄρχειν· ὁ δὲ σπουδαῖος ἁδέτερον τούτων πείσεται· διὸ οὐδὲ φίλαυτος κατάγειτοὺ ριαῦτα ἀεὶ θαὶ· ἀλλ' εἰ ἄρα κατὰ τὸ καλόν· τούτου δὲ μόνου ἄλλῳ οὐκαὶ ἐκσαίνει· τὸ δὲ συμφέρον τα ἁδέα ἐκσίσεται· τῷ μὲν δὴ κατὰ τὸ μαλὸν αἵρεσιν φίλαυτος ἔσας· τῷ δὲ κατὰ τὸ συμφέρον ἂν καθδοκῶ λεγομένων, οὐκ ἔσας ὁ σπουδαῖος, ἀλλὰ ὁ φαῦλος· ποτέρον δέ ποτε ὁ σπουδαῖος φιλήσει αὐτὸς ἑαυτὸν μάλιστα, ἢ οὔ· ὅστε μὲν οὖν αὐτὸς αὑτὸν μάλιστα φιλήσει· ὅστε δ' ὡς οὔ· ἐπεὶ δὴ γὰρ φαμὲν τὸν σπουδαῖον ἐκσίσεσθαι τ' ἀεὶ θῶν κατὰ τὸ συμφέρον τῷ φίλῳ, τὸν φίλον αὐτὸν μᾶλλον φιλήσει; μαί· ἀλλ' ἢ τούτων ὄντων ὅστε μὲν τῷ φίλῳ ἢ αὐτῷ τὸ καλὸν πρεῖ ποιεῖται, τοῦτ' ἐκ ἐξίσεται τοῖς τ' ριστων· ὅστε μὲν δὴ ὡς τὸν φίλον αὐτὸς αὑτὸν φιλεῖ· ὅστε δ' ὡς αὐτὸς αὑτὸν μάλιστα· κ μὲν δὴ τὸ συμφέρον, τὸν φίλον· κ δὲ τὸ καλὸν μὴ ἀεὶ θὲν, αὐτὸς μάλιστα· αὐτῷ δὲ ταῦτα πρεπρεῖ εἶναι καλλιστα ὄντα· ὅστε μὲν δὴ φιλάθαθος, οὐ φίλαυτος· μόνον γὰρ εἴπερ φιλεῖ αὐτὸς ἑαυτὸν ὅτι ἀγαθός· ὁ δὲ φαῦλος, φίλαυτος· οὐδὲν γὰρ ἔχει· διὸ φιλήσει αὐτὸς ἑαυτὸν, οἷον καλόν τι· ἀλλ' αὖ τούτων αὐτὸς ἑαυτὸν φιλήσει ἢ αὐτός· διὸ καὶ οὕτως αὖ κυρίως λέγεται φίλαυτος.

Ἐχόμενον δ' αὖ εἴη ὑπερ αὐταρκείας καὶ τοῦ αὐτάρκους· πότερον αὐτάρκης προσδήσεται φιλίας, ἢ ὁ· ἀλλ' αὐτὸς ἑαυτῷ αὐτάρκης ἔσας, καὶ κατὰ τοῦτο· λέγεται γὰρ οἱ αὐτα ἡδοί πη ταί· ὅταν δὲ δαίμων ὢν ἢ θεῶν, τί, δεῖ φίλων; ὅθεν ἡ ἀπορία γίνεται, πότερ ὅτι ὁ τὰ μὲν πατὰ χθὲ ἔχων ἢ ὢν αὐτάρκης, προσδήσεται φίλου· ἢ τότε καὶ μάλιστα· τίνα γὰρ δεῖ ποιήσει ἢ μεταῦτοῦ συμβιώσεται· οὐ γὰρ δὴ μόνος γε διάξαι εἰ τούτων δήσεται· ταῦτα δὲ μὴ ἐνδέχεται αὖ φιλίας, προσδέοι τὰν ὁ αὐτάρ-

φιλάυτος οὐ φίλαυτος virtuosus, malus autem φίλαυτος

An felix indigeat amicitia. 1. αὐτάρκης omnia habet. cui nihil deest

αὐτάρκης gd ἡ αὐτάρκεια



κους αὐτάρκης φιλίας ἢ μὴ δὲ οὖν ἐν τοῖς λόγοις εἰωθῶμεν ὁμοιότητος λαμβάνεσθαι ἐκ τοῦ θεοῦ οὔτε κεῖ ὀρθῶς· οὔτε τὰν ἐνταῦθα εἰκ χρήσιμος· οὐ γὰρ εἰ θεὸς ὄστι αὐτάρκης καὶ μηδενὸς δεῖται, διὰ τοῦ τὸν δ' ἡμεῖς οὐδενὸς δεησόμεθα· ὅστι γὰρ καὶ τοιοῦτός τις λόγος ἐστὶ τοῦθεῖ λεγόμενος· ἐπεὶ γὰρ φησι πάντα ἔχει τὰ ταθὰ ὁ θεὸς καὶ ὅτι αὐτάρκης τί ποιήσει· οὐ γὰρ καθδήσει· θεάσεται δὴ τὸ φησιν· τοῦτο γὰρ κάλλιστον καὶ οἰκειότατον· τί οὖν θεάσεται· εἰ μὲν γὰρ ἄλλό τι θεάσεται, βέλτιον θεάσεται τι αὐτοῦ· ἀλλὰ τοῦτ' ἄτοπον· τὸ γὰρ θεᾶ ἄλλό τι εἶναι βέλτιον· αὐτὸς ἑαυτὸν ἄρα θεάσεται· ἀλλ' ἄτοπον· ἢ ὁ αὐτὸς ὁς αὐ αὐτὸς ἑαυτὸν κατασκοπῆται, ὡς αὐ αἰσθήτῳ ὢν τιμῶμεν· ἄτοπον δὴ ὄστι εἰ ὁ θεὸς φησιν ἔσας αὐτὸς ἑαυτὸν θεῶ μόνος τι μὴ ἂν ὁ θεὸς θεάσε), ἀφείθω· ὑπερ ἢ φιλ αὐταρκείας ὁ τῆς τοῦ θεοῦ τλεπωσκεψιν πρὸ μεθα, ἀλλ' αὖθρωπίνης· πότερ ὁ αὐτάρκης δεήσεται φιλίας, ἢ ὁ· εἰ δή τις ἐστὶ τὸν φίλ ὢν ὠφελέ ψας ἴδοι τί ὅστιν, ἡδόπρ ἂν ὁ σπουδαῖος φίλος, πρὸ ὁ τερος εἶναι ἐμῷ· αὖτε καὶ σφόδρα φίλον πρὸ ἡσης, ὥπερ τὸ λεγόμενον ἄλλος ὅτις ἡρακλῆς· ἄλλος φίλος ἐμοὶ ἐστὶ· δῆλον δὲ ὅστι ὁ χαλεπώτατον ὥσπερ ὁ τῶν σοφῶν τινες εἰρήκασι τὸ γνῶναι αὐτὸν, ὁ ἥδιστον· τὸ δὲ αὐτὸν εἰδέναι ἢ δύ· αὐτοῖ μὲν δὴ αὐτοὺς ἐξ αὐτῶ δῶμεν ἀμεθα θεάσασθαι· ὅτι δ' αὐτοὶ αὐτοὺς οὐδύ ἀμεθα, δῆλον ἐξ ὧν ἄλλοις ἐσπιμῶμεν· αὐτοὶ δὲ μανθάνομεν ταῦτα πρὸ ὄντες· τοῦτο δὲ γίνεται δ' ὁμοίαν ἢ διὰ πάθος· πολλοῖς δὲ ἡμῶν ταῦτα ἐσκοτεῖ πρὸς τὸ κεῖνα ὀρθῶς· ὥσπερ οὖν ὅταν θέλωμεν αὐτοὶ αὐτῶν τὸ πρόσωπον ἰδεῖν, εἰς τὸ κάτοπτρον ἐμβλέψαντες ἰδῶμεν, ὁμοίως καὶ ὅταν αὐτοὶ αὐτοὺς βουληθῶμεν γνῶναι, εἰς τὸν φίλον ἰδόντες, γνωείσαι μὲν αὐ· ὅστι γὰρ ὡς φαμὲν ὁ φίλος ἕτερος ἐγώ· εἰ οὖν ἢ δὲ μὲν αὐ τὸ αὐτὸν εἰδέναι· τοῦτο δ' οὐκ ὄστιν εἰδέναι αὖλλου φίλου· δέοι τᾶν ὁ αὐτάρκης φιλίας· πρὸς τὸ αὐτὸς αὐτὸν γνωείζειν τι δὲ εἰ πέρ ὄστι καλοῦ

Similitudine quæ capitur a deo. N

Hæc ratio & præcedens videtur eo tendere ut ostendat nos esse deos

Difficillimus locus.

Ἄλλος φίλος ἕτερος ἐγώ.

λάμβανομεν

ἄλλος οὗτος ἡρακλῆς. ἄλλος φίλος ἐγώ.

ὥσπερ ἐστὶ τὸ εὖ ποιεῖν ἔχοντα τὰ περὶ τῆς ψυχῆς ἀγαθά. τίνα εὖ
ποιήσει. μετὰ τίνος τε συμβιώσεται. οὐ γὰρ μόνος γε διάξει. τὸ γὰρ συμ-
βιοῦν, ἡδὺ καὶ ἀναγκαῖον. εἰ γοῦν ταῦτα καλὰ καὶ ἡδέα καὶ ἀνα-
γκαῖα, ταῦτα δὲ μὴ ἐνδέχεται εἶναι ἄνευ φιλίας. προσδέοιτ' ἂν καὶ
ὁ αὐτάρκης, φιλίας. Πότερον δὲ πολλοὺς κτητέον φίλους, ἢ ὀλί-

An expediat multos amicos habere

γους. οὔτε δὴ πολλοὺς ὡς ἁπλῶς εἰπεῖν. οὔτ' ὀλίγους δεῖ. ἀεί. πολ-
λῶν μὲν γὰρ ὄντων, ἔργον ἐφ' ἕκαστον μερίσαι τὸ φιλεῖν. ἐφ' ἁ-
πάντων γὰρ καὶ τῶν ἄλλων ἀδυνατεῖ ἡμῶν ἡ φύσις ἀσθενὴς
οὖσα πρὸς τὸ ἐπὶ πολὺ ἀφικνεῖσθαι. οὔτε γὰρ τῇ ὄψει ἐπὶ πολὺ ὁρῶμεν.
ἀλλ' ἐὰν πλέον ἀποστήσῃς τοῦ συμμέτρου, ἐλλείπει διὰ τὴν ἀσθένειαν
τῆς φύσεως. οὔτε τῇ ἀκοῇ, οὔτ' ἐπὶ τῶν ἄλλων. ὁμοίως ἐπὶ πάντων
ἐλλείπων οὖν τῷ φιλεῖν δι' ἀδυναμίαν, καὶ ἔγκλημα πάντως ἔχοι
δικαίως. καὶ οὐκ ἂν εἴη φίλος μὴ φιλῶν γε, ἀλλ' ἢ τῷ γε λόγῳ. ἡ δὲ
φιλία, οὐ τοῦτο βούλεται. ἔτι ἂν ὦσι πολλοί, οὐκ ἔστι παύσασθαι λυ-
πούμενον. πολλῶν γὰρ ὄντων, εἰκὸς ἀεὶ περὶ ἕνα γέ τινα συμβαί-
νειν τι ἀτύχημα. ὧν γινομένων ἀναγκαῖον λυπεῖσθαι. οὔτ' αὖ πά-
λιν ὀλίγους, ἕνα ἢ δύο. ἀλλὰ συμμέτρους τῷ καιρῷ καὶ τῇ αὐτοῦ
ὁρμῇ πρὸς τὸ φιλεῖν. Μετὰ δὲ ταῦτα εἴη σκεπτέον πῶς δεῖ

Quomodo oportet uti amico.

φίλῳ χρῆσθαι. ἔστι δ' οὐκ ἐν ἁπάσῃ φιλίᾳ ἡ σκέψις. ἀλλ' ἐν ᾗ μά-
λιστα ἐγκαλοῦσιν ἀλλήλοις οἱ φίλοι. οὐκ ἐγκαλοῦσι δ' ἐν ταῖς
ἄλλαις ὁμοίως, οἷον ἐν τῇ πατρὸς πρὸς υἱὸν οὐκ ἔστιν ἔγκλημα
τοιοῦτον, οἷον ἀξιοῦσιν ἐν ἐνίαις ὥσπερ ἐγὼ σοί. οὕτω καὶ σὺ ἐ-
μοί. εἰ δὲ μή, ἐνταῦθα τὸ σφοδρὸν ἔγκλημα. ἐν δὲ ἀνίσοις φίλοις
οὐκ ἔστι τὸ ἴσον. ἔστι δὲ ἡ πατρὸς πρὸς υἱὸν φιλία ἐν ἀνίσῳ. ὁμοίως
ἡ γυναικὸς πρὸς ἄνδρα. ἢ οἰκέτου πρὸς δεσπότην. καὶ ὅλως δὲ
χείρονος καὶ βελτίονος. οὐχ ἕξουσι γὰρ τὰ τοιαῦτα ἐγκλήματα.
ἀλλ' ἐν τοῖς ἴσοις φίλοις καὶ τῇ ἐν αὐτῇ φιλίᾳ, τὸ τοιοῦτον ἐστὶν
ἔγκλημα. ὥστε σκεπτέον ἂν εἴη τό, πῶς δεῖ χρῆσθαι φίλῳ ἐν τῇ
ἐν ἴσοις φίλοις φιλίᾳ :~

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ἨΘΙΚΩ͂Ν ΜΕΓΆΛΩΝ, ΤΈΛΟΣ

ὥσπερ ἐγὼ σοί, οὕτω καὶ σὺ ἐμοί.
ut illud Horatij. Vt tu fortunam
sic nos te marce feremus. —/

:. ἥδιστον ut statim



# ἈΡΙΣΤΟΤΈΛΟΥΣ ἨΘΙΚΩ͂Ν ΕὐΔΗΜΊΩΝ, ΤῸ Α'.

Inscriptio cuius a in templi apollinis delij uestibul. cui non consentit aristoteles

Ὁ μὲν ἐν Δήλῳ παρὰ τῷ θεῷ τὴν αὑτοῦ
γνώμην ἀποφηνάμενος, συνέγραψεν
ἐπὶ τὸ προπύλαιον τοῦ Λητῴου δι-
ελὼν οὐχ ὑπάρχοντα πάντα τῷ αὐ-
τῷ, τό, τε ἀγαθὸν καὶ τὸ καλὸν καὶ τὸ
ἡδύ, ποιήσας κάλλιστον τὸ δικαιότα-
τον. λῷστον δ' ὑγιαίνειν. πάντων δ' ἥδι-
στον οὗ τις ἐρᾷ τὸ τυχεῖν. ἡμεῖς δ' αὐτῷ μὴ συγχωρῶμεν. ἡ γὰρ εὐ-
δαιμονία κάλλιστον καὶ ἄριστον ἁπάντων οὖσα, ἥδιστόν ἐστι. πολ-
λῶν δ' ὄντων θεωρημάτων, ἃ περὶ ἕκαστον πρᾶγμα καὶ περὶ ἑ-
κάστην φύσιν ἀπορίαν ἔχει καὶ δεῖται σκέψεως, τὰ μὲν αὐτῶν
συντείνει πρὸς τὸ γνῶναι μόνον. τὰ δὲ καὶ περὶ τὰς κτήσεις καὶ
περὶ τὰς πράξεις τοῦ πράγματος. ὅσα μὲν οὖν ἔχει φιλοσο-
φίαν μόνον θεωρητικήν, λεκτέον κατὰ τὸν ἐπιβάλλοντα και-
ρὸν ὅ τι περ οἰκεῖον ἦν τῇ μεθόδῳ. πρῶτον δὲ σκεπτέον ἐν τίνι
τὸ εὖ ζῆν καὶ πῶς κτητόν. πότερον φύσει γίνονται πάντες εὐδαί-
μονες οἱ τυγχάνοντες ταύτης τῆς προσηγορίας ὥσπερ μεγά-
λοι καὶ μικροὶ καὶ τὴν χροιὰν διαφέροντες, ἢ διὰ μαθήσεως
ὡς οὔσης ἐπιστήμης τινὸς τῆς εὐδαιμονίας. ἢ διά τινος ἀσκή-
σεως. πολλὰ γὰρ οὔτε κατὰ φύσιν. οὔτε μαθοῦσι ἀλλ' ἐθισθεῖ-
σιν ὑπάρχει τοῖς ἀνθρώποις. φαῦλα μὲν τοῖς φαύλοις ἐθισθεῖσι.
χρηστὰ δὲ τοῖς χρηστοῖς. ἢ τούτων μὲν καὶ οὐδένα τῶν τρόπων,

ΔΔΔΔ

νυμφόληπτοι
θεόληπτοι

δυοῖν δὲ θάτερον, ἤτοι καθάπερ οἱ νυμφόληπτοι καὶ θεόληπτοι τῶν ἀνθρώπων ἐπιπνοίᾳ δαιμονίου τινὸς ὥσπερ ἐνθουσιάζοντες, ἢ διὰ τύχην. πολλοὶ γὰρ ταυτό φασιν εἶναι τὴν εὐδαιμονίαν καὶ τὴν εὐτυχίαν. ὅτι μὲν οὖν ἡ παρουσία διὰ τούτων ἁπάντων ἢ τινῶν ἢ τινὸς ὑπάρχει τοῖς ἀνθρώποις, οὐκ ἄδηλον. ἅπασαι γὰρ αἱ γενέσεις σχεδὸν πίπτουσιν εἰς ταύτας τὰς ἀρχάς. καὶ γὰρ τὰς ἀπὸ τῆς διανοίας ἁπάσας πρὸς τὰς ἀπὸ τῆς ἐπιστήμης ἄν τις συνάψειε πράξεις. τὸ δ' εὐδαιμονεῖν καὶ τὸ ζῆν μακαρίως καὶ καλῶς εἴη ἂν ἐν τρισὶ μάλιστα τοῖς εἶναι δοκοῦσιν αἱρετωτάτοις. οἱ μὲν γὰρ τὴν φρόνησιν μέγιστον εἶναί φασιν ἀγαθόν. οἱ δὲ τὴν ἀρετήν. οἱ δὲ τὴν ἡδονήν. καὶ πρὸς τὴν εὐδαιμονίαν ἔνιοι περὶ τοῦ μεγέθους αὐτῶν διαμφισβητοῦσι. συμβάλλεσθαι φάσκοντες θάτερον θατέρου μᾶλλον εἰς αὐτήν. οἱ μὲν ὡς οὖσαν μείζον' ἀγαθὸν τὴν φρόνησιν τῆς ἀρετῆς. οἱ δὲ ταύτης τὴν ἀρετήν. οἱ δ' ἀμφοτέρων τούτων τὴν ἡδονήν. καὶ τοῖς μὲν ἐκ πάντων δοκεῖ τούτων. τοῖς δ' ἐκ δυοῖν. τοῖς δ' ἐν ἑνί τινι τούτων εἶναι τὸ ζῆν εὐδαιμόνως. περὶ δὴ τούτων ἐπιστήσαντας ἅπαντα τὸν δυνάμενον ζῆν κατὰ τὴν αὑτοῦ προαίρεσιν θέσθαι τινὰ σκοπὸν τοῦ καλῶς ζῆν, ἤτοι τιμὴν, ἢ δόξαν ἢ πλοῦτον ἢ παιδείαν. πρὸς ὃν ἀποβλέπων, ποιήσεται πάσας τὰς πράξεις. ὡς τό γε μὴ συντετάχθαι τὸν βίον πρός τι τέλος, ἀφροσύνης πολλῆς σημεῖόν ἐστι.

μάλιστα δὴ δεῖ πρῶτον ἐν αὑτῷ διορίσασθαι, μήτε προπετῶς μήτε ῥᾳθύμως ἐν τίνι τῶν ἡμετέρων τὸ ζῆν εὖ. καὶ τίνων ἄνευ τοῖς ἀνθρώποις οὐκ ἐνδέχεται τοῦθ' ὑπάρχειν. οὐ γὰρ ταυτὸν ὧν τ' ἄνευ οὐχ οἷόν τε ὑγιαίνειν, καὶ τὸ ὑγιαίνειν. ὁμοίως δ' ἔχει τοῦτο, καὶ ἐφ' ἑτέρων πολλῶν. ὥστε οὐδὲ τὸ ζῆν καλῶς καὶ ὧν ἄνευ οὐ δυνατὸν ζῆν καλῶς. ἔστι δὲ τῶν τοιούτων τὰ μὲν οὐκ ἴδια τῆς ὑγιείας οὐδὲ τῆς ζωῆς, ἀλλὰ κοινὰ πάντων ὡς εἰπεῖν καὶ τῶν ἕξεων καὶ τῶν πράξεων. οἷον ἄνευ τοῦ ἀναπνεῖν ἢ ἐγρηγορέναι ἢ κινήσεως μετέχειν, οὐθὲν ἂν ὑπάρξειεν ἡμῖν, οὔτ' ἀγαθὸν οὔτε κακόν. τὰ δ' ἴδια



μᾶλλον



μᾶλλον περὶ ἑκάστων φύσιν. ἃ δεῖ μὴ λανθάνειν. οὐδ' ὁμοίως οἰκεῖον πρὸς εὐεξίαν τοῖς εἰρημένοις κρεωφαγία καὶ τῶν περιπάτων οἱ μετὰ δεῖπνον. ἔστι γὰρ ταῦτ' αἴτια τῆς ἀμφισβητήσεως περὶ τοῦ εὐδαιμονεῖν τί ἐστι. καὶ γίνεται διὰ τίνων. ὧν ἄνευ γὰρ οὐχ οἷόν τε εὐδαιμονεῖν, ἔνιοι μέρη τῆς εὐδαιμονίας εἶναι νομίζουσι. πάσας μὲν οὖν τὰς δόξας ἐπισκοπεῖν, ὅσας ἔχουσί τινες περὶ αὐτῆς, περίεργον. πολλὰ γὰρ φαίνεται καὶ τοῖς παιδαρίοις καὶ τοῖς κάμνουσι καὶ παραφρονοῦσι. περὶ ὧν ἂν οὐθεὶς νοῦν ἔχων διαπορήσειε. δέονται γὰρ οὐ λόγων. ἀλλ' οἱ μὲν ἡλικίας ἐν ᾗ μεταβαλοῦσιν. οἱ δὲ κολάσεως ἰατρικῆς ἢ πολιτικῆς. κόλασις γὰρ ἡ φαρμακεία τῶν πληγῶν οὐκ ἐλάττων ἐστίν. ὁμοίως δὲ ταύταις οὐδὲ τὰς τῶν πολλῶν. εἰκῇ γὰρ λέγουσι σχεδὸν περὶ ἁπάντων καὶ μάλιστα περὶ … ἐπισκεπτέον μόνας. ἄτοπον γὰρ προσφέρειν λόγον τοῖς λόγου μηδὲν δεομένοις, ἀλλὰ πάθους. ἐπεὶ δ' εἰσὶν ἀπορίαι περὶ ἑκάστην πραγματείαν οἰκεῖαι, δῆλον ὅτι καὶ περὶ βίου τοῦ κρατίστου καὶ ζωῆς τῆς ἀρίστης εἰσί. ταύτας οὖν καλῶς ἔχει τὰς δόξας ἐξετάζειν. οἱ γὰρ τῶν ἀμφισβητούντων ἔλεγχοι, τῶν ἐναντιουμένων αὐτοῖς λόγων ἀποδείξεις εἰσίν. ἔτι δὲ πρὸ ἔργου τὸ τοιαῦτα μὴ λανθάνειν, μάλιστα πρὸς ἃ δεῖ συντείνειν πᾶσαν σκέψιν ἐκ τίνων ἐνδέχεται μεταχεῖν τοῦ εὖ καὶ καλῶς ζῆν, εἰ τὸ μακαρίως ἐπιφθονώτερον εἰπεῖν. καὶ πρὸς τὴν ἐλπίδα τὴν περὶ ἕκαστα γενομένην ἂν τῶν ἐπιεικῶν. εἰ μὲν γὰρ ἐν τοῖς διὰ τύχην γινομένοις ἢ τοῖς διὰ φύσιν τὸ καλῶς ζῆν ἐστιν, ἀνέλπιστον ἂν εἴη πολλοῖς. οὐ γάρ ἐστι δι' ἐπιμελείας ἡ κτῆσις, οὐδ' ἐπ' αὐτοῖς, οὐδὲ τῆς αὐτῶν πραγματείας. εἰ δ' ἐν τῷ αὐτὸν ποιόν τινα εἶναι καὶ τὰς κατ' αὐτὸν πράξεις, κοινότερον ἂν εἴη τὸ ἀγαθὸν καὶ θειότερον. κοινότερον μὲν τῷ πλείοσιν ἐνδέχεσθαι μεταχεῖν. θειότερον δὲ τῷ κεῖσθαι τὴν εὐδαιμονίαν τοῖς αὑτοὺς παρασκευάζουσι ποιούς τινας καὶ τὰς πράξεις. ἔσται δὲ φανερὰ τὰ

πρὸ ἔργου

πλεῖστα τῶν ἀμφισβητουμένων καὶ διαπορουμένων, ἂν καλῶς ὁρισθῇ τί χρὴ νομίζειν εἶναι τὴν εὐδαιμονίαν· πότερον ἐν τῷ ποιόν τινα μόνον εἶναι τὴν ψυχήν, καθάπερ τινὲς ᾠήθησαν τῶν σοφῶν καὶ πρεσβυτέρων, ἢ δεῖ μὲν καὶ ποιόν τινα ὑπάρχειν αὐτόν, μᾶλλον δὲ δεῖ τὰς πράξεις εἶναι ποιάς τινας. διῃρημένων δὲ τῶν βίων, οἱ μὲν οὐδ' ἀμφισβητοῦσι τῆς τοιαύτης εὐημερίας, ἀλλ' ὡς τῶν ἀναγκαίων χάριν σπουδαζομένων, οἷον οἱ περὶ τὰς τέχνας τὰς φορτικὰς καὶ τοὺς περὶ χρηματισμὸν καὶ τὰς βαναύσους. λέγω δὲ φορτικὰς μὲν τὰς πρὸς δόξαν πραγματευομένας μόνον, βαναύσους δὲ τὰς ἑδραίας καὶ μισθαρνικάς, χρηματιστικὰς δὲ τὰς πρὸς ἀγορὰς μὲν καὶ πράσεις καπηλικάς. οὕτως εἰς ἀγωγὴν εὐδαιμονικὴν ταττομένων τριῶν, τῶν καὶ πρότερον ἐν θέντων ἀγαθῶν ὡς μεγίστων, ἀρετῆς καὶ φρονήσεως καὶ ἡδονῆς, τρεῖς ὁρῶμεν καὶ βίους ὄντας, οὓς οἱ ἐπ' ἐξουσίας τυγχάνοντες προαιροῦνται ζῆν ἅπαντες, πολιτικὸν, φιλόσοφον, ἀπολαυστικόν. τούτων γὰρ ὁ μὲν φιλόσοφος βούλεται περὶ φρόνησιν εἶναι καὶ τὴν θεωρίαν τὴν περὶ τὴν ἀλήθειαν. ὁ δὲ πολιτικὸς περὶ τὰς πράξεις τὰς καλάς. αὗται δ' εἰσὶν αἱ ἀπὸ τῆς ἀρετῆς. ὁ δ' ἀπολαυστικὸς περὶ τὰς ἡδονὰς τὰς σωματικάς. διόπερ ἕτερον τὸν εὐδαίμονα προσαγορεύει, καθάπερ ἐλέχθη καὶ πρότερον. Ἀναξαγόρας μὲν ὁ κλαζομένιος ἐρωτηθεὶς τίς ὁ εὐδαιμονέστατος, οὐθεὶς εἶπεν ὧν σὺ νομίζεις. ἀλλ' ἄτοπος ἄν τίς σοι φανείη. τοῦτον δ' ἀπεκρίνατο τὸν τρόπον ἐκεῖνος ὁρῶν τὸν ἐρόμενον ἀδύνατον ὑπολαμβάνοντα μὴ μέγαν ὄντα καὶ καλὸν ἢ πλούσιον, ταύτης τυγχάνειν τῆς προσηγορίας. αὐτὸς δ' ἴσως ᾤετο τὸν ζῶντα ἀλύπως καὶ καθαρῶς πρὸς τὸ δίκαιον, ἤ τινος θεωρίας κοινωνοῦντα θείας, τοῦτον ὡς ἄνθρωπον εἰπεῖν μακάριον εἶναι. περὶ πολλῶν μὲν οὖν καὶ ἑτέρων οὐ ῥᾴδιον τὸ κρῖναι καλῶς. μάλιστα δὲ περὶ οὗ ῥᾷστον εἶναι δοκεῖ καὶ παντὸς αὐτοῦ γνῶναι, τί τῶν ἐν τῷ ζῆν αἱρετόν, καὶ λαβὼν ἄν τις ἔχοι πλήρη τὴν

ἐπιθυμίαν.

φορτικαί

βάναυσοι

χρηματιστικαί

βίος

φιλόσοφος

πολιτικός

ἀπολαυστικός

Anaxagoras



ἐπιθυμίαν. πολλὰ γάρ ἐστι τοιαῦτα τῶν ἀποβαινόντων, δι' ἃ προΐενται τὸ ζῆν, οἷον νόσους, περιωδυνίας, χειμῶνας. ὥστε δῆλον ὅτι κἂν ἐξ ἀρχῆς αἱρετὸν ἦν, εἴ τις αἵρεσιν ἐδίδου, διά γε ταῦτα, τὸ μὴ γενέσθαι. πρὸς δὲ τούτοις ὁ βίος ὃν ἔτι ζῶσιν ἔτι παῖδες ὄντες. καὶ γὰρ ἐπὶ τοῦτον ἀνακάμψαι πάλιν οὐδεὶς ἂν ὑπομείνειεν εὖ φρονῶν. ἔτι δὲ πολλὰ τῶν τε μηδεμίαν ἐχόντων μὲν ἡδονὴν ἢ λύπην, καὶ τῶν ἐχόντων μὲν ἡδονὴν μὴ καλὴν δὲ, τοιαῦτ' ἐστὶν, ὥστε τὸ μὴ εἶναι κρεῖττον εἶναι τοῦ ζῆν. ὅλως δ' εἴ τις ἅπαντα συναγάγοι, ὅσα πράττουσι μὲν καὶ πάσχουσιν ἅπαντες ἑκόντες μὲν τοι μηδενὸς αὐτῶν, διὰ τὸ μηδ' αὐτοῦ χάριν, καὶ προσθείη χρόνου πλῆθος ἀπέραντόν τι, μᾶλλον ἕνεκα τις τούτων ἕλοιτο ζῆν, ἢ μὴ ζῆν. ἀλλὰ μὴν οὐδὲ διὰ τὴν τῆς τροφῆς μόνον ἡδονὴν ἢ τὴν τῶν ἀφροδισίων, ἀφαιρεθεισῶν τῶν ἄλλων ἡδονῶν, ἃς τὸ γινώσκειν ἢ βλέπειν ἢ τῶν ἄλλων τις αἰσθήσεων πορίζοιτο τοῖς ἀνθρώποις, οὐδ' ἂν εἷς προτιμήσειε τὸ ζῆν, μὴ παντελῶς ὢν ἀνδράποδον. δῆλον γὰρ ὅτι τῷ ταύτην ποιουμένῳ τὴν αἵρεσιν, οὐθὲν ἂν διενέγκοι γενέσθαι θηρίον ἢ ἄνθρωπον. ὁ γοῦν ἐν αἰγύπτῳ βοῦς, ὃν ὡς ἆπιν τιμῶσιν, ἐν πλείοσι τῶν τοιούτων ἐξουσιάζει πολλῶν μοναρχῶν. ὁμοίως δὲ οὐδὲ διὰ τὴν τοῦ καθεύδειν ἡδονήν. τί γὰρ διαφέρει καθεύδειν ἀνέγερτον ὕπνον ἀπὸ τῆς πρώτης ἡμέρας μέχρι τῆς τελευταίας ἐτῶν ἀριθμὸν χιλίων ἢ ὁποσωνοῦν, ἢ ζῆν ὄντα φυτόν. τὰ γοῦν φυτὰ τοιαύτης τινὸς ἔοικε μετέχειν ζωῆς, ὥσπερ καὶ τὰ παιδία. καὶ γὰρ ταῦτα κατὰ τὴν πρώτην ἐν τῇ μητρὶ γένεσιν πεφυκότα μὲν διατελεῖ, καθεύδοντα δὲ τὸν πάντα χρόνον. ὥστε φανερὸν ἐκ τῶν τοιούτων ὅτι διαφεύγει σκοποῦντας τί τὸ εὖ καὶ τί τὸ ἀγαθὸν τὸ ἐν τῷ ζῆν. τὸν μὲν οὖν ἀναξαγόραν φασὶν ἀποκρίνασθαι πρός τινα διαποροῦντα τοιαῦτ' ἄττα καὶ διερωτῶντα, τίνος ἕνεκ' ἄν τις ἕλοιτο γενέσθαι μᾶλλον ἢ μὴ γενέσθαι, τοῦ φάναι θεωρῆσαι τὸν οὐρανὸν καὶ τὴν περὶ τὸν ὅλον κόσμον τάξιν. οὗτος μὲν οὖν ἐπιστήμης τινὸς ἕνεκεν τὴν αἵρεσιν ᾤετο τιμίαν εἶναι.

Nemo sapiens u
let regredi ad i
fantiam. Hoc idi
& cicero in Cator
maiore

Apis bos ægypt

Anaxagoras

Anaxagoræ pu
cherrimu dict

Sardanapalus

Smindyrides

τοῦ ζῆν. οἱ δὲ, σαρδανάπαλον μακαρίζοντες ἢ σμινδυρίδην τὸν συβαρίτην, ἢ τῶν ἄλλων τινὰς τῶν ζώντων τὸν ἀπολαυστικὸν βίον. οὗτοι δὲ πάντες ἐν τῷ χαίρειν φαίνονται τάττειν τὴν εὐδαιμονίαν. ἕτεροι δέ τινες οὔτ᾽ ἂν φρόνησιν οὐδεμίαν, οὔτε τὰς σωματικὰς ἡδονὰς ἕλοιντο μᾶλλον, ἢ τὰς πράξεις τὰς ἀπ᾽ ἀρετῆς. αἱροῦνται γοῦν οὐ μόνον ἔνιοι δόξης χάριν αὐτὰς ἀλλὰ καὶ μὴ μέλλοντες εὐδοκιμήσειν. ἀλλ᾽ οἱ πολλοὶ τῶν πολιτικῶν, οὐκ

Politici qui debeat appellari

ἀληθῶς τυγχάνουσι τῆς προσηγορίας. οὐ γάρ εἰσι πολιτικοὶ κατὰ τὴν ἀλήθειαν. ὁ μὲν γὰρ πολιτικὸς, τῶν καλῶν ἐστι πράξεων προαιρετικὸς, αὐτῶν χάριν. οἱ δὲ πολλοὶ χρημάτων καὶ πλεονεξίας ἕνεκεν, ἅπτονται τοῦ ζῆν οὕτως. ἐκ μὲν οὖν τῶν εἰρημένων φανερὸν, ὅτι πάντες ἐπὶ τρεῖς βίους φέρουσι τὴν εὐδαιμονίαν, πολιτικὸν, φιλόσοφον, ἀπολαυστικόν. τούτων δ᾽ ἡ μὲν περὶ τὰ σώματα καὶ τὰς ἀπολαύσεις ἡδονὴ, καὶ τίς καὶ ποία τις γίνεται καὶ διὰ τίνων, οὐκ ἄδηλον. ὥστ᾽ οὐ τίνες εἰσὶ δεῖ ζητεῖν αὐτάς. ἀλλ᾽ εἰ συντείνουσί τι πρὸς εὐδαιμονίαν, ἢ μή. καὶ πῶς συντείνουσι. καὶ πότερον εἰ δεῖ προσάπτειν τῷ ζῆν καλῶς ἡδονάς, ταύτας δεῖ προσάπτειν, ἢ τούτων μὲν ἄλλον τινὰ τρόπον ἀνάγκη κοινωνεῖν, ἕτεραι δ᾽ εἰσὶν ἡδοναὶ δι᾽ ἃς εὐλόγως οἴονται τὸν εὐδαίμονα ζῆν ἡδέως καὶ μὴ μόνον ἀλύπως. ἀλλὰ περὶ μὲν τούτων ὕστερον ἐπισκεπτέον, περὶ δ᾽ ἀρετῆς καὶ φρονήσεως, πρῶτον θεωρήσωμεν τήν τε φύσιν αὐτῶν ἑκατέρου τίς ἐστι. καὶ πότερον μόρια ταῦτα τῆς ἀγαθῆς ζωῆς ἐστιν, ἢ αὐτὰ ἢ αἱ πράξεις αἱ ἀπ᾽ αὐτῶν. ἐπειδὴ προσάπτουσιν αὐτὰ, κἂν εἰ μὴ πάντες εἰς τὴν εὐδαιμονίαν, ἀλλ᾽ οὖν οἱ λόγου ἄξιοι τῶν ἀνθρώπων πάντες.

Socrates senex

Σωκράτης μὲν οὖν ὁ πρεσβύτης ᾤετ᾽ εἶναι τέλος τὸ γινώσκειν τὴν ἀρετήν. καὶ ἐπεζήτει τί ἐστιν ἡ δικαιοσύνη καὶ τί ἡ ἀνδρεία καὶ ἕκαστον τῶν μορίων αὐτῆς. ἐποίει γὰρ ταῦτ᾽ εὐλόγως. ἐπιστήμας γὰρ ᾤετ᾽ εἶναι πάσας τὰς ἀρετάς. ὥσθ᾽ ἅμα συμβαίνειν εἰδέναι τε τὴν δικαιοσύνην, καὶ εἶναι δίκαιον. ἅμα μὲν γὰρ





μεμαθήκαμεν τὴν γεωμετρίαν καὶ οἰκοδομίαν, καὶ ἐσμὲν οἰκοδόμοι καὶ γεωμέτραι. διόπερ ἐζήτει τί ἐστιν ἀρετή. ἀλλ᾽ οὐ πῶς γίνεται καὶ ἐκ τίνων. τοῦτο δὲ ἐπὶ μὲν τῶν ἐπιστημῶν συμβαίνει τῶν θεωρητικῶν. οὐθὲν γὰρ ἕτερόν ἐστι τῆς ἀστρολογίας οὐδὲ τῆς περὶ φύσεως ἐπιστήμης οὐδὲ γεωμετρίας πλὴν τὸ γνωρίσαι καὶ θεωρῆσαι τὴν φύσιν τῶν πραγμάτων τῶν ὑποκειμένων ταῖς ἐπιστήμαις. οὐ μὴν ἀλλὰ κατὰ συμβεβηκὸς οὐθὲν κωλύει πρὸς πολλὰ τῶν ἀναγκαίων εἶναι χρησίμους αὐτὰς ἡμῖν. τῶν δὲ ποιητικῶν ἐπιστημῶν ἕτερον τὸ τέλος τῆς ἐπιστήμης καὶ γνώσεως. οἷον ὑγίεια μὲν ἰατρικῆς. εὐνομία δὲ ἤ τι τοιοῦθ᾽ ἕτερον τῆς πολιτικῆς. καλὸν μὲν οὖν καὶ τὸ γνωρίζειν ἕκαστον τῶν καλῶν. οὐ μὴν ἀλλά γε περὶ ἀρετῆς, οὐ τὸ εἰδέναι τιμιώτατον τί ἐστιν. ἀλλὰ τὸ γινώσκειν ἐκ τίνων ἐστίν. οὐ γὰρ εἰδέναι βουλόμεθα τί ἐστιν ἀνδρεία. ἀλλ᾽ εἶναι ἀνδρεῖοι. οὐδὲ τί ἐστι δικαιοσύνη. ἀλλ᾽ εἶναι δίκαιοι. καθάπερ καὶ ὑγιαίνειν μᾶλλον, ἢ γινώσκειν τί ἐστι τὸ ὑγιαίνειν. καὶ εὖ ἔχειν τὴν ἕξιν μᾶλλον ἢ γινώσκειν τί ἐστι τὸ εὖ ἔχειν. πειρατέον δὲ περὶ τούτων πάντων ζητεῖν τὴν πίστιν διὰ τῶν λόγων, μαρτυρίοις καὶ παραδείγμασι χρώμενον τοῖς φαινομένοις. κράτιστον μὲν γὰρ πάντας ἀνθρώπους φαίνεσθαι συνομολογοῦντας τοῖς ῥηθησομένοις. εἰ δὲ μὴ, τρόπον γέ τινα πάντας, ὅπερ μεταβιβαζόμενοι ποιήσουσιν. ἔχει γὰρ ἕκαστος οἰκεῖόν τι πρὸς τὴν ἀλήθειαν. ἐξ ὧν ἀναγκαῖον δεικνύναι πως περὶ αὐτῶν. ἐκ γὰρ τῶν ἀληθῶς μὲν λεγομένων οὐ σαφῶς δὲ προϊοῦσιν ἔσται καὶ τὸ σαφῶς, μεταλαμβάνουσιν ἀεὶ τὰ γνωριμώτερα τῶν εἰωθότων λέγεσθαι συγκεχυμένως. διαφέρουσι δ᾽ οἱ λόγοι περὶ ἑκάστην μέθοδον οἵ τε φιλοσόφως λεγόμενοι καὶ μὴ φιλοσόφως. διόπερ καὶ τῶν πολιτικῶν οὐ χρὴ νομίζειν περίεργον εἶναι τὴν τοιαύτην θεωρίαν, δι᾽ ἧς οὐ μόνον τὸ τί φανερὸν, ἀλλὰ καὶ τὸ διὰ τί. φιλόσοφον γὰρ τὸ τοιοῦτον περὶ ἑκάστην μέθοδον. δεῖται μέντοι τούτου πολλῆς εὐλαβείας. εἰσὶ

Testimoniis et e[xem]plis notis & que sint in co[n]fesso utendum.

Eleganter hoc

Philosophi [est] dicere non solu[m] q[uo]d sed etiam propter q[uo]d.

γάρ τινες οἴονται διὰ τὸ δοκεῖν φιλοσόφου εἶναι τὸ μηθὲν εἰ μηθὲν λέγειν, ἀλλὰ μετὰ λόγου, πολλάκις λανθάνουσι λέγοντες ἀλλοτρίους λόγους τῆς πραγματείας καὶ κενούς. τοῦτο δὲ ποιοῦσιν ὁτὲ μὲν δι' ἄγνοιαν, ὁτὲ δὲ δι' ἀλαζονείαν. ὑφ' ὧν ἁλίσκεσθαι συμβαίνει καὶ τοὺς ἐμπείρους, δυναμένους πράττειν ὑπὸ τούτων τῶν μήτ' ἐχόντων μήτε δυναμένων διάνοιαν ἀρχιτεκτονικὴν ἢ πρακτικήν. πάσχουσι δὲ τοῦτο δι' ἀπαιδευσίαν. ἀπαιδευσία γάρ ἐστι περὶ ἕκαστον πρᾶγμα, τὸ μὴ δύνασθαι κρίνειν τούς τε οἰκείους λόγους τοῦ πράγματος, καὶ τοὺς ἀλλοτρίους. καλῶς δ' ἔχει καὶ τὸ χωρὶς κρίνειν τὸν τῆς αἰτίας λόγον καὶ τὸ δεικνύμενον, διά τε τὸ ῥηθὲν ἀρτίως ὅτι προσέχειν οὐ δεῖ πάντα τοῖς διὰ τῶν λόγων, ἀλλὰ πολλάκις μᾶλλον τοῖς φαινομένοις. νῦν δ' ὁπόταν λύειν μὴ ἔχωσιν, ἀναγκάζονται πιστεύειν τοῖς εἰρημένοις. καὶ διότι πολλάκις τὸ μὲν ὑπὸ τοῦ λόγου δεδεῖχθαι δοκοῦν, ἀληθὲς μέν ἐστιν. οὐ μέντοι διὰ ταύτην τὴν αἰτίαν δι' ἥν φησιν ὁ λόγος. ἔστι γὰρ διὰ ψεύδους ἀληθὲς δεῖξαι. δῆλον δὲ ἐκ τῶν ἀναλυτικῶν.

Πεπροοιμιασμένων δὲ καὶ τούτων, λέγωμεν ἀρξάμενοι πρῶτον ἀπὸ τῶν πρώτων ὥσπερ εἴρηται οὐ σαφῶς λεγομένων ζητοῦντες ἐπὶ τὸ σαφῶς εὑρεῖν τί ἐστιν ἡ εὐδαιμονία. ὁμολογεῖται δὴ μέγιστον εἶναι καὶ ἄριστον τοῦτο τῶν ἀγαθῶν τῶν ἀνθρωπίνων. ἀνθρώπινον δὲ λέγομεν, ὅτι τάχ' ἂν εἴη καὶ βελτίονός τινος ἄλλου τῶν ὄντων εὐδαιμονία. οἷον θεοῦ. τῶν μὲν γὰρ ἄλλων ζώων ὅσα χείρω τὴν φύσιν τῶν ἀνθρώπων ἐστίν, οὐθὲν κοινωνεῖ ταύτης τῆς προσηγορίας. οὐ γάρ ἐστιν εὐδαίμων ἵππος οὐδ' ὄρνις. οὐδ' ἰχθύς. οὐδ' ἄλλο τῶν ὄντων οὐθέν, ὃ μὴ κατὰ τὴν ἐπωνυμίαν ἐν τῇ φύσει μετέχει θείου τινός. ἀλλὰ κατ' ἄλλην τινὰ τῶν ἀγαθῶν μετοχὴν τὸ μὲν βέλτιον ζῇ, τὸ δὲ, χεῖρον αὐτῶν. ἀλλ' ὅτι τοῦτον ἔχει τὸν τρόπον ὕστερον ἐπισκεπτέον. νῦν δὲ λέγομεν ὅτι τῶν ἀγαθῶν τὰ μέν ἐστιν ἀνθρώπῳ πρακτὰ, τὰ δ' οὐ πρακτά. τοῦτο δὲ λέγομεν οὕτω, διότι ἔνια τῶν ὄντων οὐθὲν μετέχει κινήσεως.

Ἀπαιδευσία (marginal note)

Felix nullum animal praeter hominem (marginal note)



κινήσεως, ὥστ' οὐδὲ τῶν ἀγαθῶν. καὶ ταῦτ' ἴσως ἄριστα τὴν φύσιν ἐστίν. ἔνια δὲ πρακτὰ μὲν, ἀλλὰ πρακτὰ κρείττοσιν ἡμῶν. ἐπειδὴ δὲ διχῶς λέγεται τὸ πρακτόν. καὶ γὰρ ὧν ἕνεκα πράττομεν καὶ ἃ τούτων ἕνεκα μετέχει πράξεως, οἷον καὶ τὴν ὑγίειαν καὶ τὸν πλοῦτον τίθεμεν τῶν πρακτῶν καὶ τὰ τούτων πραττόμενα χάριν. τά θ' ὑγιεινὰ καὶ τὰ χρηματιστικά, δῆλον ὅτι καὶ τὴν εὐδαιμονίαν τῶν ἀνθρώπῳ πρακτῶν ἄριστον θετέον. σκεπτέον τοίνυν τί τὸ ἄριστον, καὶ λέγεται ποσαχῶς. ἐν τρισὶ δὴ μάλιστα φαίνεται δόξαις εἶναι τοῦτο. φασὶ γὰρ ἄριστον μὲν εἶναι πάντων αὐτὸ τὸ ἀγαθόν. αὐτὸ δ' εἶναι τὸ ἀγαθόν, ᾧ ὑπάρχει, τό τε πρώτῳ εἶναι τῶν ἀγαθῶν καὶ τῷ αἰτίῳ τῇ παρουσίᾳ τοῖς ἄλλοις τοῦ ἀγαθοῦ εἶναι. ταῦτα δ' ὑπάρχει ἀμφότερα τῇ ἰδέᾳ τοῦ ἀγαθοῦ. λέγω δὲ ἀμφότερα, τό, τε πρῶτον τῶν ἀγαθῶν, καὶ τό, τοῖς ἄλλοις αἴτιον ἀγαθοῖς, τῇ παρουσίᾳ τοῦ ἀγαθοῖς εἶναι. μάλιστά τε γὰρ τἀγαθὸν λέγεσθαι κατ' ἐκείνης ἀληθῶς. κατὰ μετοχὴν γὰρ καὶ ὁμοιότητα τἆλλα ἀγαθὰ ἐκείνης εἶναι, καὶ πρῶτον τῶν ἀγαθῶν. ἀναιρουμένου γὰρ τοῦ μετεχομένου ἀναιρεῖσθαι καὶ τὰ μετέχοντα τῆς ἰδέας. ἃ λέγεται τῷ μετέχειν ἐκείνης. τὸ δὲ πρῶτον τοῦτον ἔχειν τὸν τρόπον πρὸς τὸ ὕστερον. ὥστε εἶναι αὐτὸ τὸ ἀγαθὸν τὴν ἰδέαν τοῦ ἀγαθοῦ. καὶ γὰρ χωριστὴν εἶναι τῶν μετεχόντων ὥσπερ καὶ τὰς ἄλλας ἰδέας. ἔστι μὲν οὖν τὸ διασκοπεῖν περὶ ταύτης τῆς δόξης ἑτέρας τε διατριβῆς καὶ τὰ πολλὰ λογικωτέρας ἐξ ἀνάγκης. οἱ γὰρ ἅμα ἀναιρετικοί τε καὶ κοινοὶ λόγοι, κατ' οὐδεμίαν εἰσὶν ἄλλην ἐπιστήμην. εἰ δὲ δεῖ συντόμως εἰπεῖν περὶ αὐτῶν, λέγω μὲν ὅτι πρῶτον μὲν τὸ εἶναι ἰδέαν μὴ μόνον ἀγαθοῦ ἀλλὰ καὶ ἄλλου ὁτουοῦν λέγεται λογικῶς καὶ κενῶς. ἐπέσκεπται δὲ πολλοῖς περὶ αὐτῆς τρόποις καὶ ἐν τοῖς ἐξωτερικοῖς λόγοις καὶ ἐν τοῖς κατὰ φιλοσοφίαν. ἔπειτ' εἰ καὶ ὅτι μάλιστ' εἰσὶν αἱ ἰδέαι, καὶ ἀγαθοῦ ἰδέα, μή ποτ' οὐδὲ χρήσιμος πρὸς ζωὴν ἀγαθὴν οὐδὲ πρὸς τὰς πράξεις. πολλαχῶς γὰρ



πρακτόν duplicite dici (marginal note)

Optimum quod et quot modis dicitur (marginal note)

De Idea boni (marginal note)

Ideas uanum esse nomen (marginal note)

ἐξωτερικοῖς, ἐν τοῖς κατὰ φιλοσοφίαν. ita contra sepulvedam nostrum quod autem accipit at κατὰ φιλοσοφίαν lege in .2. physicorum ex enarratione philoponi (marginal note)

ἐξωτερικοὶ λόγοι (marginal note)

Quomodo bonum sit in singulis præ dicamentis

λέγεται καὶ ἰσαχῶς τῷ ὄντι ἀγαθόν· τὸ, τι γὰρ ὄν ὡς περὶ ἕνα ἅλ
λοις δὲ ἡρῆσθαι σημαίνει, τὸ μὲν, τόδε τι· τὸ δὲ, ποιόν· τὸ δὲ, ποσόν·
τὸ δὲ, πότε· καὶ πρὸς τούτοις τὸ μὲν, ἐν τῇ κινεῖσθαι· τὸ δὲ ἐν τῷ
κινεῖν· καὶ τὸ ἀγαθὸν ἐν ἑκάστῃ τῶν τοιούτων ἐν τοῦτ' ἔστιν· ἐν οὐ-
σίᾳ μὲν ὁ θεὸς καὶ ὁ νοῦς· ἐν δὲ τῷ ποιῷ, τὸ δίκαιον· ἐν δὲ τῷ
ποσῷ, τὸ μέτριον· ἐν δὲ τῷ πότε, ὁ καιρός· τὸ δὲ διδάσκον καὶ τὸ
διδασκόμενον περὶ κίνησιν· ὡς περὶ ὄδε τὸ ὁρᾶν τι ὄντι περὶ
τὸ εἰρηνεύειν, οὕτως ὄδε τὸ ἀγαθόν· ὄδε ἐστὶ μηδὲ μία οὐτε
τοῦ ὄντος οὐτε τοῦ ἀγαθοῦ ἁπλῶς· ἀλλ' οὐδὲ τὰ ὁμοιογημένως λεγό-
μενα ἀγαθά, μιᾶς ὄντα θεωρῆσαι· οἷον τὸν καιρὸν ἢ τὸ μέτριον·
ἀλλ' ἑτέρα ἑτέρου καιροῦ θεωρεῖ· ἢ ἑτέρα ἑτέρου μέτριον· οἷον
περὶ τροφὴν μὲν τὸν καιρὸν καὶ τὸ μέτριον, ἰατρικὴ καὶ γυμνα
στική· περὶ δὲ τὰς πολεμικὰς πράξεις στρατηγία· καὶ οὕτως
ἑτέρα περὶ ἑτέραν πρᾶξιν· ὥστε τί ἂν εἴη αὐτοῖς τὸ ἀγαθὸν θεω-
ρῆσαι μιᾶς ἔτι οὔσης ὑπαρχει τὸ πρότερον καὶ ὕστερον, οὐκ
ὄντος κοινόν τι παρὰ ταῦτα· καὶ τοῦτο χωριστόν· εἰ γὰρ ἄλλο
τοῦ πρώτου πρότερον· πρότερον γὰρ τὸ κοινὸν καὶ χωριστόν,
ἀνῃρημένου γὰρ τοῦ κοινοῦ ἀναιρεῖται τὸ πρῶτον· οἷον εἰ
τὸ πολλαπλάσιον πρῶτον τῶν πολλαπλασίων οὐκ ἔστι δέχεται τὸ
πολλαπλάσιον τὸ κοινὴ κατηγορούμενον εἶναι χωριστόν· ἐ-
στω γὰρ τοῦ διπλασίου πρότερον, εἰ συμβαίνει εἶναι τὸ κοινὸν εἶναι
τινὶ ἰδέαν· οἷον εἰ χωριστὸν ποιήσειέ τι τὸ κοινόν· εἰ γὰρ ὄντως καλο
σύνη ἀγαθὸν καὶ ἡ ἀνδρεία· ἔτι τοιοῦτον φασὶν αὐτὸ εἶναι ἀγαθόν·
τὸ οὖν αὐτὸ πρόσκειται πρὸς τὸν λόγον τὸν κοινόν· τοῦτο δέ, τί
ἂν εἴη πλὴν ὅτι ἀΐδιον καὶ χωριστόν· ἀλλ' οὐδὲν μᾶλλον λευκὸν
τὸ πολλὰς ἡμέρας λευκὸν, τοῦ μίαν ἡμέραν· ὥστε οὐδὲ ἡ τὸ
κοινὸν ἀγαθὸν ταυτὸ τῇ ἰδέᾳ· πᾶσι γὰρ ὑπάρχει κοινόν· αὖ πά-
λιν δὲ καὶ δεικτόν, ὡς νῦν δείκνυσι τὸ ἀγαθὸν αὐτό·
νῦν μὲν γὰρ ἐκ τῶν ὁμολογουμένων ἔχειν τὸ ἀγαθόν, ὃ ἐκεί-
νων τὸ ὁμολογούμενον ἀεὶ εἶναι ἀγαθὰ δείκνυσιν· ὃ ἀριθμῶν







ὅτι ἡδὺ καὶ σύνη καὶ ἡ ὑγίεια ἀγαθόν· πάντες γὰρ καὶ ἀριθμοί· ὡς
τοῖς ἀριθμοῖς καὶ τοῖς μονάσιν ἀγαθὸν ὑπάρχον, διὰ τὸ εἶναι
τὸ ἓν αὐτὸ ἀγαθόν· διεῖδε ἐκ τῶν ὁμολογουμένων, οἷον ὑγιείας
ἰσχύος σωφροσύνης· ὅτι καὶ ἐν τοῖς ἀκινήτοις μᾶλλον τὸ κα
λόν· ταῦτα δὲ πάντα τάξις καὶ ἡρεμία· εἰ οὖν ἐκεῖνα μᾶλλον· ἐ-
κείνοις γὰρ ὑπάρχει αὐτὸ μᾶλλον· παράβολος δὲ καὶ ἀπόδει-
ξις· ὅτι τὸ ἓν αὐτὸ ἀγαθόν, ὅτι οἱ ἀριθμοὶ ἐφίενται· οὔτε γὰρ ὡς
ἐφίενται λέγεται φανερῶς· ἀλλὰ λίαν ἁπλῶς τότε φασὶ
καὶ ὁρέξιν εἶναι· ὡς ἂν τις ὑπολάβοι ἐν οἷς ζωὴ μὴ ὑπάρχει·
δεῖ δὲ περὶ τούτου πραγματεύσασθαι· καὶ μὴ ἀξιοῦν μηθὲν ἀ-
λόγως ἀεὶ καὶ μετὰ λόγου ὡς ὧδε ἔχοντος ῥᾴδιον γὰρ, τι φαύλου πάντα
τὰ ὄντα ἐφίεσθαι ἑνός τινος ἀγαθοῦ, ὁ καὶ λήθης· ἕκαστον γὰρ ἰδίου
ἀγαθοῦ ὀρέγεται· ὀφθαλμοὶ οὖν τοῦ σώματος ὑγιείας ἄντως ἄλλο.
ὅτι μὲν οὖν ἔκ ἔστιν αὐτό τι ἀγαθόν, ἔχει ἀπορίας τοιαύτας·
καὶ ὅτι ἐπιτήδειον τῇ πολιτικῇ ἀλλ' ἰδόντι ἀγαθὸν ὡς περ ἐπὶ
ταῖς ἄλλαις, οἷον γυμναστικῇ δυνάμει ἄττι καὶ τὸ ἁπλῶς λόγῳ λε
γόμενον· ἢ γὰρ οὐδεμιᾷ χρήσιμον αὐτὸ τὸ τοῦ ἀγαθοῦ εἶδος·
ἢ πάσαις ὁμοίως· ἔτι οὐ πρακτόν· ὁμοίως δ' οὐδὲ τὸ κοινὸν ἀ-
γαθόν, οὔτε αὐτὸ ἀγαθόν ἐστι καὶ γὰρ ἀΐδιον μικρῷ ὑπάρξῃ ἀγαθῷ,
οὔτε πρακτόν· ἁπλῶς γὰρ ὅπως ὑπάρξῃ τὸ ὁτιοῦν ὑπάρχον, ἰατρι-
κὴ πραγματεύεται· ἀλλ' ὅπως ὑγίεια· ὁμοίως δὲ καὶ τῶν ἄλ-
λων τεχνῶν ἑκάστη· ἀλλὰ ποσαχῶς τὸ ἀγαθόν· καὶ ὅτι τὰ αὐ-
τοῦ καλόν· καὶ τὸ μὲν πρακτόν· τὸ δ' οὐ πρακτόν· τὸ δὲ τοιοῦτον
ἀγαθόν, τὸ δ' ἕνεκα· ὃ ἔστι δὲ τὸ ἐν τοῖς ἀκινήτοις φανερόν· ὅ-
τι δὲ καὶ ἡ ἰδέα ταὐτὸ τῷ τοῦ μόνου αὐτὸ τὸ ἀγαθόν ἐστιν, ὅτι
τὸ κοινόν· τὸ μὲν γὰρ, ἀκίνητον καὶ οὐ πρακτόν· τὸ δὲ, κινητὸν
μὲν, ἀλλ' οὐ πρακτόν· τὸ δ' ἕνεκα ὡς τέλος ἄρεστον καὶ αὐτοῖς
τοῖς ὑφ' αὑτό· καὶ πρῶτον πάντων· ὥστε τούτων ἂν εἴη καὶ τὸ
ἀγαθὸν τὸ τέλος τοῖς αὑτῷ πρακτοῖς· τοῦτο δ' ἐστὶ τὸ ὑπὸ τῶν

κυρίαν πασῶν· αὕτη δ' ἐστὶ πολιτικὴ καὶ οἰκονομικὴ καὶ φρόνησις. διαφέρουσι δὲ αὗται αἱ ἕξεις πρὸς τὰς ἄλλας, τῷ τοιαῦται εἶναι. πρὸς δ' ἀλλήλας εἴ τι διαφέρουσιν ὕστερον λεκτέον. ὅτι δ' αἴτιον τὸ τέλος τοῖς ὑφ' αὐτό, δηλοῖ ἡ διδασκαλία. ὁρισάμενοι γὰρ τὸ τέλος, τἆλλα δεικνύουσιν, ὅτι ἕκαστον αὐτῶν ἀγαθόν· αἴτιον γὰρ τὸ οὗ ἕνεκα. οἷον ἐπειδὴ τὸ ὑγιαίνειν τοδί, ἀνάγκη τοδὶ εἶναι τὸ συμφέρον πρὸς αὐτήν. τὸ δ' ὑγιαίνειν τῆς ὑγιείας αἴτιον ὡς κινῆσαν. καὶ τότε τοῦ ἄλλου τὸ ἀγαθὸν εἶναι τὴν ὑγίειαν. ἔτι οὐδὲ δεικνύουσιν οὐδ' ὅτι ἀγαθὸν ἡ ὑγίεια, ἂν μὴ σοφιστὴς ᾖ καὶ μὴ ἰατρός. οὗτοι γὰρ τοῖς ἀλλοτρίοις λόγοις σοφίζονται. ὥσπερ οὐδ' ἄλλην ἀρχὴν οὐδεμίαν. τὸ δ' ὡς τέλος ἀγαθὸν ἀνθρώπῳ, καὶ τὸ ἄριστον τῶν πρακτῶν, σκεπτέον ποσαχῶς τὸ ἄριστον πάντων, ἐπειδὴ τοῦτο ἄριστον. μετὰ ταῦτα ἄλλην λαβοῦσιν ἀρχήν.

ΤΕΛΟΣ, ΤΟΥ Α.



# ἈΡΙΣΤΟΤΈΛΟΥΣ ἨΘΙΚΩ͂Ν ΕΥ̓ΔΗΜΙΏΝ, ΤΟ Β'.

Μετὰ δὲ ταῦτα ἄλλην λαβοῦσιν ἀρχὴν περὶ τῶν ἑπομένων λεκτέον. πάντα δὴ τὰ ἀγαθὰ ἢ ἐκτὸς ἢ ἐν ψυχῇ. καὶ τούτων αἱρετώτερα τὰ ἐν τῇ ψυχῇ, καθάπερ διαιρούμεθα καὶ ἐν τοῖς ἐξωτερικοῖς λόγοις. φρόνησις γὰρ καὶ ἀρετὴ καὶ ἡδονὴ ἐν ψυχῇ, ὧν ἔνια ἢ πάντα τέλος εἶναι δοκεῖ πᾶσι. τῶν δ' ἐν ψυχῇ, τὰ μὲν ἕξεις ἢ δυνάμεις εἰσί. τὰ δ' ἐνέργειαι καὶ κινήσεις. ταῦτα δὴ οὕτως ὑποκείσθω. καὶ περὶ ἀρετῆς, ὅτι ἐστὶν ἡ βελτίστη διάθεσις, ἢ ἕξις ἢ δύναμις ἑκάστων, ὅσων ἐστί τις χρῆσις ἢ ἔργον. δῆλον δ' ἐκ τῆς ἐπαγωγῆς. ἐπὶ πάντων γὰρ οὕτω τίθεμεν. οἷον ἱματίου ἀρετή ἐστι· καὶ γὰρ ἔργον τι καὶ χρῆσις. καὶ ἡ βελτίστη ἕξις τοῦ ἱματίου ἀρετή ἐστιν. ὁμοίως δὲ καὶ πλοίου καὶ οἰκίας καὶ τῶν ἄλλων. ὥστε καὶ ψυχῆς. ἔστι γάρ τι ἔργον αὐτῆς. καὶ τῆς βελτίονος δὴ ἕξεως ἔστω βέλτιον τὸ ἔργον. καὶ ὡς ἔχουσιν αἱ ἕξεις πρὸς ἀλλήλας, οὕτω καὶ τὰ ἔργα τὰ ἀπὸ τούτων πρὸς ἄλληλα ἐχέτω. καὶ τέλος ἑκάστου τὸ ἔργον. φανερὸν τοίνυν ἐκ τούτων ὅτι βέλτιον τὸ ἔργον τῆς ἕξεως. τὸ γὰρ τέλος, ἄριστον ὡς τέλος. ὑπόκειται γὰρ

ἕξις ἢ δύναμις
ἐνέργεια ἢ κίνησις

βέλτιον τὸ ἔργον
τῆς ἕξεως

ἐξωτερικοὶ λόγοι

τέλος τὸ βέλτιστον καὶ τὸ ἔσχατον· οὗ ἕνεκα τἆλλα πάντα. ὅτι μὲν τοίνυν τὸ ἔργον βέλτιον τῆς ἕξεως καὶ τῆς διαθέσεως δῆλον. ἀλλὰ τὸ ἔργον λέγεται διχῶς. τῶν μὲν γάρ ἐστιν ἕτερόν τι τὸ ἔργον παρὰ τὴν χρῆσιν· οἷον οἰκοδομικῆς οἰκία. ἀλλ' οὐκ οἰκοδόμησις. καὶ ἰατρικῆς ὑγίεια. ἀλλ' οὐχ ὑγίασις, οὐδ' ἰάτρευσις. τῶν δ' ἡ χρῆσις ἔργον. οἷον ὄψεως ὅρασις καὶ μαθηματικῆς ἐπιστήμης θεωρία. ὥστ' ἀνάγκη ὧν ἔργον ἡ χρῆσις, τὴν χρῆσιν βέλτιον εἶναι τῆς ἕξεως. τούτων δὲ τοῦτον τὸν τρόπον διωρισμένων, λέγω μὲν ὅτι τὸ ἔργον τοῦ πράγματος καὶ τῆς ἀρετῆς ἀλλ' οὐχ ὡσαύτως. οἷον σκυτοτομικῆς καὶ σκυτεύσεως ὑπόδημα. εἰ δή τις ἐστὶν ἀρετὴ σκυτικῆς καὶ σπουδαίου σκυτέως, τὸ ἔργον ἐστὶ σπουδαῖον ὑπόδημα. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. ὅτι ἔστω ψυχῆς ἔργον, τὸ ζῆν ποιεῖν. τοῦ δὲ χρῆσις καὶ ἐγρήγορσις. ὁ γὰρ ὕπνος ἀργία τις καὶ ἡσυχία. ὥστ' ἐπεὶ τὸ ἔργον ἀνάγκη ἓν καὶ ταὐτὸ εἶναι τῆς ψυχῆς καὶ τῆς ἀρετῆς αὐτῆς, ζωὴ σπουδαία. τοῦτ' ἄρ' ἐστὶ τὸ τέλεον ἀγαθὸν ὅπερ ἦν ἡ εὐδαιμονία. δῆλον δὲ ἐκ τῶν ὑποκειμένων. ἦν μὲν γὰρ ἡ εὐδαιμονία τὸ ἄριστον. τὰ δὲ τέλη ἐν ψυχῇ καὶ τὰ ἄριστα τῶν ἀγαθῶν, αὐτὴ δὲ ἢ ἕξις ἢ ἐνέργεια. ἐπεὶ βέλτιον ἡ ἐνέργεια τῆς διαθέσεως. καὶ τῆς βελτίστης ἕξεως ἡ βελτίστη ἐνέργεια. ἡ δ' ἀρετὴ βελτίστη ἕξις. καὶ ἡ ἐκ τῆς ἀρετῆς ἐνέργεια ἡ τῆς ψυχῆς ἄριστον εἶναι. ἦν δὲ καὶ ἡ εὐδαιμονία τὸ ἄριστον. ἔστιν ἄρα ἡ εὐδαιμονία, ψυχῆς ἀγαθῆς ἐνέργεια. ἐπεὶ δὲ ἦν ἡ εὐδαιμονία τέλεόν τι, καὶ ἔστι ζωὴ καὶ τελέα καὶ ἀτελής. καὶ ἀρετὴ ὡσαύτως. ἡ μὲν γὰρ ὅλη. ἡ δὲ μόριον. ἡ δὲ τῶν ἀτελῶν ἐνέργεια ἀτελής, εἴη ἂν ἡ εὐδαιμονία ζωῆς τελείας ἐνέργεια κατὰ ἀρετὴν τελείαν. ὅτι δὲ τὸ γένος καὶ τὸν ὅρον αὐτῆς

Opus dupliciter ēē

In uita pfecta



αὐτῆς λέγομεν καλῶς, μαρτύρια τὰ δοκοῦντα πᾶσιν ἡμῖν. τό, τε γὰρ εὖ πράττειν καὶ τὸ εὖ ζῆν τὸ αὐτὸ τῷ εὐδαιμονεῖν. ὧν ἕκαστον χρῆσίς ἐστι καὶ ἐνέργεια καὶ ἡ ζωὴ καὶ ἡ πρᾶξις. καὶ γὰρ ἡ πρακτικὴ χρηστική ἐστιν. ὁ μὲν γὰρ χαλκεὺς ποιεῖ χαλινόν. χρῆται δ' ὁ ἱππικός. καὶ τὸ μήτε μίαν ἡμέραν εἶναι εὐδαίμονα, μήτε παῖδα, μήθ' ἡλικίαν πᾶσαν. διὸ καὶ τὸ Σόλωνος ἔχει καλῶς τὸ μὴ ζῶντ' εὐδαιμονίζειν, ἀλλ' ὅταν λάβῃ τέλος. οὐθὲν γὰρ ἀτελὲς εὔδαιμον. οὐ γὰρ ὅλον. ἔτι δ' οἱ ἔπαινοι τῆς ἀρετῆς διὰ τὰ ἔργα καὶ τὰ ἐγκώμια τῶν ἔργων. καὶ στεφανοῦνται οἱ νικῶντες. ἀλλ' οὐχ οἱ δυνάμενοι μὲν νικᾶν, μὴ νικῶντες δέ. καὶ τὸ κρίνειν ἐκ τῶν ἔργων, ὁποῖός τίς ἐστιν. ἔτι, διὰ τί ἡ εὐδαιμονία οὐκ ἐπαινεῖται. ὅτι διὰ ταύτην τἆλλα. ἢ τῷ εἰς ταύτην ἀναφέρεσθαι, ἢ τῷ μόρια εἶναι αὐτῆς. διὸ ἕτερον εὐδαιμονισμός. καὶ ἔπαινος καὶ ἐγκώμιον. τὸ μὲν γὰρ ἐγκώμιον λόγος τοῦ καθ' ἕκαστον ἔργου. ὁ δ' ἔπαινος, τοιοῦτον εἶναι καθόλου. ὁ δ' εὐδαιμονισμὸς τέλος. καὶ τὸ ἀπορούμενον δ' ἐνίοτε δῆλον ἐκ τούτων. διὰ τί ποτ' οὐδὲν βελτίους οἱ σπουδαῖοι τῶν φαύλων τὸ ἥμισυ τοῦ βίου. ὅμοιοι γὰρ καθεύδοντες πάντες. αἴτιον δ' ὅτι ἀργία ψυχῆς ὁ ὕπνος. ἀλλ' οὐκ ἐνέργεια. διὸ καὶ ἄλλο εἴ τι μόριόν ἐστι ψυχῆς, οἷον τὸ θρεπτικόν, ἡ τούτου ἀρετή, οὐκ ἔστι μόριον τῆς ὅλης ἀρετῆς. ὥσπερ οὐδ' ἡ τοῦ σώματος. ἐν τῷ ὕπνῳ γὰρ μᾶλλον ἐνεργεῖ τὸ θρεπτικόν. τὸ δ' αἰσθητικὸν καὶ ὀρεκτικὸν, ἀτελῆ ἐν τῷ ὕπνῳ. ὅσον δὲ τοῦ μὴ κινεῖσθαι μετέχουσι, καὶ αἱ φαντασίαι βελτίους αἱ τῶν σπουδαίων. ἐὰν μὴ διὰ νόσον ἢ πήρωσιν. μετὰ ταῦτα περὶ ψυχῆς θεωρητέον. ἡ γὰρ ἀρετὴ ψυχῆς οὐ κατὰ συμβεβηκός. ἐπεὶ δ' ἀνθρωπίνην ἀρετὴν ζητοῦμεν, ὑποκείσθω δύο μέρη ψυχῆς

Solō

Solonis illud laudatur. Sc[ilicet] ultim[um] semp[er] exp[ectandum]

ἐγκώμιον
ἔπαινος
εὐδαιμονισμ[ός]

Bonos malis nō esse meliores c[on]ditionis dimi[di]o uitae

ἐν τῷ ὕπνῳ μᾶλλον ἐνεργεῖ τὸ θρεπτικόν

*Duae animi partes rationis participant & tertia pars est irrationalis*

τὰ λόγου μετέχοντα· οὐ τὸν αὐτὸν δὲ τρόπον μετέχειν λόγου ἄμφω· ἀλλὰ τὸ μὲν, τῷ ἐπιτάττειν· τὸ δὲ, τῷ πείθεσθαι· καὶ ἀκούειν πεφυκέναι· εἰ δέ τί ἐστιν ἑτέρως ἄλογον, ἀφείσθω τοῦτο τὸ μόριον· διαφέρει δ' οὐθὲν οὔτ' εἰ μεριστὴ ἡ ψυχή, οὔτ' εἰ ἀμερής· ἔχει μέντοι δυνάμεις διαφόρους καὶ τὰς εἰρημένας· ὥσπερ ἐν τῷ καμπύλῳ τὸ κοῖλον καὶ τὸ κυρτὸν ἀδιαχώριστον· καὶ τὸ εὐθὺ καὶ τὸ λευκόν· καίτοι τὸ εὐθὺ οὐ λευκόν· ἀλλὰ κατὰ συμβεβηκός· καὶ οὐσία τοῦ αὐτοῦ· ἀφῄρηται δὲ καὶ εἴ τι ἄλλο ἐστὶ μέρος ψυχῆς, οἷον τὸ φυσικόν· ἀνθρωπίνης δὲ ψυχῆς τὰ εἰρημένα μόρια ἴδια· διὸ οὐδ' αἱ ἀρεταὶ αἱ τοῦ θρεπτικοῦ καὶ ὀρεκτικοῦ ἀνθρώπου· δεῖ γὰρ εἰ ᾗ ἄνθρωπος λογισμὸν ἐνεῖναι καὶ ἀρχὴν καὶ πρᾶξιν· ἄρχει δ' ὁ λογισμὸς οὐ λογισμοῦ, ἀλλ' ὀρέξεως καὶ παθημάτων· ἀνάγκη ἄρα ταῦτ' ἔχειν τὰ μέρη. καὶ ὥσπερ ἡ εὐεξία σύγκειται ἐκ τῶν κατὰ μόριον ἀρετῶν, οὕτω καὶ ἡ τῆς ψυχῆς ἀρετή, ᾗ τέλος·

*[V]irtutes duplices morales & intell.*

ἀρετῆς δὲ εἴδη δύο· ἡ μὲν, ἠθική· ἡ δέ, διανοητική· ἐπαινοῦμεν γὰρ οὐ μόνον τοὺς δικαίους ἀλλὰ καὶ τοὺς συνετοὺς καὶ τοὺς σοφούς· ἐπαινετὸν γὰρ ὑπέκειτο ἡ ἀρετὴ ἢ τὸ ἔργον· ταῦτα δ' οὐκ ἐνεργεῖ· ἀλλ' εἰσὶν αὐτῶν ἐνέργειαι· ἐπεὶ δ' αἱ διανοητικαὶ μετὰ λόγου, αἱ μὲν τοιαῦται τοῦ λόγου ἔχοντος ὃ ἐπιτακτικόν ἐστι τῆς ψυχῆς ἢ λόγον ἔχει· αἱ δ' ἠθικαὶ τοῦ ἀλόγου μέν, ἀκολουθητικοῦ δὲ κατὰ φύσιν τῷ λόγον ἔχοντι· οὐ γὰρ λέγομεν ποῖός τις τὸ ἦθος, ὅτι σοφὸς ἢ δεινός· ἀλλ' ὅτι πρᾶος ἢ θρασύς· μετὰ ταῦτα σκεπτέον πρῶτον περὶ ἀρετῆς ἠθικῆς τί ἐστι, καὶ ποῖα μόρια αὐτῆς· εἰς τοῦτο γὰρ ἀνήκται καὶ γίνεται διά τινων· δεῖ δὴ ζητεῖν ὥσπερ ἐν τοῖς ἄλλοις ἔχοντές τι ζητοῦσι πάντες· ὥστε δεῖ διὰ τῶν ἀληθῶς μὲν λεγομένων οὐ σαφῶς δέ, πειρᾶσθαι λαβεῖν καὶ τὸ ἀληθῶς καὶ σαφῶς

*[I]ntellectuales in parte rationali. Morales in irrationali*



καὶ σαφῶς· νῦν γὰρ ὁμοίως ἔχομεν ὥσπερ ἂν εἰ καὶ ὑγίειαν ὅτι ἡ ἀρίστη διάθεσις τοῦ σώματος· καὶ Κορίσκος ὁ ἐν τῇ ἀγορᾷ μελάντατος· τί μὲν γὰρ ἑκάτερον τούτων, οὐκ ἴσμεν· πρὸς μέντοι τὸ εἰδέναι τί ἑκάτερον αὐτῆς πρὸ ἔργου τὸ οὕτως ἔχειν. ὑποκείσθω δὴ πρῶτον ἡ βελτίστη διάθεσις ὑπὸ τῶν βελτίστων γίνεσθαι, καὶ πράττεσθαι ἄριστα περὶ ἕκαστον ἀπὸ τῆς ἑκάστου ἀρετῆς· οἷον πόνοι τε ἄριστοι καὶ τροφή· ἀφ' ὧν γίνεται εὐεξία· καὶ ἀπὸ τῆς εὐεξίας πονοῦσιν ἄριστα· ἔτι πᾶσαν διάθεσιν, ὑπὸ τῶν αὐτῶν γίνεσθαι καὶ φθείρεσθαί πως προσφερομένων· ὥσπερ ὑγίεια ὑπὸ τροφῆς καὶ πόνων καὶ ὥρας· ταῦτα δὲ δῆλα ἐκ τῆς ἐπαγωγῆς· καὶ ἡ ἀρετὴ ἄρα ἡ τοιαύτη διάθεσίς ἐστιν ἣ γίνεται ὑπὸ τῶν ἀρίστων περὶ ψυχὴν κινήσεων· καὶ ἀφ' ἧς πράττεται τὰ ἄριστα τῆς ψυχῆς ἔργα καὶ πάθη· καὶ ὑπὸ τῶν αὐτῶν πὼς μὲν γίνεται· πὼς δὲ φθείρεται· πρὸς ταῦτα ἡ χρῆσις αὐτῆς ὑφ' ὧν καὶ αὔξεται καὶ φθείρεται πρὸς ἃ βέλτιστα διατίθησι· σημεῖον δ' ὅτι περὶ ἡδέα καὶ λυπηρὰ καὶ ἡ ἀρετὴ καὶ ἡ κακία· αἱ γὰρ κολάσεις ἰατρεῖαι οὖσαι καὶ γίνονται διὰ τῶν ἐναντίων καθάπερ ἐπὶ τῶν ἄλλων διὰ τούτων εἰσίν· ὅτι μὲν τοίνυν ἡ ἠθικὴ ἀρετὴ περὶ ἡδέα καὶ λυπηρά ἐστι, δῆλον· ἐπεὶ δ' ἐστὶ τὸ ἦθος ὥσπερ καὶ τὸ ὄνομα σημαίνει, ὅτι ἀπὸ ἔθους ἔχει τὴν ἐπίδοσιν· ἐθίζεται δὲ τὸ ὑπ' ἀγωγῆς μὴ ἐμφύτου τῷ πολλάκις κινεῖσθαί πως, οὕτως ἤδη τὸ ἐνεργητικόν, ὃ ἐν τοῖς ἀψύχοις οὐχ ὁρῶμεν· οὐδὲ γὰρ ἂν μυριάκις ῥίψῃς ἄνω τὸν λίθον, οὐδέποτε ποιήσει τοῦτο μὴ βίᾳ· διὸ ἔστω ἦθος τοῦτο ψυχῆς κατὰ ἐπιτακτικὸν λόγον δυναμένου ἀκολουθεῖν ποιότης· λεκτέον δὲ κατά τι τῆς ψυχῆς ποῖ' ἄττα τὰ ἤθη· ἔσται δὴ κατά τε τὰς δυνάμεις τῶν παθημάτων καθ' ἃς ὡς παθητικοὶ λέγονται· ἢ κατὰ τὰς ἕξεις

*Κορίσκος ὁ ἐν τῇ ἀγορᾷ με[λά]ντατος*

*Quid virtus & quibus fiat & circa quae*

*ἦθος dicitur [ἀ]πὸ τοῦ ἔθου[ς]*

πρὸς τὰ πάθη λέγονται ταῦτα τῷ πάσχειν πως, ἢ ἀπαθεῖς εἶναι. μετὰ ταῦτα ἡ διαίρεσις ἐν τοῖς ἀπηλεγμένοις τῶν παθημάτων καὶ τῶν δυνάμεων καὶ τῶν ἕξεων. λέγω δὲ πάθη μὲν τὰ τοιαῦτα. θυμὸν· φόβον· αἰδῶ· ἐπιθυμίαν· ὅλως οἷς ἕπεται ὡς ἐπὶ τὸ πολὺ ἡ αἰσθητικὴ ἡδονὴ ἢ λύπη καθ' αὑτά. καὶ κατὰ μὲν ταῦτα οὐκ ἔστι ποιότης, ἀλλὰ πάσχει. κατὰ δὲ τὰς δυνάμεις, ποιότης. λέγω δὲ τὰς δυνάμεις καθ' ἃς λέγονται κατὰ τὰ πάθη οἱ ἐνεργοῦντες· οἷον ὀργίλος· ἀνάλγητος· ἐρωτικός· αἰσχυντηλός· ἀναίσχυντος. ἕξεις δέ εἰσιν, ὅσαι αἰτίαι εἰσὶ τοῦ ταῦτα ἢ κατὰ λόγον ὑπάρχειν ἢ ἐναντίως· οἷον ἀνδρεία· σωφροσύνη· δειλία· ἀκολασία. διωρισμένων δὲ τούτων ληπτέον ὅτι ἐν ἅπαντι συνεχεῖ καὶ διαιρετῷ ἔστιν ὑπεροχὴ καὶ ἔλλειψις καὶ μέσον. καὶ ταῦτα ἢ πρὸς ἄλληλα ἢ πρὸς ἡμᾶς. οἷον ἐν γυμναστικῇ· ἐν ἰατρικῇ· ἐν οἰκοδομικῇ· ἐν κυβερνητικῇ καὶ ἐν ὁποιαοῦν πράξει καὶ ἐπιστημονικῇ καὶ ἀνεπιστημονικῇ καὶ τεχνικῇ καὶ ἀτέχνῳ. ἡ μὲν γὰρ κίνησις, συνεχές. ἡ δὲ πρᾶξις κίνησις. ἐν πᾶσι δὲ τὸ μέσον τὸ πρὸς ἡμᾶς βέλτιστον ὡς ἡ ἐπιστήμη κελεύει καὶ ὁ λόγος. πανταχοῦ δὲ τοῦτο καὶ ποιεῖ τὴν βελτίστην ἕξιν. καὶ τοῦτο δῆλον διὰ τῆς ἐπαγωγῆς καὶ τοῦ λόγου. τὰ γὰρ ἐναντία φθείρει ἄλληλα. τὰ δ' ἄκρα καὶ ἀλλήλοις καὶ τῷ μέσῳ ἐναντία. τὸ γὰρ μέσον ἑκάτερον πρὸς ἑκάτερόν ἐστιν. οἷον ἴσον τοῦ μὲν ἐλάττονος μεῖζον. τοῦ μείζονος δὲ ἔλαττον. ὥστ' ἀνάγκη τὴν ἠθικὴν περὶ μέσ' ἄττα εἶναι καὶ μεσότητά τινα. ληπτέον ἄρα ποία μεσότης ἀρετή. καὶ περὶ ποῖα μέσα. εἰλήφθω δὴ παραδείγματος χάριν καὶ θεωρείσθω ἕκαστον ἐκ τῆς ὑπογραφῆς. ὀργιλότης· ἀναλγησία· πρᾳότης· θρασύτης· δειλία· ἀνδρεία· ἀναισχυντία· κατάπληξις· αἰδώς·

ἀκολασία

πάθη quæ

δυνάμεις quæ

ἕξεις quæ

Extrema & sibi inuicē & medio cōtraria eē

Virtuté mediū esse & cuiusmodi mediū



ἀκολασία· ἀναισθησία· σωφροσύνη· φθόνος· ἀνώνυμον· νέμεσις· κέρδος· ζημία· δίκαιον· ἀσωτεία· ἀνελευθερία· ἐλευθεριότης· ἀλαζονεία· εἰρωνεία· ἀλήθεια· κολακεία· ἀπέχθεια· φιλία· ἀρέσκεια· αὐθάδεια· σεμνότης· τρυφερότης· κακοπάθεια· καρτερία· χαυνότης· μικροψυχία· μεγαλοψυχία· δαπανηρία· μικροπρέπεια· μεγαλοπρέπεια· πανουργία· εὐήθεια· φρόνησις. τὰ μὲν πάθη ταῦτα καὶ τὰ τοιαῦτα, συμβαίνει ταῖς ψυχαῖς. πάντα δὲ λέγεται τὰ μὲν τῷ ὑπερβάλλειν. τὰ δὲ τῷ ἐλλείπειν. ὀργίλος μὲν γάρ ἐστιν ὁ μᾶλλον ἢ δεῖ ὀργιζόμενος. καὶ θᾶττον καὶ πλείοσιν ἢ οἷς δεῖ. ἀνάλγητος δὲ, ὁ ἐλλείπων καὶ οἷς καὶ ὅτε καὶ ὥς. θρασὺς δὲ ὁ μήτε ἃ χρὴ φοβούμενος μήθ' ὅτε μήθ' ὥς. δειλὸς δὲ, ὁ καὶ ἃ μὴ δεῖ καὶ ὅτε οὐ δεῖ καὶ ὡς οὐ δεῖ. ὁμοίως δὲ καὶ ὁ ἀκόλαστος καὶ ἐπιθυμητικὸς καὶ ὑπερβάλλων πᾶσιν ὅσοις ἐνδέχεται. ἀναίσθητος δὲ ἐλλείπων, καὶ μηδ' ὅσον βέλτιον καὶ κατὰ τὴν φύσιν ἐπιθυμῶν. ἀλλ' ἀπαθὴς ὥσπερ λίθος. κερδαλέος δὲ, ὁ πανταχόθεν πλεονεκτικός. ζημιώδης δὲ, ὁ μηδαμόθεν ἀλλ' ὀλιγαχόθεν. ἀλαζὼν δὲ ὁ πλείω τῶν ὑπαρχόντων προσποιούμενος. εἴρων δὲ ὁ ἐλάττω. κόλαξ μὲν ὁ πλείω συνεπαινῶν ἢ καλῶς ἔχει. ἀπεχθητικὸς δὲ ἐλάττω. καὶ τὸ μὲν λίαν πρὸς ἡδονὴν ἀρέσκεια. τὸ δ' ὀλίγα καὶ μόλις αὐθάδεια. ἔτι δ' ὁ μὲν μηδεμίαν ὑπομένων λύπην μηδ' εἰ βέλτιον, τρυφερός. ὁ δὲ πᾶσαν ὁμοίως ὡς μὲν ἁπλῶς εἰπεῖν ἀνώνυμος. μεταφορᾷ δὲ λέγεται σκληρὸς καὶ ταλαίπωρος καὶ κακοπαθητικός. χαῦνος δ' ὁ μειζόνων ἀξιῶν αὐτόν. μικρόψυχος δ' ὁ ἐλαττόνων. ἔτι δ' ἄσωτος ὁ πρὸς ἅπασαν δαπάνην ὑπερβάλλων. ἀνελεύθερος δὲ ὁ πρὸς ἅπασαν ἐλλείπων. ὁμοίως δὲ καὶ ὁ μικροπρεπὴς καὶ ὁ σαλάκων. ὁ μὲν γὰρ ὑπερβάλλει τὸ πρέπον. ὁ δ' ἐλλείπει τοῦ πρέποντος.

Virtutū media & extrema

ὀργίλος

ἀνάλγητος

θρασύς

δειλός

ἀκόλαστος

ἐπιθυμητικός

ἀναίσθητος

κερδαλέος

ζημιώδης

ἀλαζών

εἴρων

κόλαξ

ἀπεχθητικός

ἀρέσκεια

αὐθάδεια

τρυφερός

σκληρός

ταλαίπωρος

κακοπαθητικός

χαῦνος

μικρόψυχος

ἄσωτος

ἀνελεύθερος

μικροπρεπής

σαλάκων

πανοῦργος
εὐήθης
φθονερός

καὶ ὁ μὲν πανοῦργος πάντως καὶ πάντοθεν πλεονεκτικός· ὁ δ' εὐήθης οὐδ' ὅθεν δεῖ. φθονερὸς δὲ, τῷ λυπεῖσθαι ἐπὶ πλείοσιν εὐπραγίαις ἢ δεῖ· καὶ γὰρ οἱ ἄξιοι εὖ πράττειν, λυποῦσι τοὺς φθονεροὺς εὖ πράττοντες. ὁ δ' ἐναντίος ἀνωνυμώτερος. ἔστι δ' ὁ ὑπερβάλλων, ἐπὶ τῷ μὴ λυπεῖσθαι μηδ' ἐπὶ τοῖς ἀναξίοις εὐπράττουσιν· ἀλλ' εὐχερὴς ὥσπερ οἱ γαστρίμαργοι πρὸς τροφήν· ὁ δὲ δυσχερὴς κατὰ τὸν φθόνον ἐστί. τὸ δὲ πρὸς ἕκαστον μὴ κατὰ συμβεβηκὸς οὕτως ἔχειν, περίεργον διορίζειν· οὐδεμία γὰρ ἐπιστήμη οὔτε θεωρητικὴ οὔτε ποιητικὴ, οὔτε λέγει οὔτε πράττει τοῦτο προσδιορίζουσα· ἀλλὰ τοῦτ' ἔστι πρὸς τὰς συκοφαντίας τῶν τεχνῶν τὰς λογικάς. ἁπλῶς μὲν οὖν διωρίσθω τὸν τρόπον τοῦτον. ἀκριβέστερον δὲ ὅταν περὶ τῶν ἕξεων λέγωμεν τῶν ἀντικειμένων. αὐτῶν δὲ τούτων τῶν παθημάτων, εἴδη κατονομάζεται τῷ διαφέρειν κατὰ τὴν ὑπερβολὴν ἢ χρόνου ἢ τοῦ μᾶλλον ἢ πρός τι τῶν ποιούντων τὰ πάθη. λέγω δ' οἷον ὀξύθυμος μὲν τῷ θᾶττον πάσχειν ἢ δεῖ. χαλεπὸς δὲ, καὶ θυμώδης τῷ μᾶλλον. πικρὸς δὲ τῷ φυλακτικὸς εἶναι τῆς ὀργῆς. πλήκτης δὲ καὶ λοιδορητικὸς ταῖς κολάσεσι ταῖς ἀπὸ τῆς ὀργῆς. ὀψοφάγοι δὲ καὶ γαστρίμαργοι καὶ οἰνόφλυγες τῷ πρὸς ὁποτέρας τροφῆς ἀπόλαυσιν ἔχειν τὴν δύναμιν παθητικὴν παρὰ τὸν λόγον. οὐδὲ δεῖ ἀγνοεῖν ὅτι ἔνια τῶν λεγομένων οὐκέτι ἐν τῷ πῶς λαμβάνειν, ἂν πως λαμβάνηται τῷ μᾶλλον πάσχειν. οἷον μοιχὸς οὐ τῷ μᾶλλον ἢ δεῖ πρὸς τὰς γαμετὰς πλησιάζειν· οὐ γάρ ἐστιν· ἀλλὰ μοχθηρία τις αὕτη ἤδη ἐστί· συνειλημμένον γὰρ τό, τε πάθος λέγεται καὶ τὸ τοιόνδε εἶναι. ὁμοίως δὲ καὶ ἡ ὕβρις. διὸ καὶ ἀμφισβητοῦσι, συγγενέσθαι μὲν φάσκοντες ἀλλ' οὐ μοιχεῦσαι· ἀγνοοῦντες γὰρ ἢ ἀναγκαζόμενοι· καὶ πατάξαι μὲν, ἀλλ' οὐχ ὑβρίσαι. ὁμοίως δὲ καὶ ἐπὶ τὰ ἄλλα τὰ τοιαῦτα. εἰλημμένων δὲ τούτων, μετὰ ταῦτα λεκτέον· ὅτι ἐπειδὴ δύο μέρη τῆς ψυχῆς, καὶ αἱ ἀρεταὶ κατὰ ταῦτα διήρηνται. καὶ αἱ μὲν τοῦ λόγον ἔχοντος

Passionum seu affectuum species. notandum hoc

ὀξύθυμος
χαλεπός
θυμώδης
πικρός
πλήκτης
λοιδορητικός
ὀψοφάγοι
γαστρίμαργοι
οἰνόφλυγες



ἔχοντος διανοητικαὶ ὧν ἔργον ἀλήθεια· ἢ περὶ τοῦ πῶς ἔχει ἢ περὶ γενέσεως. αἱ δὲ τοῦ ἀλόγου ἔχοντος δ' ὄρεξιν. οὐ γὰρ ὁτιοῦν μέρος ἔχει ψυχῆς ὄρεξιν, εἰ μεριστή ἐστιν. ἀνάγκη δὴ φαῦλον τὸ ἦθος καὶ σπουδαῖον εἶναι τῷ διώκειν καὶ φεύγειν ἡδονάς τινας καὶ λύπας. δῆλον δὲ τοῦτο ἐκ τῶν διαιρέσεων τῶν περὶ τὰ πάθη καὶ τὰς δυνάμεις καὶ τὰς ἕξεις. αἱ μὲν γὰρ δυνάμεις καὶ αἱ ἕξεις τῶν παθημάτων. τὰ δὲ πάθη λύπῃ καὶ ἡδονῇ διώρισται. ὥστε διά τε ταῦτα καὶ διὰ τὰς ἔμπροσθεν θέσεις, συμβαίνει πᾶσαν ἠθικὴν ἀρετὴν περὶ ἡδονὰς εἶναι καὶ λύπας. πάσης γὰρ ψυχῆς ὑφ' οἵων πέφυκε γίνεσθαι χείρων καὶ βελτίων, πρὸς ταῦτα καὶ περὶ ταῦτά ἐστιν ἡ ἡδονή. δι' ἡδονὰς δὲ καὶ λύπας φαύλους εἶναι, τῷ διώκειν καὶ φεύγειν, ἢ ὡς μὴ δεῖ ἢ ἃς μὴ δεῖ. διὸ καὶ διορίζονται πάντες προχείρως ἀπάθειαν καὶ ἠρεμίαν περὶ ἡδονὰς καὶ λύπας εἶναι τὰς ἀρετάς· τὰς δὲ κακίας ἐκ τῶν ἐναντίων. ἐπεὶ δ' ὑπόκειται ἀρετὴ εἶναι ἡ τοιαύτη ἕξις ἀφ' ἧς πρακτικοὶ τῶν βελτίστων, καὶ καθ' ἣν ἄριστα διάκειται περὶ τὸ βέλτιστον, βέλτιστον δὲ καὶ ἄριστον τὸ κατὰ τὸν ὀρθὸν λόγον, τοῦτο δ' ἐστὶ τὸ μέσον ὑπερβολῆς καὶ ἐλλείψεως τῆς πρὸς ἡμᾶς, ἀναγκαῖον ἂν εἴη τὴν ἠθικὴν ἀρετὴν καθ' αὑτὴν ἑκάστην μεσότητα εἶναι, ἢ περὶ μέσ' ἄττα ἐν ἡδοναῖς καὶ λύπαις καὶ ἡδέσι καὶ λυπηροῖς. ἔσται δὲ ἡ μεσότης, ὁτὲ μὲν ἐν ἡδοναῖς καὶ γὰρ ὑπερβολὴ καὶ ἔλλειψις· ὁτὲ δ' ἐν λύπαις, ὁτὲ δ' ἐν ἀμφοτέραις. ὁ γὰρ ὑπερβάλλων τῷ χαίρειν τῷ ἡδεῖ ὑπερβάλλει· καὶ ὁ τῷ λυπεῖσθαι τῷ ἐναντίῳ· καὶ ταῦτα ἢ ἁπλῶς ἢ πρός τινα ὅρον· οἷον ὅταν μὴ ὡς οἱ πολλοί· ὁ δ' ἀγαθὸς ὡς δεῖ. ἐπειδ' ἔστι τις ἕξις ἀφ' ἧς τοιοῦτος ἔσται ὁ ἔχων αὐτὴν ὥστε τοῦ αὐτοῦ πράγματος οὗ μὲν ἀποδέχεσθαι τὴν ὑπερβολὴν, οὗ δὲ τὴν ἔλλειψιν, ἀνάγκη ὡς ταῦτα ἀλλήλοις ἐναντία καὶ τῷ μέσῳ, οὕτω καὶ τὰς ἕξεις ἀλλήλαις ἐναντίας εἶναι καὶ τῇ ἀρετῇ. συμβαίνει μέντοι τὰς ἀντιθέσεις ἐνίοτε μὲν φανερωτέρας εἶναι πάσας

Virtutes intel[lectuales] in rationali. [Mo]rales in irrati[onali] habente appe[ti]tum.

Virtus moralis quid?

Virtute medium esse



L. r. f. ἕξις

ἔνθα δὲ πάσας ἐπὶ τὴν ὑπερβολὴν, ἐνιαχοῦ δὲ πάσας ἐπὶ τὴν ἔλλειψιν. αἴτιον δὲ τῆς ἐναντιώσεως, ὅτι οὐκ ἀεὶ ἐπὶ ταὐτὰ τῆς ἀνισότητος ἢ ὁμοιότητος πρὸς τὸ μέσον. ἀλλ' ὁτὲ μὲν θᾶττον ἂν μεταβαίη ἀπὸ τῆς ὑπερβολῆς ἐπὶ τὴν μέσην ἕξιν, ὁτὲ δὲ ἀπὸ τῆς ἐλλείψεως ἧς πλέον ἀπέχει, οὗτος δοκεῖ ἐναντιώτερος εἶναι. οἷον καὶ περὶ τὸ σῶμα. ἐν μὲν τοῖς πόνοις ὑγιεινότερον ἡ ὑπερβολὴ τῆς ἐλλείψεως, καὶ ἐγγύτερον τοῦ μέσου. ἐν δὲ τῇ τροφῇ ἡ ἔλλειψις ὑπερβολῆς. ὥστε καὶ αἱ προαιρετικαὶ ἕξεις αἱ φιλογυμνασταὶ, φιλουγιεῖς μᾶλλον ἔσονται καθ' ἑκατέραν τὴν αἵρεσιν. ἔνθα μὲν οἱ πολυπονώτεροι, ἔνθα δ' οἱ ὑποστατικώτεροι. καὶ ἐναντίως τῷ μετρίῳ καὶ τῷ ὡς ὁ λόγος, ἔνθα μὲν ὁ ἄπονος καὶ οὐκ ἄμφω, ἔνθα δὲ ὁ ἀπολαυστικὸς καὶ οὐχ ὁ πεινητικός. συμβαίνει δὲ τοῦτο, διότι ἡ φύσις εὐθὺς οὐ πρὸς ἅπαντα ὁμοίως ἀφέστηκε τοῦ μέσου. ἀλλ' ἧττον μὲν φιλόπονοι ἐσμέν, μᾶλλον δ' ἀπολαυστικοί. ὁμοίως δὲ ταῦτ' ἔχει καὶ περὶ ψυχῆς. ἐναντία δὲ τίθεμεν τὴν ἕξιν, ἐφ' ἥν τε ἁμαρτάνομεν μᾶλλον καὶ ἐφ' ἣν οἱ πολλοί. ἡ δ' ἑτέρα ὥσπερ οὐκ οὖσα λανθάνει. διὰ γὰρ τὸ ὀλίγον ἀναίσθητον ἐστίν. οἷον ὀργὴν πραότητα, καὶ τὸν ὀργίλον τῷ πράῳ. καίτοι ἐστὶν ὑπερβολὴ, καὶ ἐπὶ τῷ ἵλεων εἶναι, καὶ τῷ καταλλακτικὸν εἶναι, καὶ ὀργίζεσθαι ῥαπιζόμενον. ἀλλ' ὀλίγοι οἱ τοιοῦτοι. ἐπὶ δ' ἐκεῖνο δὲ πάντες ῥέπουσι μᾶλλον. διὸ καὶ οὐ κολακικὸν ὁ θυμός. ἐπεὶ δ' εἴληπται ἡ διαλογὴ τῶν ἕξεων καθ' ἕκαστα τὰ πάθη, καὶ αἱ ὑπερβολαὶ καὶ ἐλλείψεις καὶ τῶν ἐναντίων ἕξεων καθ' ἃς ἔχουσι κατὰ τὸν ὀρθὸν λόγον. τίς δ' ὀρθὸς λόγος, καὶ πρὸς τίνα δεῖ ὅρον ἀποβλέποντας λέγειν τὸ μέσον, ὕστερον ἐπισκεπτέον. φανερὸν δ' ὅτι πᾶσαι αἱ ἠθικαὶ ἀρεταὶ καὶ κακίαι περὶ ἡδονῶν καὶ λυπῶν ὑπερβολαὶ καὶ ἐλλείψεις εἰσί. καὶ ἡδοναὶ καὶ λῦπαι ἀπὸ τῶν εἰρημένων ἕξεων καὶ παθημάτων γίνονται. ἀλλὰ μὴν ἡ βελτίστη ἕξις ἡ περὶ ἕκαστα, μέση ἐστί. δῆλον τοίνυν ὅτι αἱ ἀρεταὶ ἢ πᾶσαι ἢ τούτων τινὲς

ἔσονται

Notandū



ἔσονται τῶν μεσοτήτων. λάβωμεν οὖν ἄλλην ἀρχὴν τῆς ἐπιούσης σκέψεως. εἰσὶ δὴ πᾶσαι μὲν αἱ οὐσίαι, κατὰ φύσιν τινὲς ἀρχαί. διὸ καὶ ἑκάστη πολλὰ δύναται τοιαῦτα γεννᾷν, οἷον ἄνθρωπος ἀνθρώπους, καὶ ζῷον ὅλως ζῷα, καὶ φυτὸν φυτά. πρὸς δὲ τούτοις ὅγ' ἄνθρωπος, καὶ πράξεών τινων ἐστὶν ἀρχὴ μόνον τῶν ζῴων. τῶν γὰρ ἄλλων οὐθὲν εἴποιμεν ἂν πράττειν. τῶν ἀρχῶν ὅσαι τοιαῦται, ὅθεν πρῶτον αἱ κινήσεις, κύριαι λέγονται. μάλιστα δὲ δικαίως ἀφ' ὧν μὴ ἐνδέχεται ἄλλως. ἣν ἴσως ὁ θεὸς ἄρχει. ἐν δὲ ταῖς ἀκινήτοις ἀρχαῖς οἷον ἐν ταῖς μαθηματικαῖς οὐκ ἔστι τὸ κύριον. καίτοι λέγεταί γε καθ' ὁμοιότητα. καὶ γὰρ ἐνταῦθα κινουμένης τῆς ἀρχῆς, πάντα μάλιστ' ἂν τὰ δεικνύμενα μεταβάλλοι. αὐτὰ δ' αὑτὰ οὐ μεταβάλλει ἀναιρούμενα θάτερα ὑπὸ θατέρου, ἂν μὴ τῷ τὴν ὑπόθεσιν ἀνελεῖν καὶ δι' ἐκείνης δεῖξαι. ὁ δ' ἄνθρωπος ἀρχὴ κινήσεώς τινος. ἡ γὰρ πρᾶξις κίνησις. ἐπεὶ δ' ὥσπερ ἐν τοῖς ἄλλοις ἡ ἀρχὴ αἰτία ἐστὶ τῶν δι' αὐτὴν ὄντων ἢ γινομένων, δεῖ νοῆσαι καθάπερ ἐπὶ τῶν ἀποδείξεων. εἰ γὰρ ἔχοντος τοῦ τριγώνου δύο ὀρθὰς, ἀνάγκη τὸ τετράγωνον ἔχειν τέτταρας ὀρθὰς, φανερὸν ὡς αἴτιον τούτου, τὸ δύο ὀρθὰς ἔχειν τὸ τρίγωνον. εἰ δέ γε μεταβάλλει τὸ τρίγωνον, ἀνάγκη καὶ τὸ τετράγωνον μεταβάλλειν. οἷον εἰ τρεῖς ἕξ, εἰ δὲ τέτταρες ὀκτώ. κἂν μὴ μεταβάλλοι, τοιοῦτον δ' ἐστί. κἀκεῖνο, τοιοῦτον ἀναγκαῖον εἶναι. δῆλον δ' ὃ ἐπιχειροῦμεν, ὅτι ἀναγκαῖον ἐκ τῶν ἀναλυτικῶν. νῦν δ' οὔτε μὴ λέγειν οὔτε λέγειν ἀκριβῶς οἷόν τε. πλὴν τοσοῦτον. εἰ γὰρ μηθὲν ἄλλο αἴτιον τοῦ τὸ τρίγωνον οὕτως ἔχειν, ἀρχή τις ἂν εἴη τοῦτο, καὶ αἴτιον τῶν ὑστέρων. ὥστ' εἴπερ ἐστὶν ἔνια τῶν ὄντων ἐνδεχόμενα ἐναντίως ἔχειν, ἀνάγκη καὶ τὰς ἀρχὰς αὐτῶν εἶναι τοιαύτας. ἐκ γὰρ τῶν ἐξ ἀνάγκης, ἀναγκαῖον τὸ συμβαῖνόν ἐστι. τὰ δὲ ἐκ τούτων ἐνδέχεται γενέσθαι τἀναντία. καὶ ὃ ἐφ' αὑτοῖς ἐστι τοῖς ἀνθρώποις, πολλὰ τῶν τοιούτων καὶ ἀρχαὶ τῶν τοιούτων εἰσίν.

ἡ πρᾶξις κίνησις

ὥστε ὅσων πράξεων ὁ ἄνθρωπός ἐστιν ἀρχὴ καὶ κύριος, φανερὸν ὅτι ἐνδέχεται καὶ γίνεσθαι καὶ μή. καὶ ὅτι ἐφ' αὑτῷ ταῦτ' ἐστὶ γίνεσθαι καὶ μή, ὧν γε κύριός ἐστι τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι. ὅσα δ' ἐφ' αὑτῷ ἐστι ποιεῖν ἢ μὴ ποιεῖν, αἴτιος τούτων οὗτός ἐστι. καὶ ὅσων αἴτιος ἐφ' αὑτῷ. ἐπεὶ δ' ἥ τε ἀρετὴ καὶ ἡ κακία, καὶ τὰ ἀπ' αὐτῶν ἔργα, τὰ μὲν ἐπαινετὰ, τὰ δὲ ψεκτὰ, ψέγεται γὰρ καὶ ἐπαινεῖται, οὐ διὰ τὰ ἐξ ἀνάγκης ἢ τύχης ἢ φύσεως ὑπάρχοντα, ἀλλ' ὅσων αὐτοὶ αἴτιοι ἐσμέν. ὅσων γὰρ ἄλλος αἴτιος, ἐκεῖνος καὶ τὸν ψόγον καὶ τὸν ἔπαινον ἔχει, δῆλον ὅτι καὶ ἡ ἀρετὴ καὶ ἡ κακία περὶ ταῦτ' ἐστὶν, ὧν αὐτὸς αἴτιος καὶ ἀρχὴ πράξεων. ληπτέον ἄρα ποίων αὐτὸς αἴτιος καὶ ἀρχὴ πράξεων. πάντες μὲν δὴ ὁμολογοῦμεν, ὅσα μὲν ἑκούσια καὶ κατὰ προαίρεσιν τὴν ἑκάστου, ἐκεῖνον αἴτιον εἶναι. ὅσα δὲ ἀκούσια, οὐκ αὐτὸν αἴτιον. πάντα δ' ὅσα προελόμενος καὶ ἑκὼν δῆλον ὅτι. δῆλον τοίνυν ὅτι ἡ ἀρετὴ καὶ ἡ κακία τῶν ἑκουσίων ἂν εἴησαν. ληπτέον ἄρα τί τὸ ἑκούσιον καὶ ἀκούσιον. καὶ τί ἐστιν ἡ προαίρεσις. ἐπεὶ δὴ ἡ ἀρετὴ καὶ ἡ κακία ὁρίζεται τούτοις, πρῶτον σκεπτέον τὸ ἑκούσιον καὶ τὸ ἀκούσιον. τριῶν δὴ τούτων ἕν τι δόξειεν ἂν εἶναι, ἤτοι κατὰ ὄρεξιν ἢ κατὰ προαίρεσιν ἢ κατὰ διάνοιαν. τὸ μὲν ἑκούσιον κατὰ τούτων τι. τὸ δ' ἀκούσιον παρὰ τούτων τι. ἀλλὰ μὴν ἡ ὄρεξις εἰς τρία διαιρεῖται, εἰς βούλησιν καὶ θυμὸν καὶ ἐπιθυμίαν. ὥστε ταῦτα διαιρετέον. καὶ πρῶτον κατ' ἐπιθυμίαν. δόξειε δ' ἂν πᾶν τὸ κατ' ἐπιθυμίαν ἑκούσιον εἶναι. τὸ γὰρ ἀκούσιον πᾶν δοκεῖ εἶναι βίαιον. τὸ δὲ βίαιον λυπηρόν. καὶ πᾶν ὃ ἀναγκαζόμενοι ποιοῦσιν ἢ πάσχουσιν. ὥσπερ καὶ Εὔηνός φησι· πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ. ὥστ' εἴ τι λυπηρὸν, βίαιον. καὶ εἰ βίαιον, λυπηρόν. τὸ δὲ παρὰ τὴν ἐπιθυμίαν πᾶν λυπηρόν. ἡ γὰρ ἐπιθυμία τοῦ ἡδέος. ὥστε βίαιον καὶ ἀκούσιον. τὸ ἄρα κατ' ἐπιθυμίαν ἑκούσιον. ἐναντία γὰρ ταῦτ' ἀλλήλοις. ἔτι ἡ μοχθηρία ἀδικώτερον ἅπασα ποιεῖ. ἡ δ' ἀκρασία μοχθηρία

μοχθηρία

*Laudamur aut vituperamur non a necessarijs nec ab his quae sunt fortunae aut naturae*

*Voluntariu & coactum qd?*

*ὄρεξις ds 3 dividitur. βούλησις θυμός ἐπιθυμία*

*Euenus*



χθηρία δοκεῖ εἶναι. ὁ δ' ἀκρατὴς ὁ κατὰ τὴν ἐπιθυμίαν, παρὰ τὸν λογισμὸν οἷος πράττειν. κατ' ἐπιθυμίαν. ἑκὼν ἄρα πράξει καὶ ἑκούσιον τὸ κατ' ἐπιθυμίαν. καὶ γὰρ ἄτοπον εἰ δικαιότεροι ἔσονται οἱ ἀκρατεῖς γινόμενοι. ἐκ μὲν τοίνυν τούτων δόξειεν ἂν τὸ κατ' ἐπιθυμίαν ἑκούσιον εἶναι. ἐκ δὲ τῶνδε, τοὐναντίον. ἅπαν γὰρ ὃ ἑκών τις πράττει, βουλόμενος πράττει. καὶ ὃ βούλεται, ἑκών. βούλεται δὲ οὐθεὶς ὃ οἴεται εἶναι κακόν. ἀλλὰ μὴν ὁ ἀκρατευόμενος οὐχ ἃ βούλεται ποιεῖ. τὸ γὰρ παρ' ὃ οἴεται βέλτιστον εἶναι πράττειν δι' ἐπιθυμίαν, ἀκρατεύεσθαί ἐστιν. ὥστε ἅμα συμβήσεται τὸν αὐτὸν ἑκόντα καὶ ἄκοντα πράττειν. τοῦτο δ' ἀδύνατον. ἔτι δ' ὁ ἐγκρατὴς δικαιοπραγήσει καὶ μᾶλλον τῆς ἀκρασίας. ἡ γὰρ ἐγκράτεια ἀρετή. ἡ δ' ἀρετὴ δικαιοτέρους ποιεῖ. ἐγκρατεύεται δὲ ὅταν πράττῃ παρὰ τὴν ἐπιθυμίαν κατὰ τὸν λογισμόν. ὥστ' εἰ τὸ μὲν δικαιοπραγεῖν ἑκούσιον, ὥσπερ καὶ τὸ ἀδικεῖν, ἄμφω γὰρ δοκεῖ ταῦτα ἑκούσια εἶναι, καὶ ἀνάγκη εἰ θάτερον ἑκούσιον, καὶ θάτερον, τὸ δὲ παρὰ τὴν ἐπιθυμίαν ἑκούσιον, ἅμα ἄρα ὁ αὐτὸς τὸ αὐτὸ πράξει ἑκὼν καὶ ἄκων. ὁ δ' αὐτὸς λόγος καὶ περὶ θυμοῦ. ἀκρασία γὰρ καὶ ἐγκράτεια καὶ θυμοῦ δοκεῖ εἶναι ὥσπερ καὶ ἐπιθυμίας. καὶ τὸ παρὰ τὸν θυμὸν λυπηρόν. καὶ βίαιον ἡ κάθεξις. ὥστ' εἰ τὸ βίαιον ἀκούσιον, τὸ κατὰ τὸν θυμὸν ἑκούσιον ἂν εἴη πᾶν. ἔοικε δὲ καὶ Ἡράκλειτος λέγειν εἰς τὴν ἰσχὺν τοῦ θυμοῦ βλέψας, ὅτι λυπηρὰ ἡ κώλυσις αὐτοῦ. χαλεπὸν γάρ φησι θυμῷ μάχεσθαι. ψυχῆς γὰρ ὠνεῖται. εἰ δ' ἀδύνατον τὸ αὐτὸ ἑκόντα καὶ ἄκοντα πράττειν ἅμα τὸ κατὰ τὸ αὐτὸ τοῦ πράγματος, μᾶλλον ἑκούσιον τὸ κατὰ βούλησιν τοῦ κατ' ἐπιθυμίαν καὶ θυμόν. τεκμήριον δέ. πολλὰ γὰρ πράττομεν ἑκόντες ἄνευ ὀργῆς καὶ ἐπιθυμίας. λείπεται ἄρα εἰ τὸ βουλόμενον καὶ ἑκούσιον ταὐτὸ σκέψασθαι. φαίνεται δὲ καὶ τοῦτο ἀδύνατον. ὑπόκειται γὰρ ἡμῖν καὶ δοκεῖ ἡ μοχθηρία ἀδικωτέρους ποιεῖν. ἡ δ' ἀκρασία μοχθηρία τίς φαίνεται.

*Heraclitus*

.: ſ. ἀκούσι

συμβήσεται δὲ τοὐναντίον. βούλεται μὲν γὰρ οὐθεὶς ἃ οἴεται εἶναι κακά. πράττει δ' ὅταν γίνηται ἀκρατής. εἰ οὖν τὸ μὲν ἀδικεῖν ἑκούσιον, τὸ δ' ἑκούσιον τὸ κατὰ βούλησιν, ὅταν ἀκρατὴς γένηται οὐκέτι ἀδικήσει, ἀλλ' ἔσται δικαιότερος ἢ πρίν γε ἀκρατής. τοῦτο δ' ἀδύνατον. ὅτι μὲν τοίνυν οὐκ ἔστι τὸ ἑκούσιον τὸ κατὰ ὄρεξιν πράττειν, οὐδ' ἀκούσιον τὸ παρὰ τὴν ὄρεξιν, φανερόν. ὅτι δ' οὐδὲ κατὰ προαίρεσιν πάλιν ἐκ τῶνδε δῆλον. τὸ μὲν γὰρ κατὰ βούλησιν ὡς οὐκ ἀκούσιον ἀπεδείχθη, ἀλλὰ μᾶλλον πᾶν ὃ βούλεται καὶ ἑκούσιον. ἀλλ' ὅτι καὶ μὴ βουλόμενον ἐνδέχεται πράττειν ἑκόντα, τοῦτο δέδεικται μόνον. πολλὰ δὲ βουλόμενοι πράττομεν ἐξαίφνης. προαιρεῖται δ' οὐδεὶς οὐδὲν ἐξαίφνης. εἰ δ' ἀνάγκη μὲν ἦν τριῶν τούτων ἕν τι εἶναι τὸ ἑκούσιον, ἢ κατ' ὄρεξιν, ἢ κατὰ προαίρεσιν, ἢ κατὰ διάνοιαν, τούτων δὲ τὰ δύο μὴ ἔστι, λείπεται ἐν τῷ διανοούμενόν πως πράττειν εἶναι τὸ ἑκούσιον. ἔτι δὲ μικρὸν προαγαγόντες τὸν λόγον, ἐπιθῶμεν τέλος τῷ περὶ τοῦ ἑκουσίου καὶ ἀκουσίου διορισμῷ. δοκεῖ γὰρ τὸ βίᾳ καὶ μὴ βίᾳ τι ποιεῖν, οἰκεῖα τοῖς εἰρημένοις εἶναι. τό, τε γὰρ βίαιον ἀκούσιον, καὶ τὸ ἀκούσιον πᾶν βίαιον εἶναι φαμέν. ὥστε περὶ τοῦ βίᾳ σκεπτέον πρῶτον τί ἐστι καὶ πῶς ἔχει πρὸς τὸ ἑκούσιον καὶ ἀκούσιον. δοκεῖ δὴ τὸ βίαιον καὶ τὸ ἀναγκαῖον ἀντικεῖσθαι καὶ ἡ βία καὶ ἡ ἀνάγκη, τῷ ἑκουσίῳ καὶ τῇ πειθοῖ ἐπὶ τῶν πραττομένων. καθόλου δὲ τὸ βίαιον καὶ τὴν ἀνάγκην καὶ ἐπὶ τῶν ἀψύχων λέγομεν. καὶ γὰρ τὸ πῦρ κάτω βίᾳ καὶ ἀναγκαζόμενον φέρεσθαι φαμέν. τοῦτο δ' ὅταν κατὰ τὴν φύσιν καὶ τὴν καθ' αὑτὸ ὁρμὴν φέρηται, οὐ βίᾳ. οὐ μὴν οὐδ' ἑκούσια λέγεται. ἀλλ' ἀνώνυμος ἡ ἀντίθεσις. ὅταν δὲ παρὰ ταύτην, βίᾳ φαμέν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀψύχων καὶ ἐπὶ τῶν ζώων ὁρῶμεν βίᾳ πολλὰ καὶ πάσχοντα καὶ ποιοῦντα, ὅταν παρὰ τὴν ἐν αὐτῷ ὁρμὴν ἔξωθέν τις κινῇ. ἐν μὲν τοῖς ἀψύχοις ἁπλῆ ἡ ἀρχή. ἐν δὲ τοῖς ἐμψύχοις πλεο-

βίαι ἢ βίᾳ] γρ.





νάζει. οὐ γὰρ ἀεὶ ἡ ὄρεξις καὶ ὁ λόγος συμφωνεῖ. ὥστ' ἐπὶ μὲν τῶν ἄλλων ζώων ἁπλοῦν τὸ βίαιον, ὥσπερ ἐπὶ τῶν ἀψύχων. οὐ γὰρ ἔχει λόγον καὶ ὄρεξιν ἐναντίαν. ἀλλὰ τῇ ὀρέξει ζῇ. ἐν δ' ἀνθρώπῳ ἔνεστιν ἄμφω, καὶ ἔν τινι ἡλικίᾳ, ᾗ καὶ τὸ πράττειν ἀποδίδομεν. οὐ γὰρ φαμὲν τὸ παιδίον πράττειν, οὐδὲ τὸ θηρίον, ἀλλὰ τὸν ἤδη διὰ λογισμὸν πράττοντα. δοκεῖ δὴ τὸ βίαιον ἅπαν λυπηρὸν εἶναι. καὶ οὐθεὶς βίᾳ μὲν ποιεῖ, χαίρων δέ. διὸ περὶ τὸν ἐγκρατῆ καὶ τὸν ἀκρατῆ πλείστη ἀμφισβήτησίς ἐστιν. ἐναντίας γὰρ ὁρμὰς ἔχων αὐτὸς ἕκαστος αὐτῶν πράττει. ὥσθ' ὅ τ' ἐγκρατής, βίᾳ φασὶν ἀφέλκει αὑτὸν ἀπὸ τῶν ἡδέων ἐπιθυμιῶν. ἀλγεῖ γὰρ ἀφέλκων πρὸς ἀντιτείνουσαν ὄρεξιν. ὅ τ' ἀκρατὴς βίᾳ παρὰ τὸν λογισμόν. ἧττον δὲ δοκεῖ λυπεῖσθαι. ἡ γὰρ ἐπιθυμία τοῦ ἡδέος, ᾗ ἀκολουθεῖ χαίρων. ὥσθ' ὁ ἀκρατὴς μᾶλλον ἑκὼν καὶ οὐ βίᾳ. ὅτι οὐ λυπηρῶς. ἡ δὲ πειθὼ τῇ βίᾳ καὶ ἀνάγκῃ ἀντιτίθεται. ὁ δ' ἐγκρατὴς ἐφ' ἃ πέπεισται ἄγει. καὶ πορεύεται οὐ βίᾳ, ἀλλ' ἑκών. ἡ δ' ἐπιθυμία οὐ πείσασα ἄγει. οὐ γὰρ μετέχει λόγου. ὅτι μὲν οὖν δοκοῦσιν οὗτοι μόνοι βίᾳ καὶ ἄκοντές τι ποιεῖν, καὶ διὰ τίνα αἰτίαν, ὅτι καθ' ὁμοιότητά τινα τοῦ βίᾳ, καθ' ἣν καὶ ἐπὶ τῶν ἀψύχων λέγομεν, εἴρηται. οὐ μὴν ἀλλ' εἴ τις προσθείη τὸ ἐν αὐτῷ διορισμῷ προκείμενον, κἀκεῖ λύεται τὸ λεχθέν. ὅταν μὲν γὰρ ἔξωθέν τι παρὰ τὴν ἐν αὐτῷ ὁρμὴν κινῇ ἢ ἠρεμίζῃ, βίᾳ φαμέν. ὅταν δὲ μή, οὐ βίᾳ. ἐν δὲ τῷ ἐγκρατεῖ καὶ ἀκρατεῖ ἡ καθ' αὑτὸν ὁρμὴ ἐνοῦσα ἄγει. ἄμφω γὰρ ἔχει. ὥστ' οὐ βίᾳ οὐδέτερος, ἀλλ' ἑκὼν διά γε ταῦτα πράττοι ἄν, οὐδ' ἀναγκαζόμενος. τὴν γὰρ ἔξωθεν ἀρχὴν τὴν παρὰ τὴν ὁρμὴν ἢ ἐμποδίζουσαν ἢ κινοῦσαν ἀνάγκην λέγομεν. ὥσπερ εἴ τις λαβὼν τὴν χεῖρα τύπτοι τινὰ ἀντιτείνοντος, καὶ τῷ βούλεσθαι καὶ τῷ ἐπιθυμεῖν. ὅταν δ' ἔσωθεν ἡ ἀρχή, οὐ βίᾳ. ἔτι καὶ ἡδονὴ καὶ λύπη ἐν ἀμφοτέροις ἔνεστι. καὶ γὰρ ὁ ἐγκρατευόμενος λυπεῖται παρὰ τὴν ἐπιθυμίαν πράττων ἤδη, καὶ χαίρει τὴν ἀπ' ἐλ-

πόλεως ἢ ἀνὴρ ὅτι ὕστερον ὠφεληθήσεται, ἢ καὶ ἤδη ὠφελεῖται ὑγιαίνων. καὶ ὁ ἀκρατὴς χαίρει μὲν τυγχάνων ἀκρατευόμενος οὗ ἐπιθυμεῖ. λυπεῖται δὲ τὴν ἀπελπίδος λύπην. οἴεται γὰρ κακὸν πράττειν. ὥστε τὸ μὲν βίᾳ ἑκάτερον φάναι ποιεῖν ἔχει λόγον. καὶ διὰ τὴν ὄρεξιν καὶ διὰ τὸν λογισμὸν ἑκάτερος ἄκοντας ποτὲ πράττειν. κεχωρισμένα γὰρ ὄντα ἑκάτερα ἐκκρούεται ὑπ' ἀλλήλων. ὅθεν καὶ ἐπὶ τὴν ὅλην μεταφέρουσι ψυχήν, ὅτι τῶν ἐν ψυχῇ τι τοιοῦτον ὁρῶσιν. ἐπὶ μὲν οὖν τῶν μορίων ἐνδέχεται τοῦτο λέγειν. ἡ δ' ὅλη ἑκοῦσα ψυχὴ καὶ τοῦ ἀκρατοῦς καὶ τοῦ ἐγκρατοῦς πράττει. βίᾳ δ' οὐδέτερος. ἀλλὰ τῶν ἐν ἐκείνοις τι. ἐπεὶ καὶ φύσει ἀμφότερα ἔχομεν. καὶ γὰρ ὁ λόγος φύσει ἄρχων, ὅτι ἐωμένης τῆς γενέσεως καὶ μὴ πηρωθείσης ἐνέσται. καὶ ἡ ἐπιθυμία, ὅτι εὐθὺς ἐκ γενετῆς ἀκολουθεῖ καὶ ἔνεστι. σχεδὸν δὲ τούτοις δυσὶ τὸ φύσει διορίζομεν, τῷ τε ὅσα εὐθὺς γινομένοις ἀκολουθεῖ πᾶσι, καὶ ὅσα ἐωμένης τῆς γενέσεως εὐθυπορεῖν, γίνεται ἡμῖν, οἷον πολιὰ καὶ γῆρας καὶ τἄλλα τὰ τοιαῦτα. ὥστε μὴ κατὰ φύσιν ἑκάτερος πράττει. ἁπλῶς δὲ κατὰ φύσιν ἑκάτερος, οὐ τὴν αὐτήν. αἱ μὲν οὖν περὶ τὸν ἐγκρατῆ καὶ ἀκρατῆ ἀπορίαι περὶ τοῦ βίᾳ πράττειν ἢ ἀμφοτέρους ἢ τὸν ἕτερον, ὥστε ἢ μὴ ἑκόντας, ἢ ἅμα βίᾳ καὶ ἄκοντας. εἰ δὲ τὸ βίᾳ ἀκούσιον, ἅμα ἑκόντας καὶ ἄκοντας πράττειν. σχεδὸν δὲ ἐκ τῶν εἰρημένων δῆλον ἡμῖν ὡς ἀπαντητέον. λέγονται δὲ κατὰ ἄλλον τρόπον βίᾳ καὶ ἀναγκασθέντες πρᾶξαι, οὐ διαφωνοῦντος τοῦ λόγου καὶ τῆς ὀρέξεως, ὅταν πράττωσιν, ὃ καὶ λυπηρὸν καὶ φαῦλον ὑπολαμβάνουσιν. ἀλλ' ἂν μὴ τοῦτο πράττωσι, πληγαὶ ἢ θάνατοι ὦσι. ταῦτα γάρ φασιν ἀναγκασθέντες πρᾶξαι ἢ οὔ. ἀλλὰ πάντες ποιοῦσιν αὐτὸ τοῦτο. ἔξεστι γὰρ μὴ ποιεῖν, ἀλλ' ἐκεῖνο ὑπομεῖναι τὸ πάθος. ἔτι ἴσως τούτων τὰ μὲν φαίη τις ἄν, τὰ δ' οὔ. ὅσα μὲν γὰρ ἐφ' ἑαυτῷ τῶν τοιούτων μὴ ὑπάρξαι ἢ ὑπάρξαι, δεῖ ὅσα πράττει, ἃ μὴ βούλεται, ἑκὼν πράττει καὶ οὐ βίᾳ. ὅσα δὲ μὴ ἐφ'





αὐτῷ τῶν τοιούτων, βίᾳ πως, οὐ μέντοι γε ἁπλῶς, ὅτι οὐκ αὐτὸ τοῦτο προαιρεῖται ὃ πράττει, ἀλλ' οὗ ἕνεκα. ἐπεὶ καὶ ἐν τούτοις ἐστί τις διαφορά. εἰ γὰρ ἵνα μὴ λάβῃ ψηλαφῶν ἀποκτείνῃ, γελοῖος ἂν εἴη, εἰ λέγοι ὅτι βίᾳ καὶ ἀναγκαζόμενος. ἀλλὰ δεῖ μεῖζον κακὸν καὶ λυπηρότερον εἶναι, ὃ πείσεται μὴ ποιήσας. οὕτω γὰρ ἀναγκαζόμενος καὶ μὴ βίᾳ πράξει, ἢ οὐ φύσει, ὅταν κακὸν ἀγαθοῦ ἕνεκα ἢ μείζονος κακοῦ ἀπολύσεως πράττῃ, καὶ ἄκων γε. οὐ γὰρ ἐφ' αὐτῷ ταῦτα. διὸ καὶ τὸν ἔρωτα πολλοὶ ἀκούσιον τιθέασι, καὶ θυμοὺς ἐνίους καὶ τὰ φυσικά, ὅτι ἰσχυρὰ καὶ ὑπὲρ τὴν φύσιν. καὶ συγγνώμην ἔχομεν ὡς πεφυκότα βιάζεσθαι τὴν φύσιν. καὶ μᾶλλον ἂν δόξειε βίᾳ καὶ ἄκων πράττειν, ἵνα μὴ ἀλγῇ ἰσχυρῶς, ἢ ἵνα μὴ ἠρέμα. καὶ ὅλως ἵνα μὴ χαίρῃ. τὸ γὰρ ἐφ' αὐτῷ, εἰς ὃ ἀνάγεται ὅλον, τοῦτό ἐστιν, ὃ ἡ αὐτοῦ φύσις οἵα τε φέρειν. ὃ δὲ μὴ οἵα τε, μηδ' ἐστὶ τῆς ἐκείνου φύσει ὀρέξεως ἢ λογισμοῦ, οὐκ ἐφ' αὐτῷ. διὸ καὶ τοὺς ἐνθουσιῶντας καὶ προλέγοντας, καίπερ διανοίας ἔργον ποιοῦντας, ὅμως οὔ φαμεν ἐφ' αὐτοῖς εἶναι, οὔτε εἰπεῖν ἃ εἶπον, οὔτε πρᾶξαι ἃ ἔπραξαν. ἀλλὰ μὴν οὐδὲ δι' ἐπιθυμίαν. ὥστε καὶ διάνοιαί τινες καὶ πάθη, οὐκ ἐφ' ἡμῖν εἰσιν. ἢ πράξεις αἱ κατὰ τὰς τοιαύτας διανοίας καὶ λογισμούς. ἀλλ' ὥσπερ Φιλόλαος ἔφη, εἶναί τινας λόγους κρείττους ἡμῶν. ὡς τὸ ἑκούσιον καὶ ἀκούσιον, καὶ πρὸς τὸ βίᾳ ἔδει σκέψασθαι. τοῦτο μὲν οὕτω διηρήσθω. οἱ γὰρ μάλιστ' ἐμποδίζοντες τὸ ἑκούσιον ὡς βίᾳ πράττοντες, ἀλλ' ἑκόντες. ἐπεὶ δὴ τοῦτ' ἔχει τὸ τέλος, καὶ οὔτε τῇ ὀρέξει οὔτε τῇ προαιρέσει τὸ ἑκούσιον ὥρισται, λοιπὸν δὴ ὁρίσασθαι τὸ κατὰ διάνοιαν. δοκεῖ δὴ ἐναντίον εἶναι τὸ ἑκούσιον τῷ ἀκουσίῳ, καὶ τὸ εἰδότα ἢ ὃν ἢ ᾧ ἢ οὗ ἕνεκα. ἐνίοτε γὰρ οἶδε μὲν ὅτι πατήρ, ἀλλ' οὐχ ἵνα ἀποκτείνῃ, ἀλλ' ἵνα σώσῃ, ὥσπερ αἱ Πελιάδες ἤτουν, ὡς ὅτι μὲν πόμα, ἀλλ' ὡς φίλτρον καὶ οἶνον, τὸ δ' ἦν κώνειον. τῷ δ' ἀγνοοῦντι καὶ ὃν καὶ ᾧ καὶ ὃ δι' ἄγνοιαν μὴ κατὰ συμβεβηκός, τὸ δὲ δι' ἄγνοιαν καὶ

ἐνθουσιῶντες καὶ προλέγοντες

Philolaus

Peliades .i. peliae



Peliae filiae

ὁ καὶ ὧν ἑκὼν οὐκ ἂν ἑκούσιον· τὸ ἐναντίον ἄρα ἑκούσιον· ὅσα μὴ δι' ἄγνοιαν ἐφ' ἑαυτῷ ὄν μὴ πράττῃ, πράττῃ μὴ ἀγνοῶν καὶ δι' αὐτόν, ἑκούσια ταῦτ' ἂν ἀνάγκη εἶναι· καὶ τὸ ἑκούσιον τοῦ εἶναι· ὅσα δ' ἀγνοῶν καὶ διὰ τὸ ἀγνοεῖν, ἄκων· ἐπεὶ δὲ τὸ ἐπίστασθαι καὶ τὸ εἰδέναι διττόν, ἐνεμὶ τὸ ἔχειν· ἐν δὲ τὸ χρῆσθαι τῇ ἐπιστήμῃ, ὁ ἔχων μὴ χρώμενος δέ, ὅστε μὴ ὡς δικαίως ἀγνοῶν λέγοιτο· ὅστε δ' ὡς οὐ δικαίως οἷον εἰ διὰ μέλειαν μὴ ἔχοι τὸ· ὁμοίως δὲ καὶ μὴ ἔχων τις ψέγοιτο ἂν εἰ ὀφλισκάνων ἢ ἀναγκαῖον ἦν, μὴ ἔχει διὰ μέλειαν ἢ ἡδονὴν ἢ λύπην· ταῦτ' οὖν προσδιοριστέον· περὶ μὲν οὖν τοῦ ἑκουσίου καὶ ἀκουσίου διωρίσθω τοῦτον τὸν τρόπον· περὶ δὲ προαιρέσεως, μετὰ τοῦτο λεχθὲν διαπορήσαντες πρῶτον τῷ λόγῳ περὶ αὐτῆς· δοκάσεις γὰρ αὐτῆς ἐν τῷ, μάλιστ' οἰκεῖον καὶ ἐν ποιῷ θεῖναι αὐτὴν χρή· ⁋ πότερον δ' ταὐτὸν τὸ ἑκούσιον ⁋ τὸ προαιρετόν, ἢ ταὐτὰ ὄντα· μᾶλλον δὲ λέγεται παρά τινων, ⁋ ζητοῦντ'· δόξειε δ' ἂν δυοῖν εἶναι θάτερον ἡ προαίρεσις· ἤτοι δόξα, ἢ ὄρεξις· ἀμφότερα γὰρ φαίνεται παρακολουθοῦντα· ὅτι μὲν οὖν οὐκ ὄρεξις φανερόν· ἢ γὰρ βούλησις ἂν εἴη· ἢ ἐπιθυμία ἢ θυμός· οὐδεὶς γὰρ ὀρέγεται μηδὲν πεπονθὼς ἀλόγων· θυμὸς μὲν οὖν καὶ ἐπιθυμία καὶ βούλησις ὑπάρχει· προαίρεσις δ' οὔ· ἔτι δὲ καὶ οἱ σὺ πάρχει ἀμφοτέροις ταῦτα, πολλὰ καὶ ἄνευ θυμοῦ καὶ ἐπιθυμίας προαιροῦνται· καὶ ἐγκρατεῖς παθόντες ὄντες ὁ προαιροῦνται ἀλλὰ κρατοῦσιν· ἐπὶ ἐπιθυμίας μὲν καὶ θυμὸς ἀεὶ μετὰ λύπης· προαιρούμεθα δὲ πολλὰ καὶ ἄνευ λύπης· ἀλλὰ μὴν ὀρέξις γε βούλησις καὶ προαίρεσις ταὐτὸν· βούλονται μὲν γὰρ ταὐτὸν, οὐκ ἀδυνάτων εἰδότες οἷοί τε βασιλεύσαντε πάντων ἀνθρώπων καὶ ἀθάνατοι εἶναι· προαιρεῖται δ' ὀρθεῖσ μὴ ἀγνοῶν ὅτι ἀδύνατον· οὐδ' ὅλως ὁ δυνατὸς μὲν μὴ ἐφ' αὑτῷ δ' οἴεται πράξαι ἢ μὴ πρᾶξαι· ὥστε τοῦτ' ἂν φανερὸν, ὅτι ἀνάγκη τὸ προαιρετὸν, τ' ἐφαυτῷ δοκοῦντ' εἶναι· ὁμοίως δὲ δῆλον ὅτι οὐδὲ δόξα· ἁπλῶς εἴπερ οἴεταί τι· τ' γὰρ ἐφ'



αὑτῷ πεῖναι, τὸ προαιρετόν· δοξάζομεν δὲ πολλὰ ⁋ ἐφ' οὐκ ὄντων ἐφ' ἡμῖν· οἷον τὸν δικαιότερον σύμμετρον· ἔτι δ' ὅστε προαίρεσις ἀληθὴς ἢ ψευδής· ὅδε δή· ἢ ἐφ' αὑτῷ ὄντων πρακτῶν δόξαν ἢ τυγχάνομεν οἱόμενοι δεῖν τι πράττειν ἢ ἀπραγμονεῖν· κοινὸν δὲ πεῖ δόξης τοῦτο καὶ βουλήσεως οὐθεὶς γὰρ τέλος ὅδ' ἕν προαιρεῖται· ἀλλὰ τὰ πρὸς τὸ τέλος· λέγω δὲ οἷον ὑγιείᾳ εὐθεῖα ὑπαίνειν προαιρεῖται· ἀλλὰ πεῖ πατεῖν ἢ καθῆσθαι· τοῦ ὑπαίνειν ἕνεκα· ὁ δ' εὐδαιμονεῖν· ἀλλὰ χρηματίζεσθαι· ἢ κιμδυνεύειν τοῦ εὐδαιμονεῖν ἕνεκα· καὶ ὅλως δή λοῖ ἀεὶ προαιρούμ τί, τ τίνος ἕνεκα προαιρεῖται· ὅστε δὲ τὸ μὲν τίνος, ὃ ἕνεκα προαιρεῖται, ἄλλο· τὸ δὲ τί, ὃ προαιρεῖται, ἕνεκα ἄλλ· βάλεται δέ μάλιστα τὸ τέλος· καὶ δοξάζ μὴ δεῖ καὶ ὑπαίνειν μὴ δῦ πράττ μ· ὥστε φανερὸν διὰ τούτων, ὅτι ἄλλο ⁋ δόξης βαλήσεως· βάλεσθ μὲν δόξα μάλιστα τοῦ τέλους· προαίρεσισδ' ἐκ ὅστιν· ὅτι μὲν δ' ἐνδέχεται ὅτι βάλησις ὅτι δόξα ἀδ' ὑπόληψις· ἀπλῶς δ' ἡ προαίρεσις, τί δ' διαφέρ φ τούτων ⁋ ὡδὶ ἔχει πρὸς τὸ ἑκάστοτε, ἆμα δ' δῆλον ἔσται, τ τί ὅστε προαίρεσις· ὅστε δὴ τ ἄνθρωπον εἶναι ἡμῖν· τὸ μὲ τοιαῦτα ὥστε τ ἐνδέχεσθ βαλεύσασθαι περὶ αὐτῶν· περὶ ἐνίων δ' ἐνδέχ). τὰ μὲν δ ἄνθρωπα ὅστε καὶ εἶναι καὶ μὴ εἶναι· ἀλλ' ὃ κἐφ' ἡμῖν αὐτῶν ἡ γένεσις ὅστ· ἀλλὰ τὰ μὲν διὰ φύσιν τὰ δὲ, δι' ἄλλας αἰτίας σίνεται· περὶ ὧν οὐδεὶς ἂν ἐγχειρήσειε βαλεύεσθ μὴ ἀγνοῶν· περὶ ὧν δ' ἐνδέχεται μὴ μόνον τὸ εἶναι καὶ μὴ, ἀλλὰ καὶ τὸ βαλεύσασθαι τοῖς ἀνθρώποις, ταῦτα δ' ὅστιν ὅσα ἐφ' ἡμῖν ὅστὶ πρᾶξαι ἢ μὴ πρᾶξαι· διὸ βουλευόμεθα περὶ τῶν ἐνιμδυῖσ· ὧδε δὲ ὡσ ἂν ὁ κύκλος τε πραγματειώδεσ· τὰ μὲν γὰρ οὐκ ἐφ' ἡμῖν· τὸ δ' ὅλως οὐ πρακτόν· ἀλλ' ὅδε περὶ τῶν ἐν ἡμῖν πρακτῶν περὶ ἃ πάντων· καὶ δῆλον ὅτι οὐδὲ δόξα ἁπλῶς ἡ προαίρεσίς ὅστιν· τὸ δὲ προαιρετὸν πρακτὸ, τ ἐφ' ἡμῖν ὄντων ὅστ· διὸ μὴ ἀπορήσειεν ἄν τις, πῶδή ποθοῖ μὲν ἀπρακτοὶ βουλεύοντας περὶ ὧν ἔχουσι τὴν ἐπ-

Consultamus de h
quæ in nobis ÷ fa
cere aut nō face

σημείων οἱ δὲ γραμματικοὶ οὔ· αἴτιον δ' ὅτι διχῆ γινομένης τῆς ἁμαρτίας, ἢ γὰρ λογιζόμενοι ἁμαρτάνομεν, ἢ κατὰ τὴν αἴσθησιν αὐτὸ δρῶντες· ἐν μὲν τῇ ἰατρικῇ ἀμφοτέρως ἐνδέχεται ἁμαρτεῖν· ἐν δὲ τῇ γραμματικῇ κατὰ τὴν αἴσθησιν καὶ πρᾶξιν ἣς ἂν σκοπῶσιν εἰς ἄπειρον ἥξουσιν. ἐπειδὴ οὖν οὔτε δόξα οὔτε βούλησίς ἐστι, προαίρεσίς ἐστιν ὡς ἑκάτερον· οὐδ' ἄμφω· ἐξαίφνης γὰρ προαιρεῖται μὲν οὐδείς, δοκεῖ δὲ πράττειν καὶ βούλεται, ὡς ἐξ ἀμφοῖν ἄρα· ἄμφω γὰρ ὑπάρχει τῷ προαιρουμένῳ ταῦτα· ἀλλὰ πῶς ἐκ τούτων σκεπτέον· δηλοῖ δέ πως καὶ τὸ ὄνομα αὐτό· ἡ γὰρ προαίρεσις μὲν ἐστὶν οὐχ ἁπλῶς δέ· ἀλλ' ἑτέρου πρὸ ἑτέρου· τοῦτο δὲ οὐχ οἷόν τ' ἄνευ σκέψεως καὶ βουλῆς· διὸ ἐκ δόξης βουλευτικῆς ἐστιν ἡ προαίρεσις· περὶ μὲν δὴ τοῦ τέλους οὐδεὶς βουλεύεται· ἀλλὰ τοῦτο κεῖται πᾶσι· περὶ δὲ τῶν εἰς τοῦτο τεινόντων, πότερον τόδε ἢ τόδε συντείνει, ἢ δεδογμένου τοῦτο πῶς ἔσται· βουλευόμεθα δὲ πάντως τοῦτο, ἕως ἂν εἰς ἡμᾶς ἀναγάγωμεν τῆς γενέσεως τὴν ἀρχήν· εἰ δὴ προαιρεῖται μὲν μηθεὶς μὴ παρασκευασάμενος μηδὲ βουλευσάμενος εἰ χεῖρον ἢ βέλτιον, βούλεται δὲ ὅσα ἐφ' ἡμῖν ἐστι τῶν δυνατῶν εἶναι καὶ μὴ τῶν πρὸς τὸ τέλος, δῆλον ὅτι ἡ προαίρεσις μὲν ἐστὶν ὄρεξις τῶν ἐφ' αὐτῷ βουλευτική· ἅπαντες γὰρ βουλόμεθα ἃ καὶ προαιρούμεθα· οὐ μέντοι γε ἃ βουλόμεθα, πάντα προαιρούμεθα· λέγω δὲ βουλευτικὴν ἧς ἀρχὴ καὶ αἰτία βούλευσίς ἐστι· καὶ ὀρέγεται διὰ τὸ βουλεύεσθαι· διὸ οὔτε ἐν τοῖς ἄλλοις ζῴοις ἐστὶν ἡ προαίρεσις· οὔτε ἐν πάσῃ ἡλικίᾳ· οὔτε παντὸς ἔχοντος ἀνθρώπου· οὐδὲ γὰρ τὸ βουλεύσασθαι. οὐθ' ὑπόληψις τοῦ διὰ τί· ἀλλὰ δοξάσαι μὲν εἰ ποιητέον, οὐθὲν κωλύει πολλοῖς ὑπάρχειν· τὸ δὲ διὰ λογισμοῦ οὐκέτι· ἔστι γὰρ βουλευτικὸν τῆς ψυχῆς τὸ θεωρητικὸν αἰτίας τινός· εἰ γὰρ οὗ ἕνεκα μία τῶν αἰτιῶν ἐστι, τὸ μὲν γὰρ διά τι, αἰτία·

οὗ δ' ἕνεκα



οὗ δ' ἕνεκα ἔστιν ἢ γίνεταί τι, τοῦτο αἴτιον φαμὲν εἶναι· οἷον τοῦ βαδίζειν ἡ κομιδὴ τῶν χρημάτων, εἰ τούτου ἕνεκα βαδίζει· διὸ οἷς μηθεὶς κεῖται σκοπὸς οὐ βουλευτικοί· ὥστ' ἐπεὶ τὸ μὲν ἐφ' αὐτῷ ὂν ἢ πράττειν ἢ μὴ πράττειν ἐάν τις πράττῃ ἢ ἀπρακτῇ δι' αὐτὸν καὶ μὴ δι' ἄγνοιαν, ἑκὼν πράττει ἢ πράττει· πολλὰ δὲ τῶν τοιούτων πράττομεν οὐ βουλευσάμενοι, οὐδὲ προνοήσαντες, ἀνάγκη τὸ μὲν προαιρετὸν ἅπαν ἑκούσιον εἶναι· τὸ δ' ἑκούσιον μὴ προαιρετόν· καὶ τὰ μὲν κατὰ προαίρεσιν, πάντα ἑκούσια εἶναι· τὰ δ' ἑκούσια μὴ πάντα κατὰ προαίρεσιν· ἅμα δ' ἐκ τούτων φανερόν, καὶ ὅτι καλῶς διορίζονται οἱ τῶν παθημάτων τὰ μὲν ἑκούσια, τὰ δ' ἀκούσια· τὰ δ' ἐκ προνοίας νομοθετοῦσιν· εἰ γὰρ καὶ μὴ διακριβοῦσιν, ἀλλ' ἅπτονταί γε πῃ τῆς ἀληθείας· ἀλλὰ περὶ μὲν τούτων ἐροῦμεν ἐν τῇ περὶ τῶν δικαίων ἐπισκέψει· ἡ δὲ προαίρεσις ὅτι οὔτε ἁπλῶς βούλησις οὔτε δόξα ἐστί, δῆλον· ἀλλὰ δόξα τε καὶ ὄρεξις, ὅταν ἐκ τοῦ βουλεύσασθαι συμπερανθῶσιν· ἐπεὶ δὲ βουλεύεται ἀεὶ ὁ βουλευόμενος ἕνεκά τινος καὶ ἔστι σκοπός τις ἀεὶ τῷ βουλευομένῳ, πρὸς ὃν σκοπεῖ τὸ συμφέρον, περὶ μὲν τοῦ τέλους οὐθεὶς βουλεύεται· ἀλλὰ τοῦτ' ἐστὶν ἀρχὴ καὶ ὑπόθεσις, ὥσπερ ἐν ταῖς θεωρητικαῖς ἐπιστήμαις ὑποθέσεις· εἴρηται δὲ περὶ αὐτῶν ἐν μὲν τοῖς ἐν ἀρχῇ βραχέως· ἐν δὲ τοῖς ἀναλυτικοῖς δι' ἀκριβείας· περὶ δὲ τῶν πρὸς τὸ τέλος φερόντων ἡ σκέψις καὶ μετὰ τέχνης καὶ ἄνευ τέχνης πᾶσιν ἐστίν· οἷον εἰ πολεμῶσιν ἢ μὴ πολεμῶσι τοῦτο βουλευομένοις· ἐκ προτέρου δὲ μᾶλλον ἔσται τὸ δι' ὅ· τουτέστι τὸ οὗ ἕνεκα· οἷον πλοῦτος ἢ ἡδονὴ ἢ τι ἄλλο τοιοῦτον, ὃ τυγχάνει οὗ ἕνεκα· βουλεύεται γὰρ ὁ βουλευόμενος εἰ ἀπὸ τοῦ τέλους ἔσκεπται ὅτι ἐκεῖνο συντείνει ὅπως εἰς αὐτὸν ἀγάγῃ ἢ αὐτὸς δύναται πρὸς τὸ τέλος· τὸ δὲ τέλος ἐστὶ φύσει μὲν ἀεὶ ἀγαθόν· καὶ περὶ οὗ κατὰ μέρος βουλεύονται· οἷον ἰατρὸς βουλεύσαιτο ἂν εἰ δῴη φάρμακον· καὶ στρατηγὸς ποῦ στρατοπεδεύσῃ·

De fine nemo c
sultat

οἷσ ἀγαθὸν τὸ τέλος, τὸ ἁπλῶς αἱρετόν ἐστι. παρὰ φύσιν δὲ διαστροφὴ, οὐ τὸ ἀπαθὲς ἀλλὰ τὸ φαινόμενον ἀγαθόν. αἴτιον δ' ὅτι τῶν ὄντων τὸ μὲν οὐκ ἔστιν ἐπιπλοκῆσαι, ἢ πρὸς ἃ πέφυκεν· οἷον ὄψασ· οὐ γὰρ οἷόν τε ὁρᾶν οὐ μὴ ἔστιν ὄψισ· οὐδ' ἄκουσα οὐ μή ἐστιν ἀκοή· ἀλλὰ ἀπὸ ἐπιστήμησ ποιοῦσι, καὶ οὗ μή ἐστιν ἡ ἐπιστήμη· οὐ γὰρ ὁμοίως φλ ὑπείασ ἡ αὐτὴ ἐπιστήμη ἡ νόσου· ἀλλὰ φλ μὲν κατὰ φύσιν· φλ δὲ παρὰ φύσιν· ὁμοίως δὲ καὶ ἡ βούλησισ· φύσει μὲν τοῦ ἀγαθοῦ ἐστι· παρὰ φύσιν δὲ τοῦ κακοῦ· καὶ βούλεται φύσει μὲν τὸ ἀγαθὸν· παρὰ φύσιν δὲ διαστροφὴ ἡ τὸ κακόν· ἀλλὰ μὴν ἑκάστου γε φθορὰ διαστροφὴ οὐκ εἰσ τὸ τυχὸν, ἀλλ' εἰσ τὰ ἐναντία τὰ μεταξύ· οὐ γὰρ ἔστιν ἐκβῆναι ἐκ τούτων· ἐπεὶ καὶ ἡ ἀπάτη εἰσ τὸ τυχόν τι γίνεται· ἀλλ' εἰσ τὰ ἐναντία ὅσοισ ἔστιν ἐναντία· εἰσ ταῦτα δὴ τῶν ἐναντίων ἀεὶ τῷ ἐπιστήμῳ ἐναντία ἐστίν· ἀνάγκη ἄρα καὶ τῷ ἀπάτην ἀπὸ τῆσ μέσου ἐπὶ τὰ ἐναντία γίνεσθαι· ἐναντία δὲ τὸ μέσον ἢ τὸ πλέον ἢ τὸ ἔλαττον· αἴτιον δὲ τὸ ἡδὺ καὶ τὸ λυπηρόν· οὕτω δ' ἔχει ὥστε τῇ ψυχῇ φαίνεσθαι τὸ μὲν ἡδὺ ἀγαθὸν· καὶ τὸ ἧττον καὶ ἔλαττον καὶ τὸ λυπηρὸν κακόν· καὶ τὸ λυπηρότερον χεῖρον· ὥστε ἐκ τούτων δῆλον ὅτι περὶ ἡδονὰσ καὶ λύπασ ἡ ἀρετὴ καὶ ἡ κακία· περὶ μὲν γὰρ τὰ προαιρετὰ τυγχάνουσιν οὖσαι· ἡ δὲ προαίρεσισ περὶ τὸ ἀγαθὸν καὶ τὸ κακὸν καὶ τὰ φαινόμενα· τοιαῦτα δὲ φύσει ἡδονὴ καὶ λύπη· ἀνάγκη τοίνυν ἐπειδὴ ἀρετὴ μὲν ἡ ἠθικὴ αὐτή τε μεσότησ ἐστὶ καὶ περὶ ἡδονὰσ καὶ λύπασ ᾖ πᾶσα· ἡ δὲ κακία ἢ ὑπερβολὴ καὶ ἔλλειψισ· καὶ περὶ ταυτὰ τῇ ἀρετῇ· τῷ ἀρετῷ εἶναι τῷ ἠθικῷ, ἕξιν προαιρετικὴν μεσότητοσ τῆσ πρὸσ ἡμᾶσ ὡρισμένην λόγῳ καὶ ᾧ ἂν ὁ φρόνιμοσ ὁρίσειε· καὶ λυπηροῖσ· καθ' ὅσα τοιόσ τισ λέγεται τὸ ἦθοσ ἢ χαίρων ἢ λυπούμενοσ· ὁ γὰρ Φιλόπλυκοσ ἢ Φιλόπικροσ οὐ λέγεται τοιόσ τισ ἐπὶ τοῦτων τὸ ἦθοσ.

Intuitis moralis diff°

∴ ἡδέσι



τούτων δὲ διωρισμένων, λέγω μὲν πότερον ἡ ἀρετὴ ἁμάρτητον ποιεῖ τὴν προαίρεσιν, καὶ τὸ τέλος ὀρθὸν, οὕτωσ ὥστε οὗ ἕνεκα δεῖ προαιρεῖσθαι, ἢ ὡσ περ δοκεῖ τισι τὸν λόγον· ἔστι δὲ φλ τὸ ἐγκράτεια· αὕτη γὰρ οὐ διαφθείρει τὸν λόγον· ἔστι δ' ἀρετὴ καὶ ἐγκράτεια ἕτερον· λεκτέον δ' ὕστερον περὶ αὐτῆσ· ἐπεὶ ὅσοισ γε δοκεῖ τὸν λόγον ὀρθὸν παρέχειν ἡ ἀρετὴ, τοῦτ' αἴτιόν· ἡ μὲν ἐγκράτεια τοιοῦτον τῶν ἐπαινετῶν δὴ ἐγκράτεια· λέγομεν δὲ προσαπορήσαντεσ· ἔστι γὰρ τὸν μὲν σκοπὸν ὀρθὸν εἶναι· ἐν δὲ τοῖσ πρὸσ τὸν σκοπὸν διαμαρτάνειν· ἔστι δὲ τὸν μὲν σκοπὸν ἁμαρτεῖν· τὰ δὲ πρὸσ ἐκεῖνον πεπραίνονται ὀρθῶσ ἔχειν· καὶ μηδέτερον· πότερον δὴ ἀρετὴ ποιεῖ τὸν σκοπὸν ἢ τὰ πρὸσ τὸν σκοπόν· τιθέμεθα δὴ ὅτι τὸν σκοπὸν· δ' ὅτι τοῦτον οὐκ ἔστι συλλογισμὸσ οὐδὲ λόγοσ· ἀλλὰ δὴ ὥσ περ ἀρχὴ τοῦ τοιούτου ὑποκείσθω· οὔτε γὰρ ἰατρὸσ σκοπεῖ εἰ δεῖ ὑγιάνειν, ἢ μή· ἀλλ' εἰ περιπατητὸν ἢ μή· οὔτε ὀμυμναστικὸσ εἰ δεῖ εὖ ἔχειν ἢ μή· ἀλλ' εἰ παλαίσειν ἢ μή· ὁμοίωσ δ' οὐδὲ μία περὶ τὸ τέλοσ· ὥσ περ γὰρ ταῖσ θεωρητικαῖσ αἱ ὑποθέσεισ ἀρχαὶ, οὕτω καὶ ταῖσ πρακτικαῖσ τὸ τέλοσ ἀρχὴ καὶ ὑπόθεσισ· ἐπεὶ δὲ δεῖ τόδε ὑγιάνειν, ἀνάγκη τοδὶ ὑπάρξαι εἰ ἔσται ἐκεῖνο· ὥσ περ ἐκεῖ εἰ ἔστι τὸ ζῴδιον δύο ὀρθαὶ, ἀνάγκη τρὶσ εἶναι· φλ μὲν οὖν μοήσεωσ ἀρχὴ τὸ τέλοσ· φλ δὲ πράξεωσ ἡ τοῦ τέλουσ μοήσισ· εἰ δὲν πάσησ ὀρθότητοσ, ἡ ὁ λόγοσ ἢ ἡ ἀρετὴ αἰτία, εἰ μὴ ὁ λόγοσ, διὰτ' ἀρετὴ ἂν ὀρθὸν ἂν εἴη τὸ τέλοσ, ἀλλ' ὃ τὰ πρὸσ τὸ τέλοσ· τέλοσ δ' ἔστι τὸ οὗ ἕνεκα· ἔστι γὰρ πᾶσα προαίρεσισ τινόσ· καὶ ὡσ τινοσ· οὗ μὲν οὖν ἕνεκα τὸ μέσον ἐστὶν, οὗ αἰτία ἡ ἀρετὴ, τὸ προαιρεῖσθαι οὗ ἕνεκα· τὸ μὲν οὖν τυγχάνειν τούτων ἄλλησ δυνάμεωσ, ὅσα δεῖ· ἔστι μὲν τοι ἡ προαίρεσισ οὐτοῦτου ἀλλὰ φλ τούτου ἕνεκα· ὡσ ἕνεκα τοῦ τέλουσ δεῖ πράττειν· τοῦ δὲ τὸ τέλοσ ὀρθὸν εἶναι φλ προαιρέσεωσ· οὗ ἡ ἀρετὴ αἰτία καὶ διὰ τοῦτο ἐκτὸσ προαιρέσεωσ κρίνομεν ποιόσ τισ· τοῦτο δὲ ἔστι τὸ τίνοσ ὡσ ἕνεκα πράττ.

τέλοσ ἔστι τὸ οὗ ἕνεκα

ἀλλ' οὐ τὴ πράξιν· ὁμοίως δὲ καὶ ἡ κακία τῶν ἑκουσίων ἕνεκα
τοῦ τὴν προαίρεσιν· εἰδήτις ἐφ' αὑτῷ ὢν πράξειν μὲν τὰ κα-
λὰ πρακτέον δὲ τὰ αἰσχρὰ, τοὐναντίον πράξει, δῆλον ὅτι σπου
δαῖός ἐστιν οὗτος· ὁ δ' ἑκὼν ἁμαρτάνων τὴν κακίαν ἑκούσιον
εἶναι δεῖ τὴν ἀρετήν· οὐδεμία γὰρ ἀνάγκη τὰ μοχθηρὰ πράξειν.
διὰ ταῦτα καὶ ψευδὴς ἡ κακία. εἰ δὲ ἡ ἀρετὴ ἐπαινετόν· τὰ γὰρ
ἀκούσια αἰσχρὰ καὶ κακὰ, οὐ ψεκτά· διὰ τὰ ἀγαθὰ ἐπαινετά·
ἀλλὰ τὰ ἑκούσια ἔστι πάντες ἐπαινοῦμεν εἰ φέρομεν, εἰς τὴν
προαίρεσιν βλέπουσιν μᾶλλον ἢ εἰς τὰ ἔργα· καὶ γὰρ αἱρετώ
τερον ἡ γνῶσις ἀρετῆς· ἔτι πράττουσι μὲν φαῦλα καὶ ἀνα-
γκαζόμενοι· προαιρεῖται δ' ὀρθῶς ἔστι δὲ καὶ τοὐναντίον εἶναι δεῖν τὴ
προαίρεσιν ὁ πρῶτος, διὰ ταῦτα ἐκ τῶν ἔργων ἀνα
γκαζόμεθα κρίνειν ὁ πρῶτος τὸν αἱρετώτερον
μὲν ὂν ἡ γνῶσις ἐπαινετώτερον δὲ πρᾶ
ξις ἐκ τῶν φαινομένων ὄν συμ
βαίνει ταῦτα ἢ ἔτι ὁμολο
γεῖται τοῖς φαινο
μένοις.

ΤΕΛΟΣ ΤΟΥ Β'.



# ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΩΝ ΕΥΔΗΜΙΩΝ, ΤΟ Γ'.

## Γ'

ΤΙ μὲν οὖν μεσότητες εἰσὶ τὰς ἀρε-
τὰς καὶ αὗται προαιρετικαὶ, καὶ αἱ
ἐναντίαι κακίαι, ἢ τίνες εἰσὶν αὗται,
καθόλου εἴρηται· καθ' ἑκάστην δὲ λαμ
βάνοντες λέγωμεν ἐφεξῆς· καὶ πρῶ-
τον εἴπωμεν περὶ ἀνδρίας· φαίνεται δὴ
δοκεῖ πᾶσιν, ὁ, τὰν δρεῖος εἶναι περὶ
φόβους, καὶ ἡ ἀνδρεία μία τῶν ἀρετῶν· δεινὰ δὲ ὑπομένομεν ἐν τῇ δια-
γωγῇ φῆ πότερον θράσος καὶ φόβος ἐναντία· καὶ γὰρ ὅτι ὡς
αὐτὶ εἴπομεν ἀλλήλοις· δῆλον οὖν ὅτι καὶ οἱ κατὰ τὰς ἕξεις
τούτους λεγόμενοι ὁμοίως ἀντικείσονται σφίσιν αὐτοῖς· οἷον
ὁ δειλός· οὗτος γὰρ λέγεται κατὰ τὸ φοβεῖσθαι μᾶλλον ἢ δεῖ
καὶ θαρρεῖν ἧττον ἢ δεῖ· καὶ ὁ θρασύς· καὶ γὰρ οὗτος κατὰ τὸ
προῦτος εἶναι, οἷος φοβεῖσθαι μὲν ἧττον ἢ δεῖ· θαρρεῖν δὲ μᾶλ-
λον ἢ δεῖ· διὸ καὶ παρωνυμία ἄζεται, ὁ γὰρ θρασὺς παρὰ τὸ
θράσος λέγεται παρωνύμως· ὡς τῷ πεὶ τὴ ἀνδρίαν ὄντι ἡβελ
τίστη ἕξις περὶ φόβους καὶ θάρρη, δεῖ δὲ μήθ' οὕτως ὡς οἱ θρα
σεῖς· τὰ μὲν γὰρ ἐλλείπουσι· τὰ δ' ὑπερβάλλουσι· μήθ' οὕ-
τως ὡς οἱ δειλοί· καὶ γὰρ οὗτοι ταυτοπροσοῦσι· πλὴν οὐ περὶ
ταῦτα ἀλλ' ἐξ ἐναντίας· τῷ μὲν θαρρεῖν ἐλλείπουσι· τῷ
δὲ φοβεῖσθαι ὑπερβάλλουσι· δῆλον ὡς ἡ μέση διάθεσις, θρα
σύτητος καὶ δειλίας ὄντων ἀνδρία· αὕτη γὰρ βελτίστη· δο-
κεῖ δ' ὁ ἀνδρεῖος ἀφόβος εἶναι ὡς ἐπὶ τὸ πολύ· ὁ δὲ δειλὸς φο

De Fortitudi

δειλός
θρασύς
θρασὺς πρὸς τὸ
φόβους

βητικός. καὶ ὁ μὲν πολλὰ καὶ ὀλίγα καὶ μεγάλα καὶ μικρὰ φοβεῖται καὶ σφόδρα καὶ ταχύ. ὁ δὲ τὸ ἐναντίον, ἢ οὐ φοβεῖται ἢ ἠρέμα καὶ μόλις καὶ ὀλιγάκις καὶ μεγάλα. καὶ ὁ μὲν ὑπομένει τὰ φοβερὰ σφόδρα. ὁ δὲ, οὐδὲ τὰ ἠρέμα. ποῖα οὖν ὑπομένει ὁ ἀνδρεῖος πρῶτον. πότερον τὰ αὐτῷ φοβερὰ ἢ τὰ ἑτέρῳ. εἰ μὲν δὴ τὰ ἑτέρῳ φοβερὰ, οὐθὲν σεμνὸν φαίη ἄν τις εἶναι. εἰ δὲ τὰ αὐτῷ, εἴη ἂν αὐτῷ μεγάλα καὶ φοβερὰ φόβου ποιητικὰ ἑκάστῳ ὧν φοβερά. οἷον εἰ μὲν σφόδρα φοβερὰ εἴη, ἂν ἰσχυρὸς ὁ φόβος. εἰ δ' ἠρέμα, ἀσθενής. ὥστε συμβαίνει τὸν ἀνδρεῖον μεγάλους φόβους καὶ πολλοὺς ποιεῖσθαι. ἐδόκει δὲ τοὐναντίον ἡ ἀνδρεία φόβον παρασκευάζειν. τοῦτο δ' εἶναι ἐν τῷ ἢ μηθὲν ἢ ὀλίγα φοβεῖσθαι. καὶ ἠρέμα καὶ μόλις. ἀλλ' ἴσως τὸ φοβερὸν λέγεται ὥσπερ καὶ τὸ ἡδὺ καὶ τἀγαθὸν διχῶς. τὰ μὲν γὰρ ἁπλῶς. τὰ δὲ τινὶ μὲν καὶ ἡδέα καὶ ἀγαθά ἐστιν. ἁπλῶς δ' οὔ. ἀλλὰ τοὐναντίον φαῦλα καὶ οὐχ ἡδέα. ὅσα τοῖς πονηροῖς ὠφέλιμα καὶ ὅσα ἡδέα τοῖς παιδίοις ᾗ παιδία. ὁμοίως δὲ καὶ τὰ φοβερὰ τὰ μὲν, ἁπλῶς εἰσι. τὰ δὲ τινί. ἃ μὲν δὴ ὁ δειλὸς φοβεῖται ᾗ δειλὸς, τὰ μὲν, οὐδενί ἐστι φοβερά. τὰ δ' ἠρέμα. τὰ δὲ τοῖς πλείστοις φοβερὰ, καὶ ὅσα τῇ ἀνθρωπίνῃ φύσει, ταῦθ' ἁπλῶς λέγομεν. ὁ δ' ἀνδρεῖος πρὸς ταῦτα ἔχει ἀφόβως. καὶ ὑπομένει τὰ τοιαῦτα φοβερά, ἃ ἔστι μὲν ὡς φοβερὰ αὐτῷ. ἔστι δ' ὡς οὔ. ᾗ μὲν ἄνθρωπος φοβερά. ᾗ δ' ἀνδρεῖος οὐ φοβερά. ἀλλ' ἢ ἠρέμα ἢ οὐδαμῶς. ἔστι μέντοι φοβερὰ ταῦτα. τοῖς γὰρ πλείστοις φοβερά. διὸ καὶ ἐπαινεῖται ἡ ἕξις. ὥσπερ γὰρ ὁ ἰσχυρὸς καὶ ὑγιεινὸς ἔχει. καὶ γὰρ οὗτοι, οὐ τῷ ὑπὸ μηθενὸς ὁ μὲν πόνου τρίβεσθαι, ὁ δ' ὑπὸ μηδεμιᾶς ὑπερβολῆς, τοιοῦτοί εἰσιν. ἀλλὰ τῷ ὑπὸ τούτων ἀπαθεῖς εἶναι ἢ ἁπλῶς ἢ ἠρέμα ὑφ' ὧν οἱ πολλοὶ καὶ οἱ πλεῖστοι. οἱ μὲν οὖν νοσώδεις καὶ ἀσθενεῖς καὶ δειλοὶ, καὶ ὑπὸ τῶν κοινῶν παθημάτων πάσχουσί τι. πλὴν θᾶττον ἢ μᾶλλον ἢ οἱ πολλοί. καὶ



καὶ ἔτι ὑφ' ὧν οἱ πολλοὶ πάσχουσιν ὑπὸ τούτων ἀπαθεῖς ἢ ὅλως ἢ ἠρέμα. ἀπορεῖται δ' εἰ τῷ ἀνδρείῳ οὐδέν ἐστι φοβερόν. οὐδ' ἂν φοβηθείη. ἢ οὐθὲν κωλύει τὸν εἰρημένον τρόπον. ἡ γὰρ ἀνδρεία ἀκολούθησις τῷ λόγῳ ἐστίν. ὁ δὲ λόγος τὸ καλὸν αἱρεῖσθαι κελεύει. διὸ καὶ ὁ μὴ διὰ τοῦτον ὑπομένων αὐτὰ, οὗτος ἢ ἐξέστηκεν ἢ θρασύς. ὁ δὲ διὰ τὸ καλὸν ἄφοβος καὶ ἀνδρεῖος μόνος. ὁ μὲν οὖν δειλὸς καὶ ἃ μὴ δεῖ φοβεῖται. ὁ δὲ θρασὺς καὶ ἃ μὴ δεῖ θαρρεῖ. ὁ δ' ἀνδρεῖος, ἄμφω ὡς δεῖ. καὶ ταύτῃ μέσος ἐστίν. ἃ γὰρ ἂν ὁ λόγος κελεύῃ, ταῦτα καὶ θαρρεῖ καὶ φοβεῖται. ὁ δὲ λόγος τὰ μεγάλα λυπηρὰ καὶ φθαρτικὰ οὐ κελεύει ὑπομένειν ἂν μὴ καλὰ ᾖ. ὁ μὲν οὖν θρασὺς καὶ εἰ μὴ κελεύει, ταῦτα θαρρεῖ. ὁ δειλὸς οὐδ' ἂν κελεύῃ. ὁ δ' ἀνδρεῖος μόνος ἐὰν κελεύῃ. ἔστι δὲ εἴδη ἀνδρείας πέντε λεγόμενα καθ' ὁμοιότητα, ταὐτὰ γὰρ ὑπομένουσιν, ἀλλ' οὐ διὰ τὰ αὐτά. μία μὲν πολιτική. αὕτη δ' ἐστὶν ἡ δι' αἰδῶ οὖσα. δευτέρα ἡ στρατιωτική. αὕτη δὲ δι' ἐμπειρίαν καὶ τὸ εἰδέναι. οὐχ ὥσπερ Σωκράτης ἔφη τὰ δεινά, ἀλλ' ὅτι τὰς βοηθείας τῶν δεινῶν. τρίτη δ' ἡ δι' ἀπειρίαν καὶ ἄγνοιαν, δι' ἣν τὰ παιδία καὶ οἱ μαινόμενοι, οἱ μὲν ὑπομένουσι τὰ φοβερά. οἱ δὲ λαμβάνουσι τοὺς ὄφεις. ἄλλη δ' ἡ κατ' ἐλπίδα. καθ' ἣν οἵ τε κατευωχηκότες πολλάκις ὑπομένουσι τοὺς κινδύνους. καὶ οἱ μεθύοντες. εὐέλπιδας γὰρ ποιεῖ ὁ οἶνος. ἄλλη δὲ διὰ πάθος ἀλόγιστον. οἷον δι' ἔρωτα καὶ θυμόν. ἄν τε γὰρ ἐρᾷ, θρασὺς μᾶλλον ἢ δειλός. καὶ ὑπομένει πολλοὺς κινδύνους, ὥσπερ ὁ ἐν Μεταποντίῳ τὸν τύραννον ἀποκτείνας, καὶ ὁ ἐν Κρήτῃ μυθολογούμενος. καὶ δι' ὀργὴν καὶ θυμὸν ὡσαύτως. ἐκστατικὸν γὰρ ὁ θυμός. διὸ καὶ οἱ ἄγριοι θῆρες ἀνδρεῖοι δοκοῦσιν εἶναι οὐκ ὄντες. ὅταν γὰρ ἐκστῶσι, τοιοῦτοί εἰσιν. ἐὰν δὲ μή, ἀνώμαλοι ὥσπερ οἱ θρασεῖς. ὅμως δὲ μάλιστα φυσικὴ ἡ τοῦ θυμοῦ. ἀήττητον γὰρ ὁ θυμός. διὸ καὶ οἱ παῖδες ἄριστα μάχονται. διὰ νόμον δὲ ἡ πολιτικὴ ἀνδρεία.

Fortitudinis species qnq:

Cn

In metaponto tyrannu occiden & in creta

ἀήττητον ὁ θυμός. quapropter pueri optime pugnant

εὐέλπιδας ποιεῖ ὁ οἶνος

κατὰ λήθαν δὲ μία τούτων· ἀλλὰ πρὸς τὰς παρακελεύσεις
τὰς ἐν τοῖς κινδύνοις χρήσιμα ταῦτα πάντα. περὶ δὲ τῶν φο-
βερῶν νῦν μὲν ἁπλῶς εἰρήκαμεν· βέλτιον δὲ διορίσασθαι μᾶλ-
λον. ὅλως μὲν οὖν φοβερὰ λέγεται τὰ ποιητικὰ φόβου. τοιαῦτα
δ' ἐστὶν ὅσα φαίνεται ποιητικὰ λύπης φθαρτικῆς. τοῖς γὰρ ἄλ-
λην τινὰ προσδεχομένοις λύπην, ἑτέρα μὲν ἄν τις ἴσως λύπη
γένοιτο καὶ πάθος ἕτερον, φόβος δ' οὐκ ἔσται. οἷον εἴ τις προορῷτο
ὅτι λυπήσεται, λύπην ἣν οἱ φθονοῦντες λυποῦνται, ἢ τὴν
οἵαν οἱ ζηλοῦντες ἢ οἱ αἰσχυνόμενοι. ἀλλ' ἐπὶ μόναις ταῖς τοιαύ-
ταις φαινομέναις ἔσεσθαι λύπαις φόβος γίνεται, ὅσων ἡ φύ-
σις ἀναιρετικὴ τοῦ ζῆν. διὸ καὶ σφόδρα τινὲς ὄντες μαλακοὶ
περὶ ἔνια ἀνδρεῖοί εἰσι. καὶ ἔνιοι σκληροὶ καὶ καρτερικοὶ καὶ δει-
λοί. καὶ δὴ δοκεῖ σχεδὸν ἴδιον τῆς ἀνδρείας εἶναι, τὸ περὶ τὸν θά-
νατον καὶ τὴν τούτου λύπην ἔχειν πως. εἰ γάρ τις εἴη τοιοῦ-
τος πρὸς ἀλέας καὶ ψύχη καὶ τὰς τοιαύτας λύπας ὑπομενε-
τικὸς ὡς ὁ λόγος ἀκινδύνους οὔσας· πρὸς δὲ τὸν θάνατον καὶ
μαλακὸς καὶ περίφοβος μὴ δι' ἄλλο τι πάθος ἀλλὰ δι' αὐτὴν τὴν
φθοράν· ἄλλος δὲ πρὸς μὲν ἐκείνας μαλακὸς, πρὸς δὲ τὸν θάνατον
ἀπαθής, ἐκεῖνος μὲν ἂν εἶναι δόξειε δειλὸς, οὗτος δ' ἀνδρεῖος. καὶ
γὰρ κίνδυνος ἐπὶ τοῖς τοιούτοις λέγεται μόνοις τῶν φοβερῶν, ὅταν
πλησίον ᾖ τὸ τῆς τοιαύτης φθορᾶς ποιητικόν. φαίνεται δὲ κίν-
δυνος ὅταν πλησίον φαίνηται. τὰ μὲν οὖν φοβερὰ περὶ ὅσα φα-
μὲν εἶναι τὸν ἀνδρεῖον εἴρηται. ὅτι τὰ φαινόμενα ποιητικὰ
λύπης τῆς φθαρτικῆς. ταῦτα μέντοι πλησίον τε φαινόμενα,
καὶ μὴ πόρρω. καὶ τοσαῦτα τῷ μεγέθει ὄντα ἢ φαινόμενα ὥστ' εἶ-
ναι σύμμετρα πρὸς ἄνθρωπον. ἔνια γὰρ ἀνάγκη παντὶ φαίνεσθαι
ἀνθρώπῳ φοβερὰ καὶ ταράττειν. οὐδὲν γὰρ κωλύει ὥσπερ θερμὰ
καὶ ψυχρὰ καὶ τῶν ἄλλων δυνάμεων ἐνίας ὑπὲρ ἡμᾶς εἶναι καὶ
τὰς τοῦ ἀνθρωπίνου σώματος ἕξεις, οὕτω καὶ τῶν περὶ τὴν ψυχὴν
παθημάτων. οἱ μὲν δειλοὶ καὶ θρασεῖς διαψεύδονται διὰ τὰς ἕξεις.
τῷ



τῷ μὲν γὰρ δειλῷ, τά, τε μὴ φοβερὰ δοκεῖ φοβερὰ εἶναι· καὶ
τὰ ἠρέμα σφόδρα· τῷ δὲ θρασεῖ τοὐναντίον· τά τε φοβερὰ θαρ-
ραλέα· καὶ τὰ σφόδρα, ἠρέμα· τῷ δ' ἀνδρείῳ τἀληθῆ μάλιστα.
διόπερ οὔτ' εἴ τις ὑπομένει τὰ φοβερὰ δι' ἄγνοιαν, ἀνδρεῖος· οἷον
εἴ τις τοὺς κεραυνοὺς ὑπομένει φερομένους διὰ μανίαν· οὔ-
τ' εἰ γινώσκων ὅσος ὁ κίνδυνος, διὰ θυμόν· οἷον οἱ κελτοὶ πρὸς
τὰ κύματα ὅπλα ἀπαντῶσι λαβόντες· καὶ ὅλως ἡ βαρβα-
ρικὴ ἀνδρεία μετὰ θυμοῦ ἐστίν. ἔνιοι δὲ καὶ δι' ἄλλας ἡδονὰς
ὑπομένουσι· καὶ γὰρ ὁ θυμὸς ἡδονὴν ἔχει τινά· μετ' ἐλπίδος
γάρ ἐστι τιμωρίας. ἀλλ' ὅμως οὔτ' εἰ διὰ ταύτην οὔτ' εἰ δι' ἄλλην
ἡδονὴν ὑπομένει τις τὸν θάνατον, ἢ φυγὴν μειζόνων λυπῶν,
οὐδεὶς δικαίως ἀνδρεῖος λέγοιτο τούτων. εἰ γὰρ ἦν ἡδὺ τὸ ἀ-
ποθνήσκειν πολλάκις ἂν δι' ἀκρασίαν ἀπέθνησκον, οἱ ἀκόλα-
στοι ὥσπερ καὶ νῦν. αὐτοῦ μὲν τοῦ ἀποθνήσκειν οὐκ ὄντος ἡ-
δέος, τῶν ποιητικῶν δ' αὐτοῦ πολλοὶ δι' ἀκρασίαν περιπίπτου-
σιν εἰδότες, ὧν οὐδεὶς ἀνδρεῖος εἶναι δόξειεν εἰ καὶ πάνυ ἑτοί-
μως ἀποθνήσκειν. οὔτ' εἰ φυγὴν τὸ πονεῖν ὅπερ πολλοὶ ποι-
οῦσιν, οὐδεὶς τῶν τοιούτων οὐδεὶς ἀνδρεῖος καθάπερ καὶ ἀγάθων
φησί· φαῦλοι βροτῶν γὰρ τοῦ πονεῖν ἡσσώμενοι, θανεῖν ἐρῶσι,
ὥσπερ καὶ τὸν χείρωνα μυθολογοῦσιν οἱ ποιηταὶ διὰ τὴν ἀπὸ
τοῦ ἕλκους ὀδύνην εὔξασθαι ἀποθανεῖν ἀθάνατον ὄντα. παρα-
πλησίως δὲ τούτοις, καὶ ὅσοι δι' ἐμπειρίαν ὑπομένουσι τοὺς
κινδύνους· ὅνπερ τρόπον σχεδὸν οἱ πλεῖστοι τῶν στρατιωτικῶν ἀν-
θρώπων ὑπομένουσιν. αὐτὸ γὰρ τοὐναντίον ἔχει ἢ ὡς ᾤετο σω-
κράτης, ἐπιστήμην οἰόμενος τὴν ἀνδρείαν εἶναι. οὔτε γὰρ διὰ
τὸ εἰδέναι τὰ φοβερὰ θαρροῦσιν οἱ ἐπὶ τοὺς ἱστοὺς ἀναβαίνειν
ἐπιστάμενοι, ἀλλ' ὅτι ἴσασι τὰς βοηθείας τῶν δεινῶν, οὔτε δι' ὃ θαρ-
ραλεώτερον ἀγωνίζονται, τοῦτ' ἀνδρεία. καὶ γὰρ ἂν ἡ ἰσχὺς καὶ
ὁ πλοῦτος κατὰ θέογνιν ἀνδρεία εἴη· πᾶς γὰρ ἀνὴρ πενίῃ δε-
δμημένος. φανερῶς δ' ἔνιοι δειλοὶ ὄντες ὅμως ὑπομένουσι διὰ

ZZZZ

Galli arma sumunt aduersus fluctus

Agathó

Chiró Centaur

Socraté

Theognis

Agathó
φαῦλοι βροτῶν γὰρ τοῦ πονεῖν ἡττώμενοι
θανεῖν ἐρῶσι

ἐμπειρίαν. τοῦτο δέ, ὅτι οὐκ οἴονται κίνδυνον εἶναι· ἴσασι γὰρ τὰς βοηθείας. σημεῖον δὲ ὅταν γὰρ μὴ ἔχειν οἴωνται βοήθειαν· ἀλλ' ἤδη πλησίον ἢ τὸ δεινὸν οὐχ ὑπομένουσιν· ἀλλὰ πάντων τῶν τοιούτων αἴτιον οἱ διὰ τὸ αἰδῶ ὑπομένοντες μάλιστα φαυλίαν αὐδρείαν· καθάπερ καὶ ὅμηρος τὸν ἕκτορα φησὶν ὑπομεῖναι τὸν κίνδυνον τὸν πρὸς τὸν ἀχιλλέα· ἕκτορα δ' αἰδὼς εἷλε· παυλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει· ἡ δ' ἐστὶν ἡ πολιτικὴ ἀνδρεία αὕτη· ἢ δὲ ἀληθὴς οὐ τοιαύτη· ἔστι γὰρ ἐκείνων οὐδεμία· ἀλλ' ὁμοία μέν ὡς πρὸς ἡμᾶς ἡ τῶν ἡνιόχων· διὰ τὸν θυμὸν ὁμοίως τῇ πλημμυρίδι φέρεται· οὔτε γὰρ ὅτι ἀδοξήσει, δεῖ μᾶλλον φοβουμένους· οὔτε διὰ ὀργήν· οὔτε διὰ τὸ μὴ νομίζειν ἀπροσδοκήτως ἔσεσθαι, ἢ διὰ τὸ δι' ὠμότητος ἔχειν φυλακτικάς· οὔτε γὰρ οἰήσεται οὕτως φοβερὸν εἶναι οὐθέν· ἀλλ' ἐπειδὴ πᾶσα ἀρετὴ προαιρετική· τοῦ γὰρ δὴ ὡς λεγόμενον εἴρηται πρότερον, ὅτι ἕνεκά τινος πάντα αἱρεῖται πρᾶττε· καὶ τοῦτο ἔστι τὸ οὗ ἕνεκα τὸ καλόν· δῆλον ὅτι καὶ ἡ ἀνδρεία ἀρετή τις οὖσα ἕνεκά τινος πράξει τὸ φοβερὰ ὑπομένειν· ὡς τοῦ ἀγνοίαν· ὀρθῶς δὲ μᾶλλον ποιεῖ κρίνειν· οὔτε δὴ δουλοῖ· ἀλλ' ὅτι καλόν· ἐπεὶ οὐχὶ καλὸν ἢ ἄλλα μανικὸν οὐχὶ πομένειν· αἰσχρὸν γάρ· περὶ ποῖα μὲν οὖν ἐστὶν ἡ ἀνδρεία μεσότης καὶ τίνων καὶ διὰ τί ἢ τὰ φοβερὰ τίνα δεινά μιν, σχεδὸν εἴρηται κατὰ τοῦτον τὸν τρόπον· ἔφοδον ἱκανῶς· περὶ δὲ σωφροσύνης καὶ ἀκολασίας μετὰ ταῦτα διελέσθαι πειρατέον· λέγεται δ' ἀκόλαστος πολλαχῶς· ὅτι γὰρ μὴ κεκολασμένος ὡς μὴ δι' ἀπαιδευσίαν ὥσπερ ἄτμητος ὁ μὴ τέτμημένος· καὶ τούτων ὁ μὲν δυνατός· ὁ δὲ δυνάτος· ἄτμητον γὰρ τό, τε δυνάμενον τμηθῆναι· καὶ τὸ δυνατὸν μὲν μὴ τε τμηθὲν δὲ· τὸν αὐτὸν τρόπον καὶ τὸ ἀκόλαστον· καὶ γὰρ τὸ μὴ πεφυκὸς δέχεσθαι κόλασιν· καὶ τὸ πεφυκὸς μὲν μὴ κεκολασμένον δὲ περὶ ἁμαρτίας, περὶ ἃς ὀρθοπραγεῖ ὁ σώφρων ὡς πᾶς οἱ παῖδες· κατὰ τοῦτον γὰρ ἀκόλαστοι λέγονται τὴν ἀκολασίαν.

Homer? Polydamas Hector

De Temperantia



σίαν· ἔστι δὲ μᾶλλον τρόπον οἱ δυσίατοι καὶ ἀνίατοι πᾶσαν διὰ κολάσεως· πλεοναχῶς δὲ λεγομένης φλ ἀκολασίας, ὅτι μὲν περὶ ἃ δυνατός τινας καὶ λύπας εἰσί, φανερόν· καὶ ὅτι ἐν τῷ περὶ ταύτας διακεῖσθαι τῶς· καὶ ἀλλήλων διαφέρουσι καὶ τῇ ἀλλων· διεγράψαμεν δὲ πρότερον, πῶς τὴν ἀκολασίαν ὀνομάζομεν μεταφέροντες· τοὺς γὰρ ἀκινήτως ἔχοντας διὰ ἀναισθησίαν πρὸς τὰς αὐτὰς ἡδονάς, οἱ μὲν καλοῦσιν ἀναίσθητους· οἱδὲ ἄλλοις ὀνόμασι τοιούτοις προσαγορεύουσιν· ἔστι δ' ὀλιγωρίαν γνώριμον τὸ πάθος οὐδὲ ἐπιπόλαιον· διὰ τὸ πλείστους ἐπιθυμητὰς μᾶλλον καὶ πᾶσιν εἶναι σύμφυτον τὴν τῶν τοιούτων ἡδέων ἧπαν καὶ αἴσθησιν· μάλιστα δ' ἴσως οὗτοι οἷς οἰκονομοδιδάσκαλοι πᾶς ἀγωνιῶσιν ἀχρείους· οἱ οὐδὲ τὰ μέτρια καὶ τὰ ἀναγκαῖα πλησιάζουσι τοῖς ἡδέσιν· ἐπεὶ δ' ὁσῶφρων ἔστι περὶ ἡδονὰς ἀνάγκη καὶ περὶ ὧν θυμίας τινὰς αὐτὸν εἶναι· δεῖ δὴ λαβεῖν περί τινας· οὐ γὰρ περὶ πάσας· οὐδὲ περὶ ἅπαντα τὰ ἡδέα ὁσῶφρων ἔστι· ἀλλὰ τῇ μὲν δόξῃ· περὶ δύο τῶν αἰσθητῶν· περί τε τὸ γευστὸν καὶ τὸ ἁπτόν· τῇ δὲ ἀληθείᾳ περὶ τὸ ἁπτόν· περὶ γὰρ τὴν διὰ φλόγεως ἡδονὴν τῶν καλῶν ἀπολαυστικὸς τῶν ἐναρμόστων ἢ ἀναρμόστων, ἔτι δὲ πρὸς τὰς ὀσφρήσεως τοῦτο ἀπολαυστικὸς οὐκ ἔστιν ὁσῶφρων· οὐ δὲ γὰρ ἀκόλαστοι οὐδεὶς λέγει τὴν παρεῖναι ἢ μὴ παρεῖναι· ἐγγὺς τῆς ἢ καλὸν ἀνδριάντα θεώμενος ἢ ἵππον ἢ ἄνθρωπον, ἢ ἀκροώμενος ἄδοντος, μὴ βάλοιτο μήτε ἐσθίειν μήτε πίνειν μήτε ἀφροδισιάζειν, ἀλλὰ τὰ μὲν καλὰ θεωρεῖν· τὰ δὲ δόντων ἀκούειν, οὐκ ἂν δόξειεν ἀκόλαστος εἶναι· ὡς ὥσπερ οὐδὲ κηλούμενοι ταῖς σειρῆσιν· ἀλλὰ περὶ τὰ δύο τῶν αἰσθητῶν τὰ τοῦτο, περὶ ἅπερ καὶ τἄλλα θηρία μόνα τυγχάνει αἰσθητικῶς ἔχοντα· οἷον χαίροντα ἢ λυπούμενα, περὶ τὰ γευστὰ ἢ ἁπτά· περὶ δὲ τὰ τῆ ἄλλων αἰσθήσεων ἡδέα σχεδὸν ὁμοίως ἅπαν-

Temperans circa quæ uersetur.

τα φαίνεται αἰσθητως διακείμενα. οἷον περὶ θάρμος ἢ κάλλος· οὐδὲν γὰρ ὅτι καὶ ἄξιον λόγου φαίνεται πάσχοντα αὐτὴ τῇ θεωρίᾳ τ καλῶν· ἢ τῇ ἀκροάσει τ ὀρθμόσων εἰμή τι πρὸς συμβέβηκε τετρατῶδες, ἀλλ' ὁ δὲ πρὸς τὰ ὠφέλιμα ἢ δυσώδη. καίτοι τάς γε αἰσθήσεις ὀξυτέρας ἔχοισι τῶν ἄλλων· ἀλλὰ μὴ περὶ ὁμοίων τούτοις χαίρουσιν ὅσοι κατὰ συμβεβηκὸς ὀφραίνουσιν· ἀλλὰ μὴ καθαῦτας· λέγω δὲ καθαῦτας αἷς μὴ ἐλλοίζονται χαίρομεν ἢ μεμνημένοι οἷον ὄψων καὶ ποτῶν· θάτέραν γὰρ ἡδονὴν τούτοις χαίρομεν, τὸ τοῦ φαγεῖν ἢ πιεῖν· καθαῦτὰ δὲ, οἷον αἱ τῶν αὐλῶν φ' σις· διὸ ἐμμελῶς ἔφη στράτονικος· τὰς μὲν καλὸν ὄζειν· τὰς δὲ ἡδύ· ἐπεὶ καὶ τ πιεῖν τι χυμὸν ὁ πιεῖν πᾶσαν ἡδονὴν ἐπὶ ὁπότου τὰ θηρία· οὐ δοσον τῷ ἄκρῳ φ λωτότητος ἢ αἴσθησις, ἀλλ' ὅσον τῷ φάρυγι· διὸ οἱ ὀψοφάγοι, οὐκ ἔχοντα τὸ γλῶτταν ἔχειν μακράν, ἀλλὰ τὸν φάρυγγα μακρόν· ὥσπερ φιλόξενος ὁ ὀξύστομος· ὥστε περὶ τὰ ἁπτὰ ὁμοίως ἀπολῶς εἰπεῖν θετέον τὴν ἀκολασίαν· ὁμοίως δὲ καὶ ὁ ἀκόλαστος περὶ τὰς τοιαύτας ἐστὶν· οἰνοφλυσίαι γὰρ καὶ γαστριμαργίαι καὶ λαγνεῖαι καὶ ὀψοφαγίαι, καὶ πάντα τὰ τοιαῦτα, περὶ τὰς εἰρημένας ἐστὶν αἰσθήσεις· εἰς ἃ περ μόλις ἡ ἀκολασία διαιρεῖται· περὶ δὲ τὰς δι' ὄψεως ἢ ἀκοῆς ἢ ὀσφρήσεως ὁμοίας, οὐθεὶς λέγεται ἀκόλαστος ἐὰν ὑπερβάλλῃ ἀλλ' αὖν ὀνείδους τὰς ἁμαρτίας φέρομεν ταύτας ἢ ὅλως περὶ ὅσα μὴ λέγομεν ἐγκρατεῖς· οἱ δ' ἀκρατεῖς οὐκ εἰσὶν ἀκόλαστοι οὐδὲ σώφρονες· ἀναίσθητοι μὲν ὄν ἢ ὅσως δεῖ ὀνομάζειν, ὁ οὕτως ἔχων ὥστε μηδὲν ἐλλείπειν ὅλων, αὐ ἀγκοινωνεῖν ὡς ἐπὶ τὸ πολὺ πάντας ἐ χαίρειν· ὁ δ' ὑπερβάλλων ἀκόλαστος· πάντα γὰρ τούτοις φύσει τὰ χαίρουσι καὶ ἐπιθυμίας λαμβάνουσι καὶ οὐκ εἰσὶν οὐδὲν λέγοντες ἀκόλαστοι· καὶ γὰρ ὑπερβάλλουσι τῷ χαίρειν μᾶλλον ἢ δεῖ τυγχάνοντες· καὶ λυπεῖσθαι μᾶλλον ἢ δεῖ μὴ τυγχάνοντες· οὐδ' ἀναλγητοι· ὁ γὰρ ἐλλείπουσι τῷ χαίρειν ἢ λυπεῖσθαι· αἰεὶ μᾶλλον

Stratonic

Philoxenus

ἀκολασία dividit

ὀινοφλυγία
γαστριμαργία
λαγνεία
ὀψοφαγία

ἐρίξυλος



λον ὑπερβάλλουσιν· ἐπεὶ δ' ὅστιν ὑπερβολὴ καὶ ἔλλειψις περὶ αὐτὸ, δηλονότι ἐ μεσότης· καὶ βελτίστη αὐτὴ ἡ ἕξις· ἐ ἀμφοῖν ἐναντία· ὥστε τῶν φρονίμων ἡ βελτίστη ἕξις, περὶ ἃ ὁ ἀκόλαστος, ἡ περὶ τὸ ἡδέα τὰ εἰρημένα τ αἰσθητῶν μεσότης, σωφροσύνη αὖ εἴη, μεσότης οὖσα ἀκολασίας ἐ ἀναισθησίας· ἡ δ' ὑπερβολὴ ἀκολασία· ἡ δ' ἔλλειψις ἢ τοι ἀνωμυσος, ἢ τοῖς εἰρημένοις ὀνόμασι προσαγορευομένη· ἀκρεβέστερον δὲ περὶ τὸ ἔνος τῶν ἡδονῶν, ἔστω διαιρετέον ἐν τοῖς λεγομένοις ὕστερον περὶ ἐγκρατείας ἐ ἀκρασίας· τὸν αὐτὸν δὲ τρόπον λητέον καὶ περὶ πραότητος καὶ χαλεπότητος, ἐ δ' ὀργὴν πρᾶον περὶ λύπην τὸν ἀποθυμῷ γινομένην, ὁρῶ μὲν ὄντα τῷ πρὸς ταύτην ἔχειν πῶς· λεγόμενα δὲ ἃ αὐτιθήκαμεν ἐ ὀργίλῳ καὶ χαλεπῷ ἀχρεῖα· πάντα γὰρ τὰ τοιαῦτα τῆς αὐτῆς ὄντα διαθέσεως, τὸν ἀνδραποδώδη καὶ ἀνόητον· ἀχθὸν γὰρ ταῦτα μάλιστα καλοῦσι· τοὺς μὴ δ' ἐφ' ὅσοισι δεῖ κινδυνεύοντας τὸν θυμόν· ἀλλὰ προσηλακιζομένους ὑπ' ἀνδρὸς καὶ τοῦ πεινῆν πρὸς τὰς ὀλιγωρίας· ὅστε γὰρ ἀντικείμενον τῷ μὲν ταχεῖ, τὸ μόλις· τῷ δὲ πρᾴῳ, τὸ σφόδρα· τῷ δὲ πρὸς λύπην χρόνον, τὸ ὀλίγον λυπεῖσθαι· ταύτην τὴν λύπην ἐν ἀκαλοῦμεν θυμόν· ἐπεὶ δῶς ποτε καὶ ἐπὶ τ ἄλλων εἴποιμεν, ἃ ἐν ταῦθ' ἕστιν ὑπερβολὴ καὶ ἔλλειψις, ὁμοίως γὰρ χαλεπὸς τοιοῦτός ὅστιν, ὁ καὶ θᾶττον καὶ μᾶλλον πάσχων καὶ πλείω χρόνον· καὶ ὅτου δεῖ· ἐν ὁπτοῖς οὐδεῖ· καὶ ἐπὶ πολλοῖς· ὁ δ' ἀνδραποδώδης, τοὐναντίον, δηλονότι ὅστ' ἐν τισὶν ὁ μέσος σφόδρα οὐκ ἐστὶν ὀργὴ· ἐπεὶ οὖν αἱ μαρτυρίαι ἀμφότεραι αἱ ἐξῆς ἐκείναι, φανερὸν ὅτι ἐπιεικὴς ὁ μέσος φύτων ἕξις· οὔτε γὰρ προστρεῖ οὐθ' ὑπερέχει· οὐτοῖς οὐδεῖ ὀργίζεται· οὔτε οἷς δεῖ οὐκ ὀργίζεται· ὥστε ἐπεὶ καὶ πραότης ἡ βελτίστη ἕξις περὶ ταῦτα τὰ πάθη ὅστιν, εἴη καὶ ἡ πραότης μεσότης τις, καὶ ὁ πρᾶος μέσος τε χαλεποῦ καὶ ἀνδραποδώδους· ὅστε δὲ καὶ ἡ μετεκλογὴ χία ἐ ἡ μετακλο πρέπεια ἡ ἐλευθεριότης μεσότητες· ἡ μὲν ἐλευ-

ἔλλειψις ἀνωνυμος· ποτα

πραότης
χαλεπότης
ὀργιλότης
ἀοργησία

Ταχυμόλις > cotr
ἠρέμα σφόδρα > cot

χαλεπὸς
ἀνδραποδώδης
ὠμότης
πρᾶος

De Liberalitate

θειότης περὶ χρημάτων κτῆσιν καὶ ἀποβολήν. ὁ μὲν γὰρ κτήσει μὲν πάσῃ χαίρων μᾶλλον ἢ δεῖ, ἀποβολῇ δὲ πάσῃ λυπούμενος μᾶλλον ἢ δεῖ, ἀνελεύθερος. ὁ δ' ἀμφότερα ἧττον ἢ δεῖ, ἄσωτος. ὁ δ' ἀμφοτέρως ὡς δεῖ, ἐλευθέριος. τοῦτο δὲ λέγω τὸ ὡς δεῖ, καὶ ἐπὶ τούτων καὶ ἐπὶ τῶν ἄλλων, τὸ ὡς ὁ λόγος ὁ ὀρθός. ἐπεὶ δ' ἐκεῖνοι μὲν εἰσὶν ἐν ὑπερβολῇ καὶ ἐλλείψει, ὅπου δ' ἔσχατα εἰσὶ καὶ μέσον, καὶ τοῦτο βέλτιστον. ἓν δὲ περὶ ἕκαστον τῷ εἴδει τὸ βέλτιστον, ἀνάγκη καὶ τὴν ἐλευθεριότητα εἶναι ἀσωτίας καὶ ἀνελευθερίας περὶ χρημάτων κτῆσιν καὶ ἀποβολὴν μεσότητα. διχῶς δὲ τὰ χρήματα λέγομεν καὶ τὴν χρηματιστικήν. ἡ μὲν γὰρ καθ' αὑτὸ κτῆσις τοῦ χρήματος ἐστὶν, οἷον ὑποδήματος ἢ ἱματίου. ἡ δὲ κατὰ συμβεβηκὸς μὲν, οὐ μέντοι οὕτως ὡς ἂν εἴ τις σταθμῷ χρήσαιτο τῷ ὑποδήματι. ἀλλ' οἷον ἡ πώλησις καὶ ἡ μίσθωσις. χρῆται γὰρ ὑποδήματα. ὁ δὲ φιλάργυρος ὁ περὶ τὸ νόμισμα ἐστὶ κτήσεως αὐτῆς κατὰ συμβεβηκὸς χρήσεώς ἐστιν. ὁ δ' ἀνελεύθερος εἴη ἂν καὶ ἄσωτος περὶ τὸν κατὰ συμβεβηκὸς τρόπον τοῦ χρηματισμοῦ. καὶ γὰρ ἐπὶ τοῦ κατὰ φύσιν χρηματισμοῦ τὴν αὔξησιν διώκει. ὁ δ' ἄσωτος ἐλλείπει τῶν ἀναγκαίων. ὁ δ' ἐλευθέριος τὴν περιουσίαν δίδωσιν. αὐτῶν δὲ τούτων εἴδη λέγονται διαφέροντα, τῷ μᾶλλον καὶ ἧττον περὶ μόρια. οἷον ἀνελεύθερος. φειδωλός. καὶ κίμβιξ. καὶ αἰσχροκερδής. φειδωλὸς μὲν ἐν τῷ μὴ προΐεσθαι. αἰσχροκερδὴς δ' ἐν τῷ ὁτιοῦν προσίεσθαι. κίμβιξ δὲ, ὁ σφόδρα περὶ σμικρὰ διατεινόμενος. παραλογιστὴς δὲ καὶ ὁ ἀποστερητὴς ὁ ἄδικος κατ' ἀνελευθερίαν. καὶ τοῦ ἀσώτου ὡσαύτως φυλάκτης μὲν ὁ ἐν τῷ ἀτάκτως ἀναλίσκειν. ἀλόγιστος δὲ ὁ ἐν τῷ μὴ ὑπομένειν τὴν ἀπ' ἀλογισμοῦ λύπην.

φειδωλός
κίμβιξ
αἰσχροκερδής
παραλογιστής
ἀποστερητής
φυλάκτης
ἀλόγιστος

De Magnanimitate

Περὶ δὲ μεγαλοψυχίας ἐκ τῶν τοῖς μεγαλοψύχοις ἀποδιδομένων δεῖ διορίσαι τὸ αἴτιον. ὥσπερ γὰρ καὶ τὰ ἄλλα κατὰ τὴν γειτνίασιν καὶ ὁμοιότητα μέχρι του λανθάνει πόρρω προϊόντα, καὶ περὶ τὴν μεγαλοψυχίαν τοῦτο συμβέ-

βηκε.



βηκε. διὸ ἐνίοτε οἱ ἐναντίοι τοῦ αὐτοῦ ἀντιποιοῦνται. οἷον ὁ ἄσωτος τῷ ἐλευθερίῳ. καὶ ὁ αὐθάδης τῷ σεμνῷ. καὶ ὁ θρασὺς τῷ ἀνδρείῳ. εἰσὶ γὰρ καὶ περὶ ταυτὰ καὶ ὅμοροι μέχρι τινός. ὥσπερ ὁ ἀνδρεῖος ὑπομονητικὸς κινδύνων, καὶ ὁ θρασύς. ἀλλ' ὁ μὲν ὡδί. ὁ δ' ὡδί. ταῦτα δὲ διαφέρει πλεῖστον. λέγομεν δὲ τὸν μεγαλόψυχον κατὰ τὴν τοῦ ὀνόματος προσηγορίαν ὥσπερ ἐν μεγέθει τινὶ ψυχῆς καὶ δυνάμεως. ὥστε καὶ τῷ σεμνῷ καὶ τῷ μεγαλοπρεπεῖ ὅμοιος εἶναι δοκεῖ. ὅτι καὶ πάσαις ταῖς ἀρεταῖς ἀκολουθεῖν φαίνεται. καὶ γὰρ τὸ ὀρθῶς κρῖναι τὰ μεγάλα καὶ μικρὰ τῶν ἀγαθῶν, ἐπαινετόν. δοκεῖ δὲ ταῦτ' εἶναι μεγάλα ἃ διώκει ὁ τὴν κρατίστην ἔχων ἕξιν περὶ τὰ τοιαῦτ' εἶναι ἡδέα. ἡ δὲ μεγαλοψυχία κρατίστη. κρίνει δὲ περὶ τὸ ἕκαστον ἀρετῆ, τὸ μεῖζον καὶ τὸ ἔλαττον ὀρθῶς. ἃ ὁ φρόνιμος ἂν κελεύσειε καὶ ἡ ἀρετή. ὥστε ἕπεσθαι αὐτῇ πάσας τὰς ἀρετὰς ἢ αὐτὴν ἕπεσθαι πάσαις. ἔτι δοκεῖ μεγαλοψύχου εἶναι, τὸ καταφρονητικὸν εἶναι. ἑκάστη δ' ἀρετὴ καταφρονητικὴ τῶν παρὰ τὸν λόγον μεγάλων. οἷον ἀνδρεία κινδύνων. μέγα γὰρ οἴεται εἶναι τῶν αἰσχρῶν. καὶ πλῆθος οὐ πᾶν φοβερόν. καὶ σώφρων ἡδονῶν μεγάλων καὶ πολλῶν. καὶ ἐλευθέριος χρημάτων. μεγαλοψύχου δὲ τοῦτο δοκεῖ, διὰ τὸ περὶ ὀλίγα σπουδάζειν καὶ ταῦτα μεγάλα. καὶ οὐχ ὅτι δοκεῖ ἑτέρῳ τινί. καὶ μᾶλλον ἂν φροντίσειεν ἀνὴρ μεγαλόψυχος τί δοκεῖ ἑνὶ σπουδαίῳ ἢ πολλοῖς τοῖς τυγχάνουσιν. ὥσπερ Ἀντιφῶν ἔφη πρὸς Ἀγάθωνα κατεψηφισμένος τὴν ἀπολογίαν ἐπαινέσαντα. καὶ τὸ ὀλίγωρον τοῦ μεγαλοψύχου μάλιστ' εἶναι πάθος ἴδιον. πάλιν περὶ τιμῆς καὶ τοῦ ζῆν καὶ πλούτου περὶ ὧν σπουδάζειν δοκοῦσιν οἱ ἄνθρωποι, οὐθὲν φροντίζειν περὶ τῶν ἄλλων πλὴν περὶ τιμῆς. καὶ λυπηθήσοιτ' ἂν ἀτιμαζόμενος καὶ ἀρχόμενος ὑπὸ ἀναξίου. καὶ χαίρειν μάλιστα τυγχάνων. οὕτω μὲν οὖν δόξειεν ἂν ἐναντίως ἔχειν. τὸ γὰρ εἶναί τε μάλιστα περὶ τιμὴν, καὶ κα-

Vel prudentia sequitur omnes virtutes vel ipsa alias

Antiphó

Agathó

ταφρονητικὸν εἶναι τῶν πολλῶν καὶ δόξης οὐχ ὁμολογεῖσθαι. δεῖ δὲ τοῦτο διορίσαντας εἰπεῖν. ἔστι γὰρ τιμὴ καὶ μικρὰ καὶ μεγάλη διχῶς. ἢ γὰρ τῷ ὑπὸ πολλῶν τῶν τυχόντων, ἢ τῷ ὑπὸ τῶν ἀξίων λόγου. καὶ πάλιν τῷ ἐπὶ τίνι ἡ τιμὴ διαφέρει. μεγάλη γὰρ οὐ τῷ πλήθει τῶν τιμώντων οὐδὲ τῷ ποιῷ μόνον, ἀλλὰ καὶ τῷ τιμίαν εἶναι. τῇ ἀληθείᾳ δὲ καὶ ἀρχαὶ καὶ τἆλλα ἀγαθὰ τίμια καὶ ἄξια σπουδῆς ταῦτα, ὅσα μεγάλα ἀληθῶς ἐστιν. ὥστε καὶ ἀρετὴ οὐδεμία ἄνευ μεγέθους. διὸ δοκοῦσι μεγάλους ποιεῖν ἑκάστη, περὶ ὅ ἐστιν ἑκάστη αὐτῶν ὥσπερ εἴπομεν. ἀλλ' ὅμως ἔστι τις περὶ τὰς ἄλλας ἀρετὰς μία μεγαλοψυχία, ὥσπερ καὶ ἰδίᾳ μεγαλόψυχον τοῦτον λεκτέον, τὸν ἔχοντα ταύτην. ἐπεὶ δ' ἐστὶν ἔνια τῶν ἀγαθῶν, τὰ μὲν τίμια, τὰ δ' ὡς διωρίσθη πρότερον, τῶν τοιούτων δ' ἀγαθῶν ἐστὶ τὰ μὲν μεγάλα κατὰ ἀλήθειαν, τὰ δὲ, μικρά, καὶ τούτων ἔνιοι ἄξιοι καὶ ἀξιοῦσιν αὑτούς, ἐν τούτοις ζητητέος ὁ μεγαλόψυχος. τετραχῶς δ' ἀνάγκη διαφέρειν. ἔστι μὲν γὰρ ἄξιον εἶναι μεγάλων καὶ ἀξιοῦν ἑαυτὸν τούτων. ἔστι δὲ μικρὰ καὶ ἄξιον τινὰ τηλικούτων, καὶ ἀξιοῦν ἑαυτὸν τούτων. ἔστι δ' ἀνάπαλιν πρὸς ἑκάτερα αὐτῶν. ὁ μὲν γὰρ ἂν εἴη τοιοῦτος, οἷος ἄξιος ὢν μικρῶν, μεγάλων ἀξιοῦν ἑαυτὸν τῶν ἐντίμων ἀγαθῶν. ὁ δὲ ἄξιος ὢν μεγάλων, ἀξιῶν ἂν μικρῶν ἑαυτόν. ὁ μὲν οὖν ἄξιος μικρῶν, μεγάλων δ' ἀξιῶν ἑαυτὸν ψεκτός. ἀνόητον γὰρ καὶ οὐ καλόν, τὸ παρὰ τὴν ἀξίαν τυγχάνειν. ψεκτὸς δὲ καὶ ὅστις ἄξιος ὢν ὑπαρχόντων αὐτῷ τῶν τοιούτων μετέχειν μὴ ἀξιοῖ ἑαυτόν. λείπεται δὲ ἐνταῦθα ἐναντίος τούτοις ἀμφοτέροις, ὅστις ἄξιος ὢν μεγάλων, ἀξιοῖ αὐτὸς ἑαυτὸν τούτων, καίτοι οὗτός ἐστιν οἷος ἀξιοῦν ἑαυτόν, οὗτος ἐπαινετὸς καὶ μέσος τούτων. ἐπεὶ οὖν περὶ τιμῆς αἵρεσιν καὶ χρῆσιν καὶ τῶν ἄλλων ἀγαθῶν τῶν ἐντίμων ἀρίστη ἐστὶ διάθεσις ἡ μεγαλοψυχία, καὶ τοῦτ' ἀποδίδομεν καὶ οὐ περὶ τὰ χρήσιμα τὸν μεγαλόψυχον, ἅμα δὲ καὶ ἡ μεσότης αὐτὴ ἐπαινετωτάτη,



τωτάτη, δῆλον ὅτι καὶ ἡ μεγαλοψυχία, μεσότης ἂν εἴη. τῶν δ' ἐναντίων ὥσπερ διεγράψαμεν, ἡ μὲν, ἐπὶ τῷ ἀξιοῦν ἑαυτὸν ἀγαθῶν μεγάλων ἀνάξιον ὄντα χαυνότης. τοὺς τοιούτους γὰρ χαύνους λέγομεν ὅσοι μεγάλων οἴονται ἄξιοι εἶναι οὐκ ὄντες. ἡ δὲ περὶ τὸ ἄξιον ὄντα μὴ ἀξιοῦν ἑαυτὸν μεγάλων, μικροψυχία. μικροψύχου γὰρ εἶναι δοκεῖ, ὅστις ὑπαρχόντων δι' ἃ δικαίως ἂν ἀξιοῦτο, μὴ ἀξιοῖ μηθενὸς μεγάλου ἑαυτόν. ὥστ' ἀνάγκη καὶ τὴν μεγαλοψυχίαν εἶναι μεσότητα χαυνότητος καὶ μικροψυχίας. ὁ δὲ τέταρτος τῶν διορισθέντων οὔτε πάμπαν ψεκτὸς οὔτε μεγαλόψυχος περὶ οὐδὲν ἔχων μέγεθος. οὔτε γὰρ ἄξιος οὔτε ἀξιοῖ μεγάλων. διὸ οὐκ ἐναντίος. καίτοι δόξειεν ἂν ἐναντίον εἶναι, τῷ μεγάλων ἀξίῳ ὄντι μεγάλων, τὸ μικρῶν ὄντα ἄξιον, ἀξιοῦν ἑαυτόν. οὐκ ἔστι δὲ ἐναντίος οὔτε τῷ μεμπτὸς εἶναι, ὡς γὰρ ὁ λόγος κελεύει ἔχει. καὶ ὁ αὐτός ἐστι τῇ φύσει τῷ μεγαλοψύχῳ. ὧν γὰρ ἄξιοι τούτων ἀξιοῦσιν αὐτοὺς ἄμφω. καὶ ὁ μὲν γένοιτο ἂν μεγαλόψυχος. ἀξιώσει γὰρ ὧν ἐστιν ἄξιος. ὁ δὲ μικρόψυχος ὃς ὑπαρχόντων αὐτῷ μεγάλων κατὰ τιμὴν ἀγαθῶν οὐκ ἀξιοῖ, τί ἂν εἴποι, εἰ μικρῶν ἄξιος ἦν. ἢ γὰρ ἂν μεγάλων ἀξιῶν χαῦνος ἦν, ἢ ἔτι ἐλαττόνων. διὸ καὶ οὐθεὶς ἂν εἴποι μικρόψυχον, εἴ τις μέτοικος ὢν ἄρχειν μὴ ἀξιοῖ ἑαυτόν, ἀλλ' ὑπείκει, ἀλλ' εἴ τις εὐγενὴς ὢν καὶ ἡγούμενος μέγα εἶναι τὸ ἄρχειν. ἔστι δὲ ὁ μεγαλοπρεπὴς οὐ περὶ τὴν τυχοῦσαν πρᾶξιν καὶ προαίρεσιν, ἀλλὰ τὴν δαπάνην. εἰ μή που κατὰ μεταφορὰν λέγομεν. ἄνευ δὲ δαπάνης, μεγαλοπρέπεια οὐκ ἔστι. τὸ μὲν γὰρ πρέπον, ἐν κόσμῳ ἐστίν. ὁ δὲ κόσμος οὐκ ἐκ τῶν τυχόντων ἀναλωμάτων, ἀλλ' ἐν ὑπερβολῇ τῶν ἀναγκαίων ἐστί. ὁ δὲ ἐν μεγάλῃ δαπάνῃ τοῦ πρέποντος μεγέθους προαιρετικὸς καὶ τῆς τοιαύτης μεσότητος, καὶ ἐπὶ τῇ τοιαύτῃ ἡδονῇ ὀρεκτικός, μεγαλοπρεπής. ὁ δὲ ἐπὶ τὸ μεῖζον καὶ παρὰ μέλος ἀνώνυμος. οὐ μὴν ἀλλ' ἔχει τινὰ γειτνίασιν, οὓς καλοῦσί τινας ἀπειροκάλους καὶ σαλάκωνας. οἷον εἰ εἰς γάμον

χαυνότης

μικροψυχία

μεγαλοπρεπ

κόσμος qd.

ἀπειρόκαλοι

σαλάκωνες

ἐγγίνεται ... νῆφαι legit interpretatur
q: ὀλιγοποτοῦντες.
videtur autem posse interpretari bonconsulentes



δαπανῶν τις τοῦ ἀγαθοῦ τοῦ πλουσίου ὤν, δοκεῖ πρέπειν ἑαυτῷ τοιαύτην κατασκευήν, οἷον ἀγαθοδαιμονιαστὰς ἑστιῶντι, οὗτος μὲν μικροπρεπής. ὁ δὲ τοιούτους δεχόμενος ἐκείνος μὴ δόξης χάριν μηδὲ δι' ἐξουσίαν, ὅμοιος τῷ σαλάκωνι. ὁ δὲ κατ' ἀξίαν καὶ ὡς ὁ λόγος μεγαλοπρεπής· τὸ γὰρ πρέπον κατ' ἀξίαν ἐστίν· οὐδὲν γὰρ πρέπει τῶν παρὰ τὴν ἀξίαν. δεῖ δὲ πρέπον εἶναι· καὶ γὰρ τοῦ πρέποντος κατ' ἀξίαν· καὶ πρέπον καὶ περὶ ὅ, οἷον περὶ οἰκέτου γάμον ἕτερον τὸ πρέπον, καὶ περὶ ἐρωμένου. καὶ αὐτῷ, εἴπερ ἐπὶ τοσοῦτον ἢ τοιοῦτον· οἷον τὴν θεωρίαν οὐκ ᾤετο Θεμιστοκλεῖ πρέπειν ἣν ἐποιήσατο Ὀλυμπίαζε, διὰ τὴν προϋπάρξασαν ταπεινότητα, ἀλλὰ Κίμωνι. ὁ δ' ὅπως ἔτυχεν ἔχων πρὸς τὴν ἀξίαν οὐθεὶς τούτων. καὶ ἐπὶ ἐλευθεριότητος ὡσαύτως· ἔστι γάρ τις ὡς ἐλευθέριος, ὅταν ἐλεύθερος. σχεδὸν δὲ καὶ τῶν ἄλλων ἕκαστον τῶν περὶ τὸ ἦθος ἐπαινετῶν καὶ ψεκτῶν· τὰ μὲν γὰρ ὑπερβολαί, τὰ δ' ἐλλείψεις, τὰ δὲ μεσότητές εἰσι παθητικαί· οἷον ὁ φθονερὸς καὶ ἐπιχαιρέκακος. καθ' ἃς γὰρ ἕξεις λέγονται, ὁ μὲν φθόνος τὸ λυπεῖσθαι ἐπὶ τοῖς κατ' ἀξίαν εὖ πράττουσίν ἐστι· τὸ δὲ τοῦ ἐπιχαιρεκάκου πάθος ἐπὶ τὸ αὐτὸ ἀνώνυμον· ἀλλ' ὁ ἔχων δῆλος ἐπὶ τῷ χαίρειν ταῖς παρὰ τὴν ἀξίαν κακοπραγίαις καὶ εὐπραγίαις· χαίρειν δ' ἐπὶ τοῖς ἀξίαις. μέσος δὲ τούτων ὁ νεμεσητικός, καὶ ὃ ἐκάλουν οἱ ἀρχαῖοι τὴν νέμεσιν, τὸ λυπεῖσθαι μὲν ἐπὶ ταῖς παρὰ τὴν ἀξίαν κακοπραγίαις. διὸ καὶ θεὸν οἴονται εἶναι τὴν νέμεσιν. αἰδὼς δὲ μεσότης ἀναισχυντίας καὶ καταπλήξεως· ὁ μὲν γὰρ μηδεμιᾶς φροντίζων δόξης, ἀναίσχυντος· ὁ δὲ πάσης ὁμοίως, καταπλήξ· ὁ δὲ τῆς τῶν φαινομένων ἐπιεικῶς, αἰδήμων. φιλία δὲ μεσότης ἔχθρας καὶ κολακείας· ὁ μὲν γὰρ εὐχερῶς ἅπαντα πρὸς τὰς ἐπιθυμίας ὁμιλῶν κόλαξ· ὁ δὲ πρὸς ἁπάσας ἀντικρούων ἀπεχθητικός· ὁ δὲ μήτε πρὸς ἅπασαν ἡδονὴν μήτε ἀκολουθῶν μήτε ἀντιτείνων, ἀλλὰ πρὸς τὸ φαινόμενον βέλτιστον, φίλος. σεμνότης δὲ μεσότης αὐθαδείας καὶ ἀρεσκείας· ὁ μὲν

γὰρ

Marginalia: ἀγαπητός · Agathodaemoniastae · ἀγαθοδαιμονιασταὰς ἑστιῶντι · πρέπον qd. · Themistocles · Cimon · φθονερός · ἐπιχαιρέκακος · νεμεσητικός · Nemesis dea · ἀναισχυντία · κατάπληξις · αἰδώς · φιλία · ἔχθρα · κολακεία · ἀπεχθητικός · σεμνότης · αὐθάδεια · ἀρέσκεια



γὰρ μηδὲν πρὸς ἕτερον ζῶν, ἀλλὰ καταφρονητικὸς αὐθάδης· ὁ δὲ πάντα πρὸς ἄλλον ἢ καὶ πάντων ἐλάττων, ἄρεσκος· ὁ δὲ τὰ μέν, τὰ δὲ μή, καὶ πρὸς τοὺς ἀξίους οὕτως ἔχων, σεμνός. ὁ δ' ἀληθὴς καὶ ἁπλοῦς, ὃν καλοῦσιν αὐθέκαστον, μέσος τοῦ εἴρωνος καὶ ἀλαζόνος. ὁ μὲν γὰρ ἐπὶ τὰ χείρω καθ' αὑτοῦ ψευδόμενος μὴ ἀγνοῶν, εἴρων· ὁ δ' ἐπὶ τὰ βελτίω, ἀλαζών· ὁ δ' ὡς ἔχει, ἀληθὴς καὶ καθ' Ὅμηρον πεπνυμένος· καὶ ὅλως ὁ μὲν φιλαλήθης, ὁ δὲ φιλοψευδής. ἔστι δὲ καὶ ἡ εὐτραπελία μεσότης, καὶ ὁ εὐτράπελος μέσος τοῦ ἀγροίκου καὶ δυστραπέλου καὶ τοῦ βωμολόχου. ὥσπερ γὰρ καὶ περὶ τροφὴν ὁ σικχὸς τοῦ παμφάγου διαφέρει, τῷ ὁ μὲν μηθὲν ἢ ὀλίγα καὶ χαλεπῶς προσίεσθαι, ὁ δὲ πάντα εὐχερῶς, οὕτω καὶ ὁ ἄγροικος ἔχει πρὸς τὸν φορτικὸν καὶ βωμολόχον· ὁ μὲν γὰρ οὐθὲν γελοῖον, ἀλλὰ χαλεπῶς προσίεται· ὁ δὲ πάντα εὐχερῶς καὶ ἡδέως. δεῖ δ' οὐδέτερον, ἀλλὰ τὰ μέν, τὰ δὲ μή, καὶ κατὰ λόγον· οὗτος δ' εὐτράπελος. ἡ δ' ἀπόδειξις ἡ αὐτή· ἥ τε γὰρ εὐτραπελία ἡ τοιαύτη, καὶ μὴ ἣν μεταφέροντες λέγομεν, ἐπιεικεστάτη ἕξις, καὶ ἡ μεσότης ἐπαινετή, τὰ δ' ἄκρα ψεκτά. οὔσης δὲ διττῆς εὐτραπελίας, ἡ μὲν γὰρ ἐν τῷ χαίρειν ἐστὶ τῷ γελοίῳ καὶ τῷ εἰς αὐτὸν ἐὰν ᾖ τοιονδί, ὧν ἐν καὶ σκῶμμά ἐστιν, ἡ δ' ἐν τῷ δύνασθαι τοιαῦτα πορίζεσθαι, ἕτεραι μὲν εἰσὶν ἀλλήλων· ἀμφότεραι μέντοι μεσότητες· καὶ γὰρ τὸν δυνάμενον τοιαῦτα πορίζεσθαι ἐφ' ὅσοις ἡσθήσεται ὁ εὖ κρίνων, κἂν εἰς αὐτὸν ᾖ τὸ γελοῖον, μέσος ἔσται τοῦ φορτικοῦ καὶ τοῦ ψυχροῦ. ὁ δ' ὅρος οὗτος βελτίων, ἢ τὸ μὴ λυπηρὸν εἶναι τὸ λεχθὲν τῷ σκωπτομένῳ ὄντι ὁποιῳοῦν· μᾶλλον γὰρ δεῖ τῷ ἐν μεσότητι ὄντι ἀρέσκειν· οὗτος γὰρ κρινεῖ εὖ. πᾶσαι δ' αὗται αἱ μεσότητες ἐπαινεταὶ μέν, οὐκ εἰσὶ δ' ἀρεταί, οὐδ' αἱ ἐναντίαι κακίαι· ἄνευ προαιρέσεως γάρ. ταῦτα δὲ πάντ' ἐστὶν ἐν ταῖς τῶν παθημάτων διαιρέσεσιν· ἕκαστον γὰρ αὐτῶν πάθος τί ἐστι. διὰ δὲ τὸ φυσικὰ εἶναι εἰς τὰς φυσικὰς συμβάλλεται ἀρετάς· ἔστι γάρ, ὥσπερ λεχθήσεται ἐν τοῖς ὕστερον, ἑκάστη πως ἀρετὴ καὶ φυσι-

Marginalia: ἀληθής · ἁπλοῦς · αὐθέκαστος · εἴρων · ἀλαζών · Homer · πεπνυμένος qd apud Homerum nota · εὐτραπελία · ἀγροικία · δυστραπελία · σικχός · πάμφαγος

καὶ ἄλλως μετὰ φρονήσεως ὁ μὲν ἂν φθόνος εἰς ἀδικίαν συμβαίνει· πρὸς γὰρ ἄλλον αἱ πράξεις αἱ ἀπ' αὐτοῦ· καὶ ἡ νέμεσις εἰς δικαιοσύνην· ἡ αἰδὼς εἰς σωφροσύνην· διὸ καὶ δοίζονται ἐν τοῖς γένεσι τοῦτο τὸ σωφροσύνη· ὁ δ' ἀληθὴς καὶ ψευδὴς ὁ μὲν ἔμφρων, ὁ δ' ἄφρων· ὅτι δὲ ἐναντιώτερον τοῖς ἄκροις τὸ μέσον ἢ ἐκεῖνα ἀλλήλοις· δῆλον τὸ μὲν μετὰ δεῖ τοῦ δὲ μᾶλλον· τὸ δὲ, ὡς ἐπὶ τὰ πολλὰ μετὰ τῶν ἄλλων· καὶ εἰσὶν ἐνίοτε οἱ αὐτοὶ θρασεῖς καὶ δειλοί· καὶ τὰ μὲν ἄσωτοι· τὰ δὲ, ἀνελεύθεροι· καὶ ὅλως ἀνώμαλοι κακῶς· ὅταν μὲν γὰρ καλῶς ἀνώμαλοι εἰσὶν, μέσοι γίνονται· ὥστε μέσα γὰρ ὅτι ἐστὶ τὰ ἄκρα· αἱ δὲ ἐναντιώσεις ὑδοκοῦσιν ὑπάρχειν τοῖς ἄκροις πρὸς τὸ μέσον· ὁμοίως ἀμφότεραι· ἀλλ' ὅτε μὲν κατὰ ὑπερβολήν· ὅτε δὲ κατ' ἔλλειψιν· αἴτια δὲ τὰ τρία ἐνθένδε· δύο· ὀλιγότης δὲ, οἷον τὸ πρὸς τὸ ἡδέα ἀναισθήτων· καὶ ὅτι ἐφ' ὃ ἁμαρτάνομεν, μᾶλλον τοῦτο ἐναντιώτερον εἶναι δοκεῖ· τὸ δὲ τρίτον ὅτι τὸ ὁμοιότερον, ἧττον ἐναντιώτερον φαίνεται· οἷον τὸ θρασὺ πρὸς τὸ θρασύ· τὸ δὲ ἄσωτον πρὸς τὸ ἐλευθέριον· περὶ μὲν οὖν τὰς ἄλλας ἀρετὰς καὶ τοὺς ἐπαινετοὺς εἰρήσθω τοσαῦτα· περὶ δὲ δικαιοσύνης ἢ δικαίου πότερον οὐ μία ἀρετὴ ἐστὶν ἀλλὰ δύο· καὶ ποῖα τὰ μεσότητος ὄντα ἡ δικαιοσύνη· καὶ τὸ δίκαιον τίνων μέσον· ἡ δὲ σκέψις ἡμῖν ἔσται κατὰ τὸν αὐτὸν τρόπον τῆς μεθόδου τῆς προειρημένης· ὁρῶμεν δὲ πάντας τὸν τοιοῦτον ἕξιν βουλόμενον λέγειν δικαιοσύνην, ἀφ' ἧς πρακτικοὶ τῶν δικαίων εἰσὶ· καὶ ἀφ' ἧς δικαιοπραγοῦσι καὶ βούλονται τὰ δίκαια· τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ ἀδικίας ἀφ' ἧς ἀδικοῦσι καὶ βούλονται τὰ ἄδικα· διὸ καὶ ἡμῖν πρῶτον ὡσαύτως ὑποκείσθω ταῦτα· ἐπεὶ γὰρ αὐτὸν ἔχει τρόπον ὧν ἐπιστήμων καὶ δυνάμεων καὶ ἐπὶ τῶν ἕξεων· δύναμις μὲν γὰρ καὶ ἐπιστήμη δοκεῖ τῶν ἐναντίων ἡ αὐτὴ εἶναι· ἕξις δὲ οὐκ ἐναντία τῶν ἐναντίων, οὐ· οἷον ὑγιείας οὐ πράττεται τὰ ἐναντία· ἀλλὰ τὰ ὑγιεινὰ μόνον· λέγομεν γὰρ ὡς ὑγιεινῶς βαδίζει, ὅταν βαδίζῃ ὡς ὁ ὑγιαίνων· πολλάκις μὲν οὖν γνωρίζεται ἡ ἐναντία ἕξις ἀπὸ τῆς ἐναντίας· πολλάκις δὲ αἱ ἕξεις ἀπὸ τῶν ὑποκειμένων· ἐὰν γὰρ ἡ εὐεξία ᾖ φανερά· καὶ ἡ κακεξία φανερὰ γίνεται· καὶ ἐκ τῶν εὐεκτικῶν ἡ εὐεξία· καὶ ἐκ ταύτης τὰ εὐεκτικά· εἰ γὰρ ὅτου ἡ εὐεξία πυκνότης σαρκὸς, ἀνάγκη καὶ τὸν κακεξίαν εἶναι μανότητα σαρκός· καὶ τὸ εὐεκτικὸν, τὸ ποιητικὸν πυκνότητος σαρκὶ



ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΩΝ ΕΥΔΗΜΙΩΝ, ΤΟΔ'.

De Justitia

Περὶ δικαιοσύνης καὶ ἀδικίας σκεπτέον, περὶ ποίας τε τυγχάνουσιν οὖσαι πράξεις· καὶ ποῖα μεσότητός ἐστιν ἡ δικαιοσύνη· καὶ τὸ δίκαιον τίνων μέσον· ἡ δὲ σκέψις ἡμῖν ἔσται κατὰ τὸν αὐτὸν τρόπον τῆς μεθόδου τῆς προειρημένης· ὁρῶμεν δὲ πάντας τὸν τοιοῦτον ἕξιν βουλομένους λέγειν δικαιοσύνην, ἀφ' ἧς πρακτικοὶ τῶν δικαίων εἰσὶ· καὶ ἀφ' ἧς δικαιοπραγοῦσι καὶ βούλονται τὰ δίκαια· τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ ἀδικίας ἀφ' ἧς ἀδικοῦσι καὶ βούλονται τὰ ἄδικα· διὸ καὶ ἡμῖν πρῶτον ὡσαύτως ὑποκείσθω ταῦτα· ἐπεὶ γὰρ αὐτὸν ἔχει τρόπον ὧν ἐπιστήμων καὶ δυνάμεων καὶ ἐπὶ τῶν ἕξεων· δύναμις μὲν γὰρ καὶ ἐπιστήμη δοκεῖ τῶν ἐναντίων ἡ αὐτὴ εἶναι· ἕξις δὲ οὐκ ἐναντία τῶν ἐναντίων, οὐ· οἷον ὑγιείας οὐ πράττεται τὰ ἐναντία· ἀλλὰ τὰ ὑγιεινὰ μόνον· λέγομεν γὰρ ὡς ὑγιεινῶς βαδίζει, ὅταν βαδίζῃ ὡς ὁ ὑγιαίνων· πολλάκις μὲν οὖν γνωρίζεται ἡ ἐναντία ἕξις ἀπὸ τῆς ἐναντίας· πολλάκις δὲ αἱ ἕξεις ἀπὸ τῶν ὑποκειμένων· ἐὰν γὰρ ἡ εὐεξία ᾖ φανερά· καὶ ἡ κακεξία φανερὰ γίνεται· καὶ ἐκ τῶν εὐεκτικῶν ἡ εὐεξία· καὶ ἐκ ταύτης τὰ εὐεκτικά· εἰ γὰρ ὅτου ἡ εὐεξία πυκνότης σαρκὸς, ἀνάγκη καὶ τὸν κακεξίαν εἶναι μανότητα σαρκός· καὶ τὸ εὐεκτικὸν, τὸ ποιητικὸν πυκνότητος σαρκὶ

πυκνότης
μανότης

ἀκολουθεῖ δ᾽ ὡς ἐπὶ τὸ πολὺ, ἐὰν θάτερα πλεοναχῶς λέγηται, καὶ θάτερα πλεοναχῶς λέγεσθαι· οἷον εἰ τὸ δίκαιον, καὶ ἡ ἀδικία. ἔοικε δὲ πλεοναχῶς λέγεσθαι ἡ δικαιοσύνη καὶ ἡ ἀδικία. ἀλλὰ διὰ τὸ σύνεγγυς εἶναι τὴν ὁμωνυμίαν αὐτῶν λανθάνει, καὶ οὐχ ὥσπερ ἐπὶ τῶν πόρρω δήλη μᾶλλον. ἡ γὰρ διαφορὰ πολλὴ ἡ κατὰ τὴν ἰδέαν· οἷον ὅτι καλεῖται κλεὶς ὁμωνύμως, ἥ τε ὑπὸ τὸν αὐχένα τῶν ζῴων, καὶ ἡ τὰς θύρας κλείουσα. εἰλήφθω δὴ ὁ ἄδικος ποσαχῶς λέγεται. δοκεῖ δὲ ὅ, τε παράνομος ἄδικος εἶναι, καὶ ὁ πλεονέκτης, καὶ ἄνισος. ὥστε δῆλον ὅτι καὶ ὁ δίκαιος ἔσται, ὅ, τε νόμιμος καὶ ὁ ἴσος. τὸ μὲν δίκαιον ἄρα τὸ νόμιμον καὶ τὸ ἴσον. τὸ δ᾽ ἄδικον τὸ παράνομον καὶ τὸ ἄνισον. ἐπεὶ δὲ πλεονέκτης ὁ ἄδικος, περὶ τἀγαθὰ ἔσται, οὐ πάντα, ἀλλὰ περὶ ὅσα εὐτυχία καὶ ἀτυχία, ἃ ἐστὶ μὲν ἁπλῶς ἀεὶ ἀγαθὰ, τινὶ δ᾽ οὐκ ἀεί. οἱ δ᾽ ἄνθρωποι ταῦτα εὔχονται καὶ διώκουσι. δεῖ δ᾽ οὔ, ἀλλ᾽ εὔχεσθαι μὲν τὰ ἁπλῶς ἀγαθὰ, καὶ αὐτοῖς ἀγαθὰ εἶναι, αἱρεῖσθαι δὲ τὰ αὐτοῖς ἀγαθά. ὁ δ᾽ ἄδικος οὐκ ἀεὶ τὸ πλέον αἱρεῖται, ἀλλὰ καὶ τὸ ἔλαττον ἐπὶ τῶν ἁπλῶς κακῶν. ἀλλ᾽ ὅτι δοκεῖ καὶ τὸ μεῖον κακὸν ἀγαθόν πως εἶναι, τοῦ δ᾽ ἀγαθοῦ ἐστὶν ἡ πλεονεξία, διὰ τοῦτο δοκεῖ πλεονέκτης εἶναι. ἔστι δ᾽ ἄνισος· τοῦτο γὰρ περιέχει καὶ κοινόν. καὶ παράνομος· τοῦτο γὰρ ἡ παρανομία ἤτοι ἡ ἀνισότης, περιέχει πᾶσαν ἀδικίαν, καὶ κοινόν ἐστι πάσης ἀδικίας. ἐπεὶ δ᾽ ὁ παράνομος ἄδικος ἦν, ὁ δὲ νόμιμος δίκαιος, δῆλον ὅτι πάντα τὰ νόμιμά ἐστί πως δίκαια. τά, τε γὰρ ὡρισμένα ὑπὸ τῆς νομοθετικῆς νόμιμά ἐστι, καὶ ἕκαστον τούτων δίκαιον εἶναί φαμεν. οἱ δὲ νόμοι ἀγορεύουσι περὶ ἁπάντων, στοχαζόμενοι ἢ τοῦ κοινῇ συμφέροντος πᾶσιν, ἢ τοῖς ἀρίστοις, ἢ τοῖς κυρίοις, ἢ κατ᾽ ἄλλον τινὰ τρόπον τοιοῦτον. ὥστε ἕνα μὲν τρόπον δίκαια λέγομεν, τὰ ποιητικὰ καὶ φυλακτικὰ εὐδαιμονίας καὶ τῶν μορίων αὐτῆς τῇ πολιτικῇ κοινωνίᾳ. προστάττει δ᾽ ὁ νόμος, καὶ τὰ τοῦ ἀνδρείου ἔργα ποιεῖν· οἷον μὴ λιπεῖν τὴν τάξιν, μηδὲ φεύγειν, μηδὲ ῥιπτεῖν τὰ ὅπλα. καὶ τὰ τοῦ σώφρονος· οἷον μὴ μοιχεύειν, μηδ᾽ ὑβρίζειν. καὶ τὰ τοῦ πράου· οἷον μὴ τύπτειν, μηδὲ κακηγορεῖν. ὁμοίως δὲ καὶ

κατὰ

κλεὶς aequocū nomē



κατὰ τὰς ἄλλας ἀρετὰς καὶ μοχθηρίας, τὰ μὲν κελεύων, τὰ δ᾽ ἀπαγορεύων, ὀρθῶς μὲν ὁ κείμενος ὀρθῶς, χεῖρον δ᾽ ὁ ἀπεσχεδιασμένος. αὕτη μὲν οὖν ἡ δικαιοσύνη ἀρετὴ μέν ἐστι τελεία, ἀλλ᾽ οὐχ ἁπλῶς, ἀλλὰ πρὸς ἕτερον. καὶ διὰ τοῦτο πολλάκις κρατίστη τῶν ἀρετῶν εἶναι δοκεῖ ἡ δικαιοσύνη, καὶ οὔθ᾽ ἕσπερος οὔθ᾽ ἑῷος οὕτω θαυμαστός. καὶ παροιμιαζόμενοί φαμεν, ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ᾽ ἀρετή ἐστι. καὶ τελεία μάλιστα ἀρετή, ὅτι τῆς τελείας ἀρετῆς χρῆσίς ἐστι. τελεία δ᾽ ἐστὶν, ὅτι ὁ ἔχων αὐτὴν καὶ πρὸς ἕτερον δύναται τῇ ἀρετῇ χρῆσθαι, ἀλλ᾽ οὐ μόνον καθ᾽ αὑτόν. πολλοὶ γὰρ ἐν μὲν τοῖς οἰκείοις τῇ ἀρετῇ δύνανται χρῆσθαι, ἐν δὲ τοῖς πρὸς ἕτερον ἀδυνατοῦσι. καὶ διὰ τοῦτο εὖ δοκεῖ ἔχειν τὸ τοῦ Βίαντος, ὅτι ἀρχὴ ἄνδρα δείξει. πρὸς ἕτερον γὰρ καὶ ἐν κοινωνίᾳ ἤδη ὁ ἄρχων. διὰ δὲ τὸ αὐτὸ τοῦτο καὶ ἀλλότριον ἀγαθὸν δοκεῖ εἶναι ἡ δικαιοσύνη μόνη τῶν ἀρετῶν, ὅτι πρὸς ἕτερόν ἐστιν. ἄλλῳ γὰρ τὰ συμφέροντα πράττει, ἢ ἄρχοντι ἢ κοινωνῷ. κάκιστος μὲν οὖν ὁ καὶ πρὸς αὑτὸν καὶ πρὸς τοὺς φίλους χρώμενος τῇ μοχθηρίᾳ. ἄριστος δ᾽ οὐχ ὁ πρὸς αὑτὸν τῇ ἀρετῇ, ἀλλ᾽ ὁ πρὸς ἕτερον. τοῦτο γὰρ ἔργον χαλεπόν. αὕτη μὲν οὖν ἡ δικαιοσύνη οὐ μέρος ἀρετῆς, ἀλλ᾽ ὅλη ἀρετή ἐστιν. οὐδ᾽ ἡ ἐναντία ἀδικία μέρος κακίας, ἀλλ᾽ ὅλη κακία. τί δὲ διαφέρει ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη αὕτη, δῆλον ἐκ τῶν εἰρημένων. ἔστι μὲν γὰρ ἡ αὐτή, τὸ δ᾽ εἶναι οὐ τὸ αὐτό. ἀλλ᾽ ᾗ μὲν πρὸς ἕτερον, ἡ δικαιοσύνη, ᾗ δὲ τοιάδε ἕξις ἁπλῶς, ἀρετή. ζητοῦμεν δέ γε τὴν ἐν μέρει ἀρετῆς δικαιοσύνην. ἔστι γάρ τις ὥς φαμεν. ὁμοίως δὲ καὶ περὶ ἀδικίας τῆς κατὰ μέρος. σημεῖον δ᾽ ὅτι ἔστι. κατὰ μὲν γὰρ τὰς ἄλλας μοχθηρίας ὁ ἐνεργῶν, ἀδικεῖ μὲν, πλεονεκτεῖ δ᾽ οὐδέν. οἷον ὁ ῥίψας τὴν ἀσπίδα διὰ δειλίαν, ἢ κακῶς εἰπὼν διὰ χαλεπότητα, ἢ οὐ βοηθήσας χρήμασι δι᾽ ἀνελευθερίαν. ὅταν δὲ πλεονεκτῇ, πολλάκις κατ᾽ οὐδεμίαν τούτων, ἀλλὰ μὴν οὐδὲ κατὰ πάσας, κατὰ πονηρίαν δέ γε τινά. ψέγομεν γάρ, καὶ κατ᾽ ἀδικίαν. ἔστιν ἄρα γε ἄλλη τις ἀδικία ὡς μέρος τῆς ὅλης. καὶ ἄδικόν τι ἐν μέρει τοῦ ὅλου ἀδίκου τοῦ παρὰ τὸν νόμον.

Justitia excellit hespero

Bias

Biantis apophthegma Magistratus uirum monstrabit

Justitia alienum bonum

ἔτι εἰ ὁ μὲν τοῦ κερδαίνειν ἕνεκα μοιχεύει καὶ προσλαμβάνει, ὁ δὲ προστιθεὶς καὶ ζημιούμενος δι' ἐπιθυμίαν, οὗτος μὲν ἀκόλαστος μᾶλλον δόξειεν ἂν εἶναι ἢ πλεονέκτης, ἐκεῖνος δ' ἄδικος, ἀκόλαστος δ' οὔ. δῆλον ἄρα ὅτι διὰ τὸ κερδαίνειν. ἔτι περὶ μὲν τὰ ἄλλα πάντα ἀδικήματα γίνεται ἡ ἐπαναφορὰ ἐπί τινα μοχθηρίαν ἀεί· οἷον εἰ ἐμοίχευσεν, ἐπ' ἀκολασίαν· εἰ ἐγκατέλιπε τὸν παραστάτην, ἐπὶ δειλίαν· εἰ δ' ἐπάταξεν, ἐπ' ὀργήν· εἰ δ' ἐκέρδανεν, ἐπ' οὐδεμίαν μοχθηρίαν, ἀλλ' ἢ ἐπ' ἀδικίαν. ὥστε φανερὸν ὅτι ἔστι τις ἀδικία παρὰ τὴν ὅλην ἄλλη ἐν μέρει συνώνυμος, ὅτι ὁ ὁρισμὸς ἐν τῷ αὐτῷ γένει· ἄμφω γὰρ ἐν τῷ πρὸς ἕτερον ἔχουσι τὴν δύναμιν. ἀλλ' ἡ μὲν περὶ τιμὴν ἢ χρήματα ἢ σωτηρίαν ἢ εἴ τινα ἔχοιμεν ἑνὶ ὀνόματι περιλαβεῖν ταῦτα πάντα, καὶ δι' ἡδονὴν τὴν ἀπὸ τοῦ κέρδους· ἡ δὲ περὶ πάντα περὶ ὅσα ὁ σπουδαῖος. ὅτι μὲν οὖν εἰσὶν αἱ δικαιοσύναι πλείους, καὶ ὅτι ἔστι τις καὶ ἑτέρα παρὰ τὴν ὅλην ἀρετήν, δῆλον· τίς δὲ καὶ ποία τις, ληπτέον. διώρισται δὲ τὸ ἄδικον, τό τε παράνομον καὶ τὸ ἄνισον· τὸ δὲ δίκαιον, τό τε νόμιμον καὶ τὸ ἴσον. κατὰ μὲν οὖν τὸ παράνομον ἡ πρότερον εἰρημένη ἀδικία ἐστίν. ἐπεὶ δὲ τὸ ἄνισον καὶ τὸ παράνομον πλέον, οὐ ταὐτὸν, ἀλλ' ἕτερον ὡς μέρος πρὸς ὅλον, τὸ μὲν πλέον ἅπαν ἄνισον, τὸ δ' ἄνισον οὐ πᾶν πλέον, καὶ τὸ ἄδικον καὶ ἡ ἀδικία οὐ ταὐτὰ, ἀλλ' ἕτερα ἐκείνων· τὰ μὲν ὡς μέρη, τὰ δ' ὡς ὅλα. μέρος γὰρ αὕτη ἡ ἀδικία τῆς ὅλης ἀδικίας. ὁμοίως δὲ καὶ ἡ δικαιοσύνη τῆς δικαιοσύνης. ὥστε καὶ περὶ τῆς ἐν μέρει ἀδικίας λεκτέον, καὶ τοῦ δικαίου ὡσαύτως. ἡ μὲν οὖν κατὰ τὴν ὅλην ἀρετὴν τεταγμένη δικαιοσύνη καὶ ἀδικία, ἡ μὲν τῆς ὅλης οὖσα χρῆσις πρὸς ἄλλον, ἡ δὲ τῆς κακίας, ἀφείσθω. καὶ τὸ δίκαιον καὶ τὸ ἄδικον τὸ κατὰ ταύτας, φανερὸν ὡς διοριστέον. σχεδὸν γὰρ τὰ πολλὰ τῶν νομίμων τὰ ἀπὸ τῆς ὅλης ἀρετῆς προσταττόμενά ἐστι. καθ' ἑκάστην γὰρ ἀρετὴν προστάττει ζῆν, καὶ καθ' ἑκάστην μοχθηρίαν κωλύει ὁ νόμος. τὰ δὲ ποιητικὰ τῆς ὅλης ἀρετῆς ἐστὶ τῶν νομίμων, ὅσα νενομοθέτηται περὶ παιδείαν τὴν πρὸς τὸ κοινόν. περὶ δὲ τῆς καθ' ἕκαστον παιδείας, καθ' ἣν

ἁπλῶς

παιδεία



ἁπλῶς ἀνὴρ ἀγαθός ἐστι, πότερον τῆς πολιτικῆς ἐστιν ἢ ἑτέρας, ὕστερον διοριστέον· οὐ γὰρ ἴσως ταὐτὸν ἀνδρί τ' ἀγαθῷ εἶναι καὶ πολίτῃ παντί. τῆς δὲ κατὰ μέρος δικαιοσύνης καὶ τοῦ κατ' αὐτὴν δικαίου, ἓν μέν ἐστιν εἶδος τὸ ἐν ταῖς διανομαῖς τιμῆς ἢ χρημάτων ἢ τῶν ἄλλων ὅσα μεριστὰ τοῖς κοινωνοῦσι τῆς πολιτείας. ἐν τούτοις γάρ ἐστι καὶ ἄνισον ἔχειν καὶ ἴσον ἕτερον ἑτέρου. ἓν δὲ τὸ ἐν τοῖς συναλλάγμασι διορθωτικόν. τούτου δὲ μέρη δύο. τῶν γὰρ συναλλαγμάτων, τὰ μὲν ἑκούσιά ἐστι, τὰ δ' ἀκούσια. ἑκούσια μὲν τὰ τοιάδε, οἷον πρᾶσις, ὠνή, δανεισμός, ἐγγύη, χρῆσις, παρακαταθήκη, μίσθωσις. ἑκούσια δὲ λέγεται, ὅτι ἡ ἀρχὴ τῶν συναλλαγμάτων ἑκούσιος. τῶν δὲ ἀκουσίων, τὰ μὲν λαθραῖα, οἷον κλοπή, μοιχεία, φαρμακεία, προαγωγή, δουλαπατία, δολοφονία, ψευδομαρτυρία. τὰ δὲ βίαια, οἷον αἰκία, δεσμός, θάνατος, ἁρπαγή, πήρωσις, κατηγορία, προπηλακισμός. ἐπεὶ δ' ὅ τ' ἄδικος ἄνισος, καὶ τὸ ἄδικον ἄνισον, δῆλον ὅτι καὶ μέσον τί ἐστι τοῦ ἀνίσου. τοῦτο δ' ἐστὶ τὸ ἴσον. ἐν ὁποίᾳ γὰρ πράξει ἐστὶ τὸ πλέον καὶ τὸ ἔλαττον, ἐστὶ καὶ τὸ ἴσον. εἰ οὖν τὸ ἄδικον ἄνισον, τὸ δίκαιον ἴσον, ὅπερ καὶ ἄνευ λόγου δοκεῖ πᾶσιν. ἐπεὶ δὲ τὸ ἴσον μέσον, καὶ τὸ δίκαιον μέσον τι ἂν εἴη. ἔστι δὲ τὸ ἴσον ἐν ἐλαχίστοις δυσίν. ἀνάγκη τοίνυν τὸ δίκαιον μέσον τε εἶναι καὶ ἴσον καὶ πρός τι καὶ τισί. καὶ ᾗ μὲν μέσον, τινῶν. ταῦτα δ' ἐστὶ πλεῖον καὶ ἔλαττον. ᾗ δ' ἴσον ἐστί, δυοῖν. ᾗ δὲ δίκαιον, τισίν. ἀνάγκη ἄρα τὸ δίκαιον ἐν ἐλαχίστοις εἶναι τέτταρσιν. οἷς τε γὰρ δίκαιον τυγχάνει ὄν, δύο ἐστί, καὶ ἐν οἷς τὰ πράγματα, δύο. καὶ ἡ αὐτὴ ἰσότης ἔσται οἷς καὶ ἐν οἷς· ὡς γὰρ ἐκεῖνα ἔχει τὰ ἐν οἷς, οὕτω κἀκεῖνα ἔχει. εἰ γὰρ μὴ ἴσοι, οὐκ ἴσα ἕξουσιν. ἀλλ' ἐντεῦθεν αἱ μάχαι καὶ τὰ ἐγκλήματα, ὅταν ἢ μὴ ἴσα ἴσοι, ἢ μὴ ἴσοι ἴσα ἔχωσι καὶ νέμωνται. ἔτι ἐκ τοῦ κατ' ἀξίαν τοῦτο δῆλον. τὸ γὰρ δίκαιον ἐν ταῖς νομαῖς ὁμολογοῦσι πάντες κατ' ἀξίαν δεῖν εἶναι· τὴν μέντοι ἀξίαν οὐ τὴν αὐτὴν λέγουσι πάντες. ἀλλ' οἱ μὲν δημοκρατικοὶ ἐλευθερίαν, οἱ δ' ὀλιγαρχικοὶ πλοῦτον, οἱ δ' ἀριστοκρατικοὶ ἀρετήν.

πρᾶσις
ὠνή
δανεισμός
ἐγγύη
χρῆσις
παρακαταθήκη
μίσθωσις
κλοπή
μοιχεία
φαρμακεία
προαγωγή
δουλαπατία
δολοφονία
ψευδομαρτυρία
αἰκία
δεσμός
θάνατος
ἁρπαγή
πήρωσις
κατηγορία
προπηλακισμός

Τὸ ἀνάλογον in. 4. ad minimum.

ὅστιν ἄρα τὸ δίκαιον ἀνάλογόν τι· τὸ γὰρ ἀνάλογον ἐλάχιστον μόνον ὅστε μονάδος ἀριθμοῦ ἴσον, ἀλλ' ὅλως ἀριθμός· ἡ δ' ἀναλογία ἰσότης ὅστε λόγου ἐν τετράσιν ἐλαχίστοις· ἡ μὲν οὖν διωρισμένη, ὅτι ἐν τετράσι δῆλον· ἀλλὰ καὶ ἡ συνεχὴς τῷ δὲ ἑνὶ δύο στιχῆται· καὶ ὡς λέγω· οἷον ὡς ἡ γῆ πρὸς τὸν Ἀ· οὕτως ὁ Ἀ πρὸς τὸν Β· οὕτως ὁ Β πρὸς τὸν Γ· ὡς δὲ ἡ γῆ πρὸς τὸν Β εἴρηται· ὥστε καὶ ὁ Β ἓν τιθῆται, τέσσαρες οὖν τὰ ἀνάλογα· ὅστε ἐν τετράσιν ἐλαχίστοις τὸ δίκαιον· καὶ ὁλόγως ὅσαν τόσι διῄρηται γὰρ ὁμοίως, οἷόν τε ἦν ἐσται ἄρα ὡς ὁ Ἀ ὅρος πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ἐναλλὰξ ἄρα ὡς ὁ Ἀ πρὸς τὸν Γ· ὁ Β, πρὸς τὸν Δ· καὶ τὸ ὅλον πρὸς τὸ ὅλον· ὅπερ ἦν· ὁ μὴ συνδυάζῃ· καὶ ὅτω συντεθῇ, δικαίως συνδυάζῃ· ἡ ἄρα τοῦ Ἀ ὅρου τῷ Γ· ἐν ἡ γῆ Β· τῷ Δ· σύζυξις, τὸ συνδυασμῆ δίκαιον ὅστι· ἡ μέσον τὸ δίκαιον· τοῦτ' ἔστι τὸ παρὰ τὸ ἀνάλογον· τὸ γὰρ ἀνάλογον, μέσον· τὸ δὲ δίκαιον, ἀνάλογον· καλοῦσι δὲ τὴν τοιαύτην ἀναλογίαν γεωμετρικὴν οἱ μαθηματικοί· ἐν δὲ τῇ γεωμετρικῇ συμβαίνει τὸ ὅλον πρὸς τὸ ὅλον ὥσπερ ἑκάτερον πρὸς ἑκάτερον· ὅστι δ' ἀσυνεχὴς αὕτη ἡ ἀναλογία· ὁ γὰρ τίνες ἰσάριθμος ἐστὶ καὶ ὁ· τὸ μὲν δίκαιον τοῦτο τὸ ἀνάλογον· τὸ δὲ ἄδικον τοῦτο τὸ παρὰ τὸ ἀνάλογον· τὸ ἀνάλογον τίνες ἄρα τὸ μεῖζον· τὸ δὲ ἔλαττον· ὥσπερ ἐν τοῖς ἔρροθεν συμβαίνει· ὁ μὲν ἀδικῶν πλέον ἔχει· ὁ δὲ ἀδικούμενος ἔλαττον τοῦ ἀγαθοῦ· ἐπὶ δὲ τοῦ κακοῦ ἀνάπαλιν· ἐν ἀγαθοῦ γὰρ λόγῳ τίνεται τὸ ἔλαττον κακὸν πρὸς τὸ μεῖζον κακόν· ὅστι δὲ τὸ ἔλαττον κακὸν, μᾶλλον αἱρετὸν τοῦ μείζονος· τὸ δὲ αἱρετὸν ἀγαθόν· τὸ δὲ μᾶλλον, μεῖζον· τὸ μὲν οὖν εἶδος τὸ δικαίου, τοῦτ' ὅστι· τὸ δὲ λοιπὸν εἶδος τὸ διορθωτικόν· ὅπερ ἐν τοῖς συναλλάγμασι καὶ τοῖς ἑκουσίοις καὶ τοῖς ἀκουσίοις· τοῦτο δὲ τὸ δίκαιον ἄλλο εἶδος τοῦ πρότερον· τὸ μὲν γὰρ διανεμητικὸν τῶν κοινῶν, ἀεὶ κατὰ τὴν ἀναλογίαν ὅστι τὴν εἰρημένην· καὶ γὰρ ἂν τῶν χρημάτων κοινῶν, ἐὰν γένηται διανομὴ ἔσται κατὰ τὸν λόγον τὸν αὐτὸν ὅν ὥσπερ ἔχουσι πρὸς ἄλληλα τὰ εἰσενεχθέντα· καὶ τὸ ἄδικον τὸ ἀντικείμενον τῷ δικαίῳ τοῦτο



τοῦτο· τὸ δὲ ἀνάλογον ὅστι· τὸ δὲ ἐν τοῖς συναλλάγμασι δίκαιον, ὅστι μέσον τι· καὶ τὸ ἄδικον ἀνίσον· ἀλλ' οὐκ ἐν τῷ ἀναλογίαν εἶναι· ἀλλὰ κατὰ τὸ ἀριθμητικόν· ὅδεν γὰρ διαφέρει, εἰ ἐπῄδικήσε φαῦλον ἀντὶ σπουδαίου, ἢ φαῦλος ἐπῄδικήσε, ὅτε εἰς ἐμοὶ χρυσὸν ὠνήσε ἢ φαῦλος· ἀλλὰ πρὸς τὸ βλάβος τῷ διαφορὰν βλέπει μόνον ὁ νόμος· καὶ χρῆται ὡς ἴσοις· εἰ ὁ μὲν ἀδικεῖ, ὁ δ' ἀδικεῖται· καὶ εἰ ἔβλαψεν, ὁ δὲ βέβλαπται· ὥστε τὸ ἄδικον τοῦτο ἄνισον ὂν πειρᾶται ἰσάζειν ὁ δικαστής· καὶ γὰρ ὅταν ὁ μὲν πληγῇ, ὁ δὲ παίσῃ, καὶ κτείνῃ, ὁ δ' ἀποθάνῃ, διῄρηται τὸ πάθος καὶ ἡ πρᾶξις εἰς ἄνισα· ἀλλὰ πειρᾶται τῇ ζημίᾳ ἰσάζειν ἀφαιρῶν τοῦ κέρδους· λέγεται δὲ ὡς ἁπλῶς εἰπεῖν ὧν τοῖς τοιούτοις, καὶ ἐν μὴ πᾶσιν οἰκεῖον ὄνομα ᾖ, τὸ κέρδος· οἷον τῷ παίσαντι καὶ ἡ ζημία τῷ πεπονθότι· ἀλλ' ὅταν τε μεχθῇ τὸ πάθος καλεῖται τὸ μὲν, ζημία· τὸ δὲ, κέρδος· ὥστε τοῦ μὲν πλείονος ἐλάττονος, τὸ ἴσον μέσον· τὸ δὲ κέρδος καὶ ἡ ζημία τὸ μὲν, πλέον· τὸ δὲ ἔλαττον ἐναντίως· τὸ μὲν γὰρ ἀγαθοῦ πλέον· τὸ δὲ τοῦ κακοῦ, ἔλαττον κέρδος· τὸ δ' ἐναντίον ζημία· ὧν ἦν μέσον τὸ ἴσον· ὃ λέγομεν εἶναι δίκαιον· ὥστε τὸ ἐπανορθωτικὸν δίκαιον ἂν εἴη τὸ μέσον ζημίας καὶ κέρδους· διὸ καὶ ὅταν ἀμφισβητῶσιν ἐπὶ τὸν δικαστὴν καταφεύγουσι· τὸ δ' ἐπὶ τὸν δικαστὴν ἰέναι, τὸ ἰέναι ἐπὶ τὸ δίκαιον· ὁ γὰρ δικαστὴς βούλεται εἶναι οἷον δίκαιον ἔμψυχον· καὶ ζητοῦσι δικαστὴν μέσον· καὶ καλοῦσιν ἔνιοι μεσίτους· ὡς ἐὰν τοῦ μέσου τύχωσι τοῦ δικαίου τυγχάνοντες· μέσον ἄρα, εἴπερ καὶ ὁ δικαστής· ὁ δὲ δικαστὴς ἐπανισοῖ· ἧ ὡς περ γραμμῆς εἰς ἄνισα τμήματα μιᾶς· ᾧ τὸ μεῖζον τμῆμα φ' ἡμισείας ὑπερέχει, τοῦ τἀφαιρεθὲν τῷ ἐλάττονι τμήματι· ὅταν ᾖ διῃρεθῇ τὸ ὅλον δίχα· τότε φασὶν ἔχειν τὸ αὐτό· ὅταν λάβωσι τὸ ἴσον· τὸ δ' ἴσον μέσον ὅστι φ' μείζονος καὶ ἐλάττονος κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν· διὰ τοῦτο καὶ ὄνομάζεται δίκαιον ὅτι δίχα ὅστι· ὡς περ ἂν εἴπῃ τις εἶναι δίχαιον· ὁ δικαστής·

Judex est institu animata

ἐπεὶ μὲν γὰρ δύο ἴσων ἀφαιρεθῇ ἀπὸ θατέρου, πρὸς θατέρῳ δὲ προστεθῇ, δυσὶ τούτοις ὑπερέχει τὸ θάτερον· εἰ γὰρ ἀφῃρέθη μέν, μὴ προσετέθη δέ, ἑνὶ ἂν μόνον ὑπερεῖχε τοῦ μέσου· ἑνὶ καὶ τὸ μέσον ἀφ' οὗ ἀφῃρέθη ἑνί. τούτῳ ἄρα γνωριοῦμεν, τί ἀφελεῖν δεῖ ἀπὸ τοῦ πλέον ἔχοντος, καὶ τί προσθεῖναι τῷ ἔλαττον ἔχοντι· ᾧ μὲν γὰρ τὸ μέσον ὑπερέχει, τοῦτο προσθεῖναι τῷ ἔλαττον ἔχοντι, ᾧ δ' ὑπερέχεται, ἀφελεῖν ἀπὸ τοῦ μεγίστου. ἴσαι αἱ ἐφ' ὧν αα. ββ. γγ. ἀλλήλαις· ἀπὸ τῆς αα ἀφῃρήσθω τὸ αε, καὶ προσκείσθω τῇ γγ τὸ ἐφ' ὧν γδ· ὥστε ὅλη ἡ δγγ τῆς εα ὑπερέχει τῷ γδ καὶ γζ· τῆς ἄρα ββ τῷ γδ. ἔστι δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν· ἀνῃροῦντο γάρ, εἰ μὴ ἐποίει τὸ ποιοῦν καὶ ὅσον καὶ οἷον, καὶ τὸ πάσχον ἔπασχε τοῦτο καὶ τοσοῦτον καὶ τοιοῦτον. ἐλήλυθε δὲ τὰ ὀνόματα ταῦτα, ἥ τε ζημία καὶ τὸ κέρδος, ἐκ τῆς ἑκουσίου ἀλλαγῆς· τὸ μὲν γὰρ πλέον ἔχειν ἢ τὰ αὑτοῦ κερδαίνειν λέγεται, τὸ δ' ἔλαττον τῶν ἐξ ἀρχῆς ζημιοῦσθαι, οἷον ἐν τῷ ὠνεῖσθαι καὶ πωλεῖν καὶ ἐν ὅσοις ἄλλοις ἄδειαν δέδωκεν ὁ νόμος· ὅταν δὲ μήτε πλέον μήτε ἔλαττον, ἀλλ' αὐτὰ δι' αὑτῶν γένηται, τὰ αὑτῶν φασὶν ἔχειν, καὶ οὔτε ζημιοῦσθαι οὔτε κερδαίνειν. ὥστε κέρδους τινὸς καὶ ζημίας μέσον τὸ δίκαιόν ἐστι τῶν παρὰ τὸ ἑκούσιον, τὸ ἴσον ἔχειν καὶ πρότερον καὶ ὕστερον. δοκεῖ δέ τισι καὶ τὸ ἀντιπεπονθὸς εἶναι ἁπλῶς δίκαιον, ὥσπερ οἱ Πυθαγόρειοι ἔφασαν· ὡρίζοντο γὰρ ἁπλῶς τὸ δίκαιον τὸ ἀντιπεπονθός. τὸ δ' ἀντιπεπονθὸς οὐκ ἐφαρμόττει οὔτ' ἐπὶ τὸ νεμητικὸν δίκαιον, οὔτ' ἐπὶ τὸ διορθωτικόν· καίτοι βούλονται λέγειν τοῦτο καὶ τὸ Ῥαδαμάνθυος δίκαιον· εἴ κε πάθοι τά κ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο. πολλαχοῦ γὰρ διαφωνεῖ· οἷον εἰ ἀρχὴν ἔχων ἐπάταξεν, οὐ δεῖ ἀντιπληγῆναι· καὶ εἰ ἄρχοντα ἐπάταξεν, οὐ πληγῆναι μόνον δεῖ, ἀλλὰ καὶ κολασθῆναι. ἔτι τὸ ἑκούσιον καὶ τὸ ἀκούσιον διαφέρει πολύ. ἀλλ' ἐν μὲν ταῖς κοινωνίαις ταῖς ἀλλακτικαῖς συνέχει τὸ τοιοῦτον δίκαιον, τὸ ἀντιπεπονθὸς κατ' ἀναλογίαν, καὶ μὴ κατ' ἰσότητα· τῷ ἀντιποιεῖν γὰρ ἀνάλογον συμμένει ἡ πόλις.

τὸ

*Pythagorei*

*Rhadamathys*



τὸ γὰρ ἢ κακῶς ζητοῦσιν· εἰ δὲ μή, δουλεία δοκεῖ εἶναι, εἰ μὴ ἀντιποιήσει· ἢ τὸ εὖ· εἰ δὲ μή, καὶ μετάδοσις οὐ γίνεται· τῇ μεταδόσει δὲ συμμένουσι. διὸ καὶ Χαρίτων ἱερὸν ἐμποδὼν ποιοῦνται, ἵνα ἀνταπόδοσις ᾖ· τοῦτο γὰρ ἴδιον χάριτος· ἀνθυπηρετῆσαι γὰρ δεῖ τῷ χαρισαμένῳ, καὶ πάλιν αὐτὸν ἄρξαι χαριζόμενον. ποιεῖ δὲ τὴν ἀντίδοσιν τὴν κατ' ἀναλογίαν, ἡ κατὰ διάμετρον σύζευξις. οἷον οἰκοδόμος ἐφ' ᾧ α, σκυτοτόμος ἐφ' ᾧ β, οἰκία ἐφ' ᾧ γ, ὑπόδημα ἐφ' ᾧ δ. δεῖ οὖν λαμβάνειν τὸν οἰκοδόμον παρὰ τοῦ σκυτοτόμου τὸ ἐκείνου ἔργον, καὶ αὐτὸν ἐκείνῳ μεταδιδόναι τοῦ αὑτοῦ. ἐὰν οὖν πρῶτον ᾖ τὸ κατὰ τὴν ἀναλογίαν ἴσον, εἶτα τὸ ἀντιπεπονθὸς γένηται, ἔσται τὸ λεγόμενον. εἰ δὲ μή, οὐκ ἴσον, οὐδὲ συμμένει· οὐδὲν γὰρ κωλύει κρεῖττον εἶναι τὸ θατέρου ἔργον, ἢ τὸ θατέρου· δεῖ οὖν ταῦτα ἰσασθῆναι. ἔστι δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν· ἀνῃροῦντο γάρ, εἰ μὴ ἐποίει τὸ ποιοῦν καὶ ὅσον καὶ οἷον, καὶ τὸ πάσχον ἔπασχε τοῦτο καὶ τοσοῦτον. οὐ γὰρ ἐκ δύο ἰατρῶν γίνεται κοινωνία, ἀλλ' ἐξ ἰατροῦ καὶ γεωργοῦ, καὶ ὅλως ἑτέρων καὶ οὐκ ἴσων· ἀλλὰ τούτους δεῖ ἰσασθῆναι. διὸ πάντα συμβλητὰ δεῖ πως εἶναι, ὧν ἐστὶν ἀλλαγή. ἐφ' ὃ τὸ νόμισμα ἐλήλυθε, καὶ γίνεταί πως μέσον· πάντα γὰρ μετρεῖ, ὥστε καὶ τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν. μετρεῖ δηλονότι τὸ νόμισμα, πόσα ὑποδήματα ἴσον οἰκίας ἢ τροφῆς. δεῖ τοίνυν ὅπερ οἰκοδόμος πρὸς σκυτοτόμον, τοσαδὶ ὑποδήματα πρὸς οἰκίαν ἢ τροφήν. εἰ γὰρ μὴ τοῦτο, οὐκ ἔσται ἀλλαγή, οὐδὲ κοινωνία. τοῦτο δ', εἰ μὴ ἴσα εἴη πως, οὐκ ἔσται. δεῖ ἄρα ἑνί τινι πάντα μετρεῖσθαι, ὥσπερ ἐλέχθη πρότερον. τοῦτο δ' ἐστὶ τῇ μὲν ἀληθείᾳ ἡ χρεία, ἣ πάντα συνέχει· εἰ γὰρ μηθὲν δέοιντο, ἢ μὴ ὁμοίως, ἢ οὐκ ἔσται ἀλλαγή, ἢ οὐχ ἡ αὐτή. οἷον ὑπάλλαγμα τῆς χρείας τὸ νόμισμα γέγονε κατὰ συνθήκην· καὶ διὰ τοῦτο τοὔνομα ἔχει νόμισμα, ὅτι οὐ φύσει, ἀλλὰ νόμῳ ἐστί, καὶ ἐφ' ἡμῖν μεταβαλεῖν καὶ ποιῆσαι ἄχρηστον. ἔσται δὴ ἀντιπεπονθός, ὅταν ἰσασθῇ· ὥστε ὅπερ δὴ γεωργὸς πρὸς σκυτοτόμον,

*Pecuniae inventa ad aequanda commertia*

*νόμισμα unde*

τὸ ἔργον τὸ τοῦ σκυτοτόμου πρὸς τὸ τοῦ γεωργοῦ· εἰς σχῆμα δ' οὐ δεῖ ἄγειν ἀναλογίας ὅταν ἀλλάξωνται· εἰ δὲ μὴ ἀμφοτέρας ἕξει τὰς ὑπεροχὰς τὸ ἕτερον ἄκρον· ἀλλ' ὅταν ἔχωσι τὰ αὑτῶν· οὕτως ἴσοι καὶ κοινωνοί· ὅτι αὕτη ἡ ἰσότης δύναται ἐπ' αὐτῶν γίνεσθαι. γεωργὸς τὸ α. τροφὴ, γ. σκυτοτόμος, β. τὸ ἔργον αὐτοῦ τὸ ἰσασμένον δ. εἰ δ' οὕτω μὴ ἦν ἀντιπεπονθέναι οὐκ ἂν ἦν κοινωνία. ὅτι δ' ἡ χρεία συνέχει ὥσπερ ἕν τι ὄν, δηλοῖ ὅτι ὅταν μὴ ἐν χρείᾳ ὦσιν ἀλλήλων ἢ ἀμφότεροι ἢ ἅτερος οὐκ ἀλλάττονται. ὥσπερ ὅταν οὗ ἔχει αὐτὸς δέηταί τις, οἷον οἴνου διδόντες, σίτου ἐξαγωγῆς. δεῖ ἄρα τοῦτο ἰσασθῆναι. ὑπὲρ δὲ τῆς μελλούσης ἀλλαγῆς εἰ νῦν μηδὲν δεῖται ὅτι ἔσται, ὅτι ἂν δεηθῇ τὸ νόμισμα. οἷον ἐγγυητής ἐσθ' ἡμῖν· δεῖ γὰρ τοῦτο φέροντι εἶναι λαβεῖν· πάσχει μὲν οὖν καὶ τοῦτο τὸ αὐτό· οὐ γὰρ ἀεὶ ἴσον δύναται· ὅμως δὲ βούλεται μένειν μᾶλλον. διὸ δεῖ πάντα τετιμῆσθαι· οὕτω γὰρ ἔσται ἀλλαγή· εἰ δὲ τοῦτο κοινωνία. τὸ δὴ νόμισμα ὥσπερ μέτρον σύμμετρα ποιῆσαν ἰσάζει· οὔτε γὰρ ἂν μὴ οὔσης ἀλλαγῆς κοινωνία ἦν· οὔτ' ἀλλαγὴ ἰσότητος μὴ οὔσης· οὔτ' ἰσότης μὴ οὔσης συμμετρίας. τῇ μὲν οὖν ἀληθείᾳ, ἀδύνατον τὰ τοσοῦτον διαφέροντα σύμμετρα γενέσθαι· πρὸς δὲ τὴν χρείαν ἐνδέχεται ἱκανῶς. ἓν δή τι δεῖ εἶναι. τοῦτο δ' ἐξ ὑποθέσεως. διὸ νόμισμα καλεῖται. τοῦτο γὰρ πάντα ποιεῖ σύμμετρα. μετρεῖται γὰρ πάντα νομίσματι. οἰκία, α. μναῖ δέκα, β. κλίνη, γ. τὸ α, τοῦ β ἥμισυ· εἰ πέντε μνῶν ἀξία ἡ οἰκία. ἢ ἴσον. ἡ δὲ κλίνη δέκατον μέρος τὸ γ τοῦ β. δῆλον τοίνυν πόσαι κλῖναι ἴσον οἰκίᾳ, ὅτι πέντε. ὅτι δὲ οὕτως ἡ ἀλλαγὴ ἦν πρὶν τὸ νόμισμα εἶναι, δῆλον. διαφέρει γὰρ οὐδὲν ἢ κλῖναι πέντε ἀντὶ οἰκίας, ἢ ὅσου αἱ πέντε κλῖναι. τί μὲν οὖν τὸ ἄδικον καὶ τί τὸ δίκαιόν ἐστιν εἴρηται. διωρισμένων δὲ τούτων, δῆλον ὅτι ἡ δικαιοπραγία μέσον ἐστὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι. τὸ μὲν γὰρ πλέον ἔχειν· τὸ δ' ἔλαττόν ἐστιν. ἡ δὲ δικαιοσύνη μεσότης τίς ἐστιν. οὐ τὸν αὐτὸν δὲ τρόπον ταῖς ἄλλαις ἀρεταῖς. ἀλλ' ὅτι μέσου ἐστίν. ἡ δ' ἀ-

δικία



δικία τῶν ἄκρων. καὶ ἡ μὲν δικαιοσύνη ἐστὶ καθ' ἣν ὁ δίκαιος λέγεται πρακτικὸς κατὰ προαίρεσιν τοῦ δικαίου καὶ διανεμητικός. καὶ αὐτῷ πρὸς ἄλλον. καὶ ἑτέρῳ πρὸς ἕτερον. οὐχ οὕτως ὥστε τοῦ μὲν αἱρετοῦ τὸ πλέον αὑτῷ. ἔλαττον δὲ τῷ πλησίον. τοῦ βλαβεροῦ δ' ἀνάπαλιν. ἀλλὰ τοῦ ἴσου τοῦ κατὰ ἀναλογίαν. ὁμοίως δὲ καὶ ἄλλῳ πρὸς ἄλλον. ἡ δὲ ἀδικία τοὐναντίον τοῦ ἀδίκου. τοῦτο δ' ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις ἡ ἀδικία. ὅτι ὑπερβολῆς καὶ ἐλλείψεώς ἐστιν. ἐφ' ἑαυτοῦ μὲν ὑπερβολῆς τοῦ ἁπλῶς ὠφελίμου. ἐλλείψεως δὲ τοῦ βλαβεροῦ. ἐπὶ δὲ τῶν ἄλλων τὸ μὲν ὅλον ὁμοίως. τὸ δὲ παρὰ τὸ ἀνάλογον ὁποτέρως ἔτυχεν. τοῦ δὲ ἀδικήματος, τὸ μὲν ἔλαττόν ἐστι τὸ ἀδικεῖσθαι. τὸ δὲ μεῖζον τὸ ἀδικεῖν. περὶ μὲν οὖν δικαιοσύνης καὶ ἀδικίας, τίς ἑκατέρας ἐστὶν ἡ φύσις, εἰρήσθω τοῦτον τὸν τρόπον. ὁμοίως δὲ καὶ περὶ δικαίου καὶ ἀδίκου καθόλου. ἐπεὶ δ' ἔστιν ἀδικοῦντα μήπω ἄδικον εἶναι, ὁ ποῖα ἀδικήματα ἀδικῶν ἤδη ἄδικός ἐστιν ἑκάστην ἀδικίαν, οἷον κλέπτης ἢ μοιχὸς ἢ οὕτω μὲν οὐδὲν διοίσει· καὶ γὰρ ἂν συγγένοιτο γυναικί, εἰδὼς τὸ ᾗ, ἀλλ' οὐ διὰ προαιρέσεως ἀρχήν. ἀλλὰ διὰ πάθος ἀδικεῖ μὲν οὖν. ἄδικος δ' οὐκ ἔστι. οἷον οὐ κλέπτης, ἔκλεψε· οὐδὲ μοιχὸς ἐμοίχευσε δέ. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. πῶς μὲν οὖν ἔχει τὸ ἀντιπεπονθὸς πρὸς τὸ δίκαιον εἴρηται πρότερον. δεῖ δὲ μὴ λανθάνειν ὅτι τὸ ζητούμενόν ἐστιν, οὐ τὸ ἁπλῶς δίκαιον καὶ τὸ πολιτικὸν δίκαιον, ἀλλὰ τι δίκαιον καὶ καθ' ὁμοιότητα. ἔστι γὰρ δίκαιον, οἷς καὶ νόμος πρὸς αὐτούς. καὶ νόμος δ' ἐν οἷς ἀδικία. ἡ γὰρ δίκη κρίσις τοῦ δικαίου καὶ τοῦ ἀδίκου. ἐν οἷς δ' ἀδικία καὶ τὸ ἀδικεῖν ἐν τούτοις· ἐν οἷς δὲ τὸ ἀδικεῖν, οὐ πᾶσιν ἀδικία. τοῦτο δ' ἐστὶ τὸ πλέον αὑτῷ νέμειν τῶν ἁπλῶς ἀγαθῶν. ἔλαττον δὲ τῶν ἁπλῶς κακῶν. διὸ οὐκ ἐῶμεν ἄρχειν ἄνθρωπον, ἀλλὰ τὸν λόγον. ὅτι ἑαυτῷ τοῦτο ποιεῖ. καὶ γίνεται τύραννος. ἔστι δ' ὁ ἄρχων φύλαξ τοῦ δικαίου καὶ τοῦ ἴσου. ἐπεὶ δ' οὐδὲν αὐτῷ πλέον εἶναι δοκεῖ, εἴπερ δίκαιος. οὐ γὰρ νέμει πλέον τοῦ

ἁπλῶς ἀγαθοῦ αὐτῷ εἰ μὴ πρὸς αὐτὸν ἀνάλογόν ἐστι. διὸ ἑτέρῳ πονεῖ. καὶ διὰ τοῦτο ἀλλότριον εἶναί φασιν ἀγαθὸν τὴν δικαιοσύνην, καθάπερ ἐλέχθη καὶ πρότερον. μισθὸς ἄρα τις δοτέος. τοῦτο δὲ τιμὴ καὶ γέρας. ὅτῳ δὲ μὴ ἱκανὰ τὰ τοιαῦτα, οὗτοι γίνονται τύραννοι. τὸ δὲ δεσποτικὸν δίκαιον καὶ τὸ πατρικὸν οὐ ταὐτὸν τούτοις ἀλλ' ὅμοιον. οὐ γάρ ἐστιν ἀδικία πρὸς τὰ αὑτοῦ ἁπλῶς. τὸ δὲ κτῆμα καὶ τὸ τέκνον ἕως ἂν ᾖ πηλίκον καὶ χωρισθῇ, ὥσπερ μέρος αὐτοῦ. αὑτὸν δ' οὐδεὶς προαιρεῖται βλάπτειν. διὸ οὐκ ἔστιν ἀδικία πρὸς αὑτόν. οὐδ' ἄρα ἄδικον οὐδὲ δίκαιον τὸ πολιτικόν. κατὰ νόμον γὰρ ἦν, καὶ ἐν οἷς ἐπεφύκει εἶναι νόμος. οὗτοι δ' ἦσαν οἷς ὑπάρχει ἰσότης τοῦ ἄρχειν καὶ ἄρχεσθαι. διὸ μᾶλλον πρὸς γυναῖκά ἐστι δίκαιον ἢ πρὸς τέκνα καὶ κτήματα. τοῦτο γάρ ἐστι τὸ οἰκονομικὸν δίκαιον. ἕτερον δὲ καὶ τοῦτο τοῦ πολιτικοῦ. τοῦ δὲ πολιτικοῦ δικαίου, τὸ μὲν φυσικόν ἐστι, τὸ δὲ νομικόν. φυσικὸν μὲν τὸ πανταχοῦ τὴν αὐτὴν ἔχον δύναμιν, καὶ οὐ τῷ δοκεῖν ἢ μή. νομικὸν δὲ ὃ ἐξ ἀρχῆς μὲν οὐδὲν διαφέρει οὕτως ἢ ἄλλως. ὅταν δὲ θῶνται, διαφέρει. οἷον τὸ μνᾶς λυτροῦσθαι, ἢ τὸ αἶγα θύειν, ἀλλὰ μὴ δύο πρόβατα. ἔτι ὅσα ἐπὶ τῶν καθ' ἕκαστα νομοθετοῦσιν, οἷον τὸ θύειν Βρασίδᾳ, καὶ τὰ ψηφισματώδη. δοκεῖ δ' ἐνίοις εἶναι πάντα τοιαῦτα, ὅτι τὸ μὲν φύσει, ἀκίνητον, καὶ πανταχοῦ τὴν αὐτὴν ἔχει δύναμιν, ὥσπερ τὸ πῦρ καὶ ἐνθάδε καὶ ἐν Πέρσαις καίει. τὰ δὲ δίκαια κινούμενα ὁρῶσι. τοῦτο δ' οὐκ ἔστιν οὕτως ἔχον, ἀλλ' ἔστιν ὥς. καίτοι παρά γε τοῖς θεοῖς ἴσως οὐδαμῶς ἔχει. παρ' ἡμῖν δ' ἔστι μέν τι καὶ φύσει, κινητὸν μέντοι πᾶν. ἀλλ' ὅμως ἔστι τὸ μὲν φύσει, τὸ δ' οὐ φύσει. ποῖον δὲ φύσει τῶν ἐνδεχομένων καὶ ἄλλως ἔχειν, καὶ ποῖον οὔ, ἀλλὰ νομικὸν καὶ συνθήκῃ, εἴπερ ἄμφω κινητὰ ὁμοίως, δῆλον. καὶ ἐπὶ τῶν ἄλλων ὁ αὐτὸς ἁρμόσει διορισμός. φύσει γὰρ ἡ δεξιὰ κρείττων. καίτοι ἐνδέχεται πάντας ἀμφιδεξίους γενέσθαι. τὰ δὲ κατὰ συνθήκην καὶ τὸ συμφέρον τῶν δικαίων ὅμοιά ἐστι τοῖς μέτροις. οὐ γὰρ πανταχοῦ ἴσα τὰ οἰνηρὰ καὶ σιτηρὰ μέτρα. ἀλλ' οὗ-

[Margin notes:] ustitia alienum / e boni — gnis & hic & in / Persis exurit



ἀλλ' οὗ μὲν ὠνοῦνται, μείζω. οὗ δὲ πωλοῦσιν, ἐλάττω. ὁμοίως δὲ καὶ τὰ μὴ φυσικὰ ἀλλ' ἀνθρώπινα δίκαια, οὐ ταὐτὰ πανταχοῦ. ἐπεὶ οὐδὲ πολιτεῖαι. ἀλλὰ μία μόνον πανταχοῦ κατὰ φύσιν ἡ ἀρίστη. τῶν δὲ δικαίων καὶ νομίμων ἕκαστον ὡς τὰ καθόλου πρὸς τὰ καθ' ἕκαστα ἔχει. τὰ μὲν γὰρ πραττόμενα πολλά. ἐκείνων δ' ἕκαστον ἕν. καθόλου γάρ. διαφέρει δὲ τὸ ἀδίκημα καὶ τὸ ἄδικον, καὶ τὸ δικαίωμα καὶ τὸ δίκαιον. ἄδικον μὲν γάρ ἐστι τῇ φύσει ἢ τάξει. τοῦτο δὲ αὐτὸ ὅταν πραχθῇ, ἀδίκημα. πρὶν δὲ πραχθῆναι, οὔπω, ἀλλ' ἄδικον. ὁμοίως δὲ καὶ δικαίωμα. καλεῖται δὲ μᾶλλον δικαιοπράγημα τὸ κοινόν. δικαίωμα δὲ τὸ ἐπανόρθωμα τοῦ ἀδικήματος. καθ' ἕκαστον δὲ αὐτῶν, ποῖά τε εἴδη καὶ πόσα, καὶ περὶ ποῖα τυγχάνει ὄντα, ὕστερον ἐπισκεπτέον. ὄντων δὲ τῶν δικαίων καὶ τῶν ἀδίκων τῶν εἰρημένων, ἀδικεῖ μὲν καὶ δικαιοπραγεῖ, ὅταν ἑκών τις αὐτὰ πράττῃ. ὅταν δ' ἄκων, οὔτ' ἀδικεῖ οὔτε δικαιοπραγεῖ, ἀλλ' ἢ κατὰ συμβεβηκός. οἷς γὰρ συμβέβηκε δικαίοις εἶναι ἢ ἀδίκοις, πράττουσιν. ἀδίκημα δὲ καὶ δικαιοπράγημα ὥρισται τῷ ἑκουσίῳ καὶ ἀκουσίῳ. ὅταν γὰρ ἑκούσιον ᾖ, ψέγεται. ἅμα δὲ καὶ ἀδίκημα τότ' ἐστίν. ὥστ' ἔσται τι ἄδικον μέν, ἀδίκημα δ' οὔπω, ἂν μὴ τὸ ἑκούσιον προσῇ. λέγω δ' ἑκούσιον μέν, ὥσπερ καὶ πρότερον εἴρηται, ὃ ἄν τις τῶν ἐφ' αὑτῷ ὄντων εἰδὼς καὶ μὴ ἀγνοῶν πράττῃ, μήτε ὃν μήτε ᾧ μήτε οὗ. οἷον τίνα τύπτει, καὶ τίνι, καὶ τίνος ἕνεκα, μὴ κατὰ συμβεβηκός, μηδὲ βίᾳ. ὥσπερ εἴ τις λαβὼν τὴν χεῖρα αὐτοῦ τύπτοι ἕτερον, οὐχ ἑκών. οὐ γὰρ ἐπ' αὐτῷ. ἐνδέχεται δὲ τὸν τυπτόμενον πατέρα εἶναι. τὸν δ' ὅτι μὲν ἄνθρωπος ἢ τῶν παρόντων τις, γινώσκειν, ὅτι δὲ πατὴρ ἀγνοεῖν. ὁμοίως δὲ τὸ τοιοῦτον διωρίσθω καὶ ἐπὶ τοῦ οὗ ἕνεκα, καὶ περὶ τὴν πρᾶξιν ὅλην. τὸ δὴ ἀγνοούμενον, ἢ μὴ ἀγνοούμενον μέν, μὴ ἐπ' αὐτῷ δ' ὄν, ἢ βίᾳ, ἀκούσιον. πολλὰ γὰρ καὶ τῶν φύσει ὑπαρχόντων εἰδότες καὶ πάσχομεν καὶ πράττομεν, ὧν οὐθὲν οὔτε ἑκούσιον οὔτε ἀκούσιόν ἐστιν, οἷον τὸ γῆρας, ἢ ἀποθνήσκειν. ἔστι δ' ὁμοίως καὶ ἐπὶ τῶν

[Margin notes:] ἄδικον / ἀδίκημα — δικαίωμα / δικαιοπράγημα

ἀδίκων καὶ τ δικαίου καὶ τὸ κατὰ τὸ συμβεβηκός· καὶ γὰρ αὐ-
τὴν παρακαταθήκην ἀποδοῦναι τῶν ἄκων ἐστὶ διαφόρ᾽, οὐ οὐτιδὴ
καὶ πράττειν οὐτιδὴ καὶ πραγῆναι φατέον, ἀλλ᾽ ἢ κατὰ συμ-
βεβηκός· ὁμοίως δὲ καὶ τὸν ἀναγκαζόμενον καὶ ἄκοντα τὴν
παρακαταθήκην μὴ ἀποδόντα κατὰ τὸ συμβεβηκὸς φατέ-
ον ἀδικεῖν καὶ τὰ ἄδικα πράττειν. τῶν δὲ ἑκουσίων τὸ μὲν
προελόμενοι πράττομεν, τὸ δὲ οὐ προελόμενοι· προελόμενοι
μὲν ὅσα προβουλευσάμενοι· ἀπροαίρετα δὲ ὅσα ἀπροβού-
λευτα· τριῶν δὴ οὐσῶν βλαβῶν τῶν ἐν τοῖς κοινωνίαις, τὰ
μὲν μετ᾽ ἀγνοίας ἁμαρτήματά ἐστιν· ὅταν μήτε ὃν μήτε ᾧ μή-
τε οὗ ἕνεκα ἢ ὑπέλαβε πράξῃ· ἢ γὰρ οὐ βάλλειν ἢ οὐ γρύτω ἢ οὐ τοῦ
τον ἢ τοῦ γρυ ἕνεκα ὤήθη· ἄλλα συνέβη οὐχοῦ ἕνεκα ὤήθη· οἷον
οὐχ ἵνα ἐξώσῃ· ἀλλ᾽ ἵνα κεντήσῃ, ἢ οὐχὶ· ἢ οὐχῷ· ὅταν μὲν οὖν πα-
ραλόγως ἡ βλάβη γένηται, ἀτύχημα· ὅταν δὲ μὴ παραλόγως
ἄνευ δὲ κακίας, ἁμάρτημα· ἁμαρτάνει μὲν γὰρ ὅταν ἡ ἀρχὴ
ἐν αὐτῷ ᾖ τῆς αἰτίας· ἀτυχεῖ δὲ ὅταν ἐξωθεν· ὅταν ᾖ εἰδὼς μὲν
προβαλὼν δὲ οὐ, ἀδίκημα· οἷον ὅσα τις διὰ θυμὸν ἄλλα πάθη ὅσα
ἀναγκαῖα ἢ φυσικὰ συμβαίνει τοῖς ἀνθρώποις· ταῦτα γὰρ βλά-
πτοντες καὶ ἁμαρτάνοντες, ἀδικοῦσιμὲν καὶ ἀδικήματά ἐστιν
οὐμέντοι γε ἄδικοι διὰ ταῦτα οὐ δὲ πονηροὶ· οὐ γὰρ διὰ μοχθη-
ρίαν ἡ βλάβη· ὅταν δὲ ἐκ προαιρέσεως, ἄδικος καὶ μοχθηρός· διὸ
καλῶς τὰ ἐκ θυμοῦ οὐκ ἐκ προνοίας γίνεται· οὐ γὰρ ἀρχὴ ὀθυ
μῶ ποιῶν· ἀλλ᾽ ὀργίσας· ἔτι δὲ ὁ περὶ τοῦ γενέσθαι ἢ μὴ, ἀμφισ
βητεῖται, ἀλλὰ περὶ τοῦ δικαίου· ἐοικὸς φαινομένῃ γὰρ ἀδικία ἢ
ὀργὴ ἔστιν· ὁ γὰρ ὡσαύτως ἐν τοῖς συναλλάγμασι περὶ τοῦ γενέ-
σθαι ἀμφισβητοῦσιν· ὧν αὐάγκη τὸν ἕτερον εἶναι μοχθηρόν· οὐ
μὴ δι᾽ ἀλήθειαν αὐτὸ ὁμῶσιν· ἀλλ᾽ ὁμολογοῦν τες περὶ τοῦ πράγ-
ματος περὶ δὲ τοῦ πότερον δίκαιον, ἀμφισβητοῦσιν· ὁ δὲ βου-
λεύων ὐκ ἀγνοεῖ· ὥστε ὁ μὲν οἴεται ἀδικεῖσθαι, ὀργὴ ὀφειλὴ δὲ ἐκ
προαιρέσεως βλάπτει, ἀδικεῖ· καὶ κατὰ ταῦτα ἡ δικαιοσύνη τὰ ὁ

Quando agimus ex προαιρέσεως

ἀτύχημα
ἁμάρτημα
ἀδίκημα



τα ὁ ἀδίκων ἄδικος, ὅταν παρὰ τὸ ἀναλογὸν ἢ, ἢ ἴσον· ὁμοί-
ως δὲ καὶ τὸ δικαίως ὅταν προελόμενος δικαιοπραγῇ· δικαιο
πραγεῖ δὲ ἐὰν μόνον ἑκὼν πράξῃ τῶν δικαίων τὰ μὲν ἐξ
συγγνωμονικά· τὰ δὲ οὐ συγγνωμονικά· ὅταν μὲν γὰρ μὴ μό-
νον ἀγνοῶν τις ἀλλὰ καὶ δι᾽ ἄγνοιαν ἁμαρτάνῃ, συγγνωμονι
κά· ὅσα δὲ μὴ δι᾽ ἄγνοιαν ἀλλ᾽ ἀγνοῶν τις μὲν, διὰ πάθος δὲ μή
τε φυσικὸν μήτε ἀνθρώπινον, οὐ συγγνωμονικά· ἐὰν δὲ
τις εἰ ἱκανῶς δώσειεν περὶ τοῦ ἀδικεῖσθαι καὶ ἀδικεῖν· πρῶ-
τον μὲν εἰ ἔστιν ὡς περιὼσθαι εἰρηκε λέγων, τὸ πῶς μὴ ἀ Euripides
κατίκητον τὴν ἐμὴν βραχὺς λόγος· ἑκὼν ἑκοῦσαν ἢ θέλουσαν ἧχ
ἑκών· τοῦτο γάρ ἐστιν ὡς ἀληθῶς ἑκόντα ἀδικεῖσθαι ἢ οὔ· ἀλλ᾽ ἀ
κούσιον ἅπαν, ὥσπερ καὶ τὸ ἀδικεῖν ἅπαν ἑκούσιον, καὶ
ἆρα ἅπαν οὕτως ἢ ἐκείνως ὥσπερ καὶ τὸ ἀδικεῖν ἢ πᾶν ἑ-
κάστου, ἢ τὸ μὲν ἑκούσιον· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δικαιοῦσθαι· τὸ
γὰρ δικαιοπραγεῖν πᾶν ἑκούσιον· ὥστε τὸ λόγον ἀντικεῖσθαι ὁμοί
ως καθ᾽ ἑκάτερον, τό τε δικεῖσθαι καὶ δικαιοῦσθαι, ἢ ἑκάστου ἢ ἀ
κούσιον εἶναι· ἆτοπον δοκεῖ δόξειεν ἐπὶ τοῦ δικαιοῦσθαι ἐπαινε
κούσιον· ἐνίοις γὰρ δικαιοῦνται οὐχ ἑκόντες· ἐπεὶ ὁ γε δὲ διαπο
ρήσειεν ἄρ᾽ τις πότερον ὁ τὸ ἄδικον πεπονθὼς ἀδικεῖται ἁπλῶς
ἢ ὥσπερ καὶ ἐπὶ τοῦ πράττειν ἐστὶ καὶ ἐπὶ τοῦ πάσχειν δόξει· κατὰ
συμβεβηκὸς γὰρ ἐνδέχεται ἐπιμφοτέρων μετειλαμβάνειν
τῶν δικαίων· ὁμοίως δὲ δηλονότι καὶ ἐπὶ τῶν ἀδίκων· ὁ γὰρ αὖ
τὸ τό, τὰ δίκαια πράττειν τῷ ἀδικεῖν· οὐ δὲ τὸ ἄδικα πάσχειν τῷ
ἀδικεῖσθαι· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δικαιοπραγεῖν ἐστὶ δικαιοῦσθαι·
ἀδύνατον γὰρ ἀδικεῖσθαι μὴ ἀδικοῦντος· ἢ δικαιοπραγοῦντος
εἰσὶ δέ τινες οἳ τὸ ἀδικεῖν τὸ βλάπτειν ἑκόντα τινα· τὸ δ᾽ ἑκόν
τα εἶναι καὶ οὗ ἕνεκα καὶ ὡς· ὁ δὲ ἀκρατὴς ἑκὼν βλάπτει, αὐτὸς
αὑτὸν, ἑκών τε καὶ ἀδικοῖτο· καὶ ἐνδέχοιτο αὐτὸν αὑτὸν ἀδικεῖν
ἑκόντα δὲ ἃ τοῦτο ἐν τῶν ἀπορουμένων εἰ ἐνδέχοιτο αὐτὸν αὑτὸν
ἀδικεῖν, ἔτι ἑκὼν αὑτὸς δι᾽ ἀκρασίαν ὑπ᾽ ἄλλου βλάπτοιτο ἀδι

Ex inuoluntariis quædá digna ui mia quædá no digna.

κοῦντος. ὥσ τεῖη ἂν ἑκόντα ἀδικεῖσθαι· ἡ δὲ ὀρθὸς ὁρισμός·
ἀλλὰ προσθετέον τὸ βλάπτειν εἰδότα, ἃ ᾧ καὶ ὡς παρὰ τὴν ἐ-
κείνου βούλησιν· βλάπτεται μὲν οὖν τις ἑκὼν, καὶ τὰ δίκαια πά-
σχει· ἀδικεῖται δὲ οὐ δὲ εἷς ἑκὼν· οὐδεὶς γὰρ βούλεται ὁδὲ ἀκρα-
τὴς· ἀλλὰ παρὰ τὴν βούλησιν πράττει· οὔτε δὲ βόλεται ὁδὲις
ὁμὴ οἴεσ ἕ εἶναι πασυδαῖον, οὔθ' ὁ ἀκρατὴς, ἀλλ' οἴεται δεῖν πράτ-
τειν, πράττει· ὁ δὲ τὰ αὐτὰ διδοὺς ὥσπερ ὅμηρος φησὶ δοῦναι
χρυσὸν γλαύκου τῷ διομήδει χρύσεα χαλκείων ἑκατόμβοι ἐννεαβοί-
ων, ἑκ ἀδικεῖται· ἐπεὶ οὔτῳ γε ἦν τὸ δίδοναι· τὸ δ' ἀδικεῖσθαι ἑκ
ἐπαύτῳ τῷ ἀλλὰ τὸν ἀδικοῦντα δεῖ ὑπάρχειν· πλὴ μὲν δὴ ῥᾳ-
ἀδικεῖσθαι ὅτι οὐχ ἑκάστου, δῆλον· πόσα δ' ὧν προειλόμεθα δύ'
ἐστὶν εἰπεῖν, πότερον πότε ἀδικεῖ ὁ εἰμασθ' ἢ ὁ παρὰ τὴν ἀξί-
αν τὸ πλέον ἔχων, εἰ ὅστιν αὐτὸν ἀδικεῖν· εἰ γὰρ ἐνδέχεται τὸ
πρότερον λεχθὲν ἕ ὁ διανέμων ἀδικεῖ· ἀλλ' ὃ ἔχων τὸ πλέον
εἴτις πλέον αὐτοῦ ἐστέρηνέμει εἰδὼς, ἃ ἑκὼν αὐτὸς αὐτὸν ἀδι-
κεῖ· ὅπερ δοκοῦσιν οἱ μέτριοι ποιεῖν· ὁ γὰρ ἐπιεικὴς ἐλαττωτικός
ἐστιν· ἡ δ' ἧττον· ἡ δ' ἧττον πλεονεκτεῖ· ἑτέρου γὰρ ἀγαθοῦ εἰ ἔτυχε πλεονεκτεῖ
οἷον δόξης ἢ τοῦ ἁπλῶς καλοῦ· ἔστι λύεται κατὰ τὸν διορισμὸν
τοῦ ἀδικεῖν· οὐδὲν γὰρ παρὰ τὴν αὐτοῦ πάσχει βούλησιν· ὥστε τὸ δι-
καιεῖται διάγε τοῦτο· ἀλλ' εἴπερ βλάπτεται μόνον· φανερὸν
δὲ ὅτι καὶ ὁ διανέμων ἀδικεῖ· ἀλλ' ὃ ἔχων τὸ πλέον ἑκὼν· ὁ γὰρ
ᾧ τὸ ἄδικον ὑπάρχει, ἀδικεῖ· ἀλλ' ᾧ τὸ ἑκόν, τοῦτο πράττειν· τοῦτο
δ' ὅταν ἡ ἀρχὴ ἐν τῇ πράξει ᾖ ὅστιν ἐν τῷ διανέμοντι, ἀλλ' ὅταν ἐν
τῷ λαμβάνοντι· ἐπεὶ ἐπὶ πολλαχῶς τὸ πράττειν λέγεται καὶ ὅστιν ὥστ'
ἄψυχα τὴν, ἃ χεὶρ καὶ ὁ οἰκέτης, ἐὰν τάξας μὲν ὅταν ἀδικεῖ
πράττει δὲ τὰ ἄδικα· ἔτι εἰ μὲν ἀγνοῶν ἔκρινεν, οὐκ ἀδικεῖ κατὰ
νόμικὸν δίκαιον· ὃ δ' ἄδικος ἠκρίσθαι ὅστιν· ὅστι δ' ὡς ἄδικος· ἕτε-
ρον γὰρ τὸ νομικὸν δίκαιον καὶ τὸ πρώτου εἰδέναι ὡσκῶν ἔκρινεν
ἀδίκως, πλεονεκτεῖ ἃ αὐτὸς, ἡ χάριτος ἢ τιμωρίας· ὥσπερ δὴ
ἕ εἴτις μερίσαι τὸ τοῦ ἀδικήματος· ἃ ὁ ταῦτα κρίνας ἀδίκως

πλέον





πλέον ἔχει· καὶ ᾧ ἐὰν ἐκεῖνο κρίνας τὸν ἀγρὸν, οὐκ ἀγρὸν ἀλλ'
ἀργύριον ἔλαβεν· οἱ δ' αὐτοὶ ἐφ' ἑαυτοῖς οἷόν τε εἶναι τὸ ἀδι-
κεῖν· διὸ ἕ τὸ δίκαιον εἶναι ῥᾴδιον· τὸ δ' οὐκ ὄστ· συμβαίνει μὲν
γὰρ τῇ τοῦ γείτονος γυναικὶ καὶ πατέξαι τὸν πλησίον, καὶ δοῦ-
ναι τῇ χειρὶ τὸ ἀργύριον, ῥᾴδιον ἢ ἐπ' αὐτοῖς· ἀλλὰ τὸ ὡδὶ ἔχον-
τας ταυτὸ ποιεῖν, οὔτε ῥᾴδιον οὔτε ἐπ' αὐτοῖς· ὁμοίως δὲ καὶ
τὸ δίκαια εἰδέναι καὶ τὰ ἄδικα, οὐδὲν οἷόν τε σοφὸν εἶναι·
ὅτι περὶ ὧν οἱ ὁμοὶ λέγουσιν, οὐ χαλεπὸν συνιέναι· ἀλλ' οὐταῦτ'
ὄστι τὰ δίκαια ἀλλ' ἡ κατὰ συμβεβηκός· ἀλλὰ πῶς πραττόμε-
να καὶ πῶς μεμόμμενα δίκαια· τοῦτο δὲ πλέον ἔργον ἢ τὸ εἰ-
δέναι· ἐπεὶ καὶ ἐπὶ μέλι καὶ ὄπον καὶ ἐλέβορον καὶ καῦσιν
καὶ τομὴν εἰδέναι ῥᾴδιον· ἀλλὰ πῶς δεῖ εἶναι πρὸς ἕκαστον ἡ
τίνι καὶ πότε, τοσοῦτον ἔργον, ὅσον ἰατρὸν εἶναι· διὰ ταυτὸ δὲ
τοῦτο καὶ τοῦ δικαίου οἷόν τ' εἶναι οὐδὲν ἧττον τὸ ἀδικεῖν· ὅτι γὰρ
ἧττον ὁ δίκαιος ἀλλὰ καὶ μᾶλλον δυάμει· ἂν ἕκαστον πράξαι τού-
των· καὶ γὰρ συγγενέσθαι γυναικὶ καὶ πατάξαι· καὶ ὁ ἀνδρεῖος
τὴν ἀσπίδα ἀφεῖναι· καὶ στραφεὶς ἐφ' ὁποτερα οὖν δραμεῖν· ἀλ-
λὰ τὸ δειλαίνειν ἕ τὸ ἀδικεῖν οὐτὸ ταῦτα ποιεῖν ὄστι πλὴν κα
τὰ συμβεβηκός· ἀλλ' ὃ ὧ δ' ἕνεκα τοιαῦτα ποιεῖν, ὥσπερ ἡ
τὸ ἰατρεύειν ἃ τὸ ὑγιάζειν· τὸ τέμνειν· ἢ μὴ τέμνειν· ἢ φαρμακεύ-
ειν ἢ μὴ φαρμακεύειν ὄστι· ἀλλὰ τὸ ὡδί· ὄστι δὲ ἕ τὰ δίκαια
ἐν τοῖς τοιούτοις οἷς μέτεστι δηλῶ ἁπλῶς ἀπαθῶν· ἐχουσι δ' ὑπερβο-
λὴν ἐν τοιούτοις καὶ ἔλλειψιν· τοῖς μὲν γὰρ ὄστιν ὑπερβολὴ αὐ-
τῶν, οἷον ἴσως τοῖς θεοῖς· τοῖς δ' οὐδὲν μόριον ὠφέλιμον τοῖς ἐνι ἀ
τως κακοῖς· ἀλλὰ πάντα τοῦ λαβεῖν· τοῖς δὲ μέχρι του, τὰ μὲν θρώ
πινον ὄστι· ἐπεὶ δὲ ἐπιεικείας καὶ τοῦ ἐπιεικοῦς πῶς ἔχει, ἡ
μὲν ἐπιείκεια πρὸς δικαιοσύνην· καὶ δ' ἐπιεικὲς πρὸς τὸ δίκαιον
ἐχόμενόν ὄστιν εἰπεῖν· οὐτε γὰρ ὡς ταυτὸν ἁπλῶς, οὔτε ὡς ἕτε-
ρον τῷ γένει φαίνεται σκοπουμένοις· καὶ ὁτὲ μὲν τὸ ἐπιεικὲς
ἐπαινοῦμεν, καὶ αὐθ' ὅταν τοιοῦτον· ὥστε καὶ ἐπὶ τοῦ ἄλλα



Homer?
Commutatio armorú
Glauci cú Diomede

De Aegtate

ἐπαινοῦμεν μεταφέρομεν αὐτὸ τοῦ ἀγαθοῦ τὸ ἐπιεικέστερον ὅτι βέλτιον δηλοῦντες. ὅτε δὲ τῷ λόγῳ ἀκολουθοῦσι, φαίνεται ἄρα μὴ εἰ τὸ ἐπιεικὲς παρὰ τὸ δίκαιόν τι ὂν ἐπαινετόν. ὅστε γὰρ ἢ τὸ δίκαιον οὐ σπουδαῖον, ἢ τὸ ἐπιεικὲς οὐ δίκαιον εἰ ἄλλο· ἢ εἰ ἄμφω σπουδαῖά ἐστιν· ἢ μιᾷ οὖν ἀπορίᾳ ἀδύνατον συμβαίνειν ταῦτα φαμεν τὸ ἐπιεικές. ἔχει δὲ ἅπαν τὸν τρόπον ὀρθῶς. καὶ οὐδὲν ὑπεναντίον ἑαυτῷ ἐστί. τὸ γὰρ ἐπιεικὲς δικαίου τινὸς ὂν, βέλτιόν ἐστι τοῦ δικαίου. τοιγαροῦν ἄρα δίκαιόν τι τὸ ἐπιεικές, δίκαιον μέν ἐστιν· οὐκ ἀπὸ νόμου δὲ ἀλλ' ἐπανόρθωμα δικαίου νομίμου. αἴτιον δ' ὅτι ὁ μὲν νόμος καθόλου πᾶς. περὶ ἐνίων δὲ οὐκ οἷόν τε ὀρθῶς εἰπεῖν καθόλου. ἐν οἷς οὖν ἀνάγκη μὲν εἰπεῖν καὶ μὴ οἷόν τε δὲ ὀρθῶς, τὸ ὡς ἐπὶ τὸ πλεῖστον λαμβάνει ὁ νομοθέτης οὐκ ἀγνοῶν τὸ ἁμαρτανόμενον· καὶ ὅστιν οὐθὲν ἧττον ὀρθῶς· τὸ γὰρ ἁμάρτημα οὐκ ἐν τῷ νόμῳ, οὐδ' ἐν τῷ νομοθέτῃ ἐστίν· ἀλλ' ἐν τῇ φύσει τοῦ πράγματος ὅστιν· οὐθὲν γὰρ τοιαύτης τῶν πρακτῶν ὕλης ὅστε νὰ ᾖ ὅταν οὖν λέγῃ μὲν ὁ νόμος καθόλου, συμβῇ δ' ἐπὶ τούτοις παρὰ τὸ καθόλου τὸ ὀρθῶς ἔχειν παραλείπειν ὁ νομοθέτης· καὶ ἁμάρτημα ἁπλῶς εἰπὼν ἐπανορθοῦν τὸ ἐλλιφθὲν ὃ καὶ ὁ νομοθέτης αὐτὸς εἶπε παρὼν, ἂν εἰ ἤδη ἐνομοθέτησε· διὸ δίκαιον μέν ὅστι καὶ βέλτιστον πρὸς δικαίου τινός· οὐ τοῦ ἁπλῶς δὲ ἀλλὰ τοῦ διὰ τὸ ἁπλῶς ἁμάρτημα τοῦ ὅστιν αὐτὴ ἡ φύσις ἡ τοῦ ἐπιεικοῦς ἐπανόρθωμα νόμου ἢ ἐλλείπει διὰ τὸ καθόλου· τοῦτο γὰρ αἴτιον· καὶ τοῦ μὴ πάντα κατὰ νόμον εἶναι, ὅτι πολλῶν, ἀδύνατον θέσθαι νόμον· ὥστε ψηφίσματος δεῖ· τοῦ γὰρ ἀορίστου ἀόριστος καὶ ὁ κανών ὅστιν· ὥσπερ καὶ τῆς λεσβίας οἰκοδομίας ὁ μολίβδινος κανών· πρὸς γὰρ τὸ σῶμα τοῦ λίθου μετακινεῖται καὶ οὐ μένει ὁ κανών· καὶ τὸ ψήφισμα πρὸς τὸ πρᾶγμα ἐστί. τί μὲν οὖν ὅστι τὸ ἐπιεικὲς, καὶ τί τὸ δίκαιον ἢ τίνος δικαίου βέλτιον, δῆλον· φανερὸν δὲ κἀκ τούτου καὶ ὁ ἐπιεικὴς τίς ὅστιν· ὁ δὲ τὰ τοιαῦτα τῶν προαι

Aequú melius iusto

Aequú corrigit iustum legitimú

Lei indeterminata
indeterminata regula

Lesbiae ædificationis
plumbea regula





προαιρετικὸς ἢ μὴ ὁ ἀκρατὴς βούλεται· ἐστὶ γὰρ χεῖρον, ἀλλ' ἐλαττωτικός· ἢ πλείω ἔχων τὴν μόνον βοηθοῦν, ἐπιεικὴς ὅστιν ἡ ἕξις αὕτη ἐπιεικὴς δικαιοσύνη τίς ὅσα ἐστὶν ἑτέρα τις ἕξις βέλτιον ἢ ἐν δέχεται ἑαυτὴν ἀδικεῖν ἢ ὅ. φανερὸν ἐκ τῶν εἰρημένων· τὰ μὲν γὰρ ὅστι τῶν δικαίων τὰ κατὰ πᾶσαν ἀρετὴν ὑπὸ τοῦ νόμου τεταγμένα· οἷον οὐκ ἀκολουθήσει ἑαυτὴν ἀποκτιννύναι ὁ νόμος, ἃ δὲ μὴ κελεύσει ἀποστρατεύεσθαι ὅταν παρὰ τὸν νόμον βλάπτῃ) μὴ αὐτὰ βλάπτων, ἐκὼν ἀδικεῖ ἑκὼν ἢ ὁ εἰδὼς καὶ ᾧ καὶ ᾧ· ὁ δὲ ἀρρήτῃ ἑαυτὸν σφάττων ἑκὼν τοῦτο δρᾷ παρὰ τὸν ὀρθὸν λόγον, ὃν οὐκ ἐᾷ ὁ νόμος· ἀδικεῖ ἄρα· ἀλλὰ τίνα ἢ τὴν πόλιν αὐτὸν δεῖ· ἑκὼν ᾧ πάσχει· ἀδικεῖται δὴ οὐδεὶς ἑκών· διὸ καὶ ἡ πόλις ζημιοῖ καὶ ἔστιν ἀτιμία προσέστι τῷ ἑαυτὸν διαφθείραντι, ὡς τὴν πόλιν ἀδικοῦντι· ἔτι καθ' ἕνα ἄδικος ὁ μόνον ἀδικῶν ἢ μὴ ἁπλῶς φαῦλος, οὐκ ὄστιν ἀδικῆσαι ἑαυτόν· τοῦτο δ' ἄλλο ἐκεῖνο· ὅστι γάρ πως ὁ ἄδικος ὅτω πονηρὸς ὥσπερ ὅλῳ λόγῳ ὅλην ἔχων τὴν πονηρίαν· ὥστε τὸν ἑαυτὸν ἀδικίαν· ἅμα γὰρ αὐτῷ εἶναι ἀφαιρεῖσθαι καὶ προσκεῖσθαι τὸ αὐτό· τοῦτο δ' ἀδύνατον· ἀλλ' αἰεὶ ἐν πλείοσιν ἀνάγκη εἶναι τὸ δίκαιον ἢ τὸ ἄδικον· ἔτι ἑκούσιόν τι καὶ ἐκπροαιρέσεως καὶ πρότερον· ὁ γὰρ δίοτι ἔπαθε καιρὶ αὐτὸ αὐτί τι πρίων οὐδὲν κεῖ ἀδικεῖν· αὐτὸς δ' αὐτὸν τῶν τοῦ ἅμα καὶ πάσχει καὶ ποιεῖ· ἔτι εἶναι ἂν ἑκόντα ἀδικεῖσθαι· πρὸς δὲ τούτοις αὐτῶν κατὰ μέρος ἀδικημάτων ἀδικεῖ οὐδείς· μοιχᾷ δ' οὐδεὶς τὴν ἑαυτοῦ· οὐ δέ τοι χωρυχεῖον ἑαυτοῦ τοῖχον· οὐ δὲ κλέπτει τὰ ἑαυτοῦ· ὅλως δὲ λύεται τὸ αὐτὸν ἀδικεῖν καὶ κατὰ τὸν ὁρισμὸν τὸν περὶ τοῦ ἑκουσίως ἀδικεῖσθαι. φανερὸν δὲ καὶ ὅτι ἄμφω μοχθηρὰ φαῦλα καὶ τὸ ἀδικεῖσθαι ἢ τὸ ἀδικεῖν· τὸ μὲν γὰρ ἔλαττον, τὸ δὲ πλεῖον ἔχον ὅστι τοῦ μέσου· καὶ ὥσπερ ὑγιεινὸν μὲν ἐν ἰατρικῇ ἢ εὐεκτικὸν ἢ ἐν γυμναστικῇ, ἀλλ' ὅμως χεῖρον τὸ ἀδικεῖν· τὸ μὲν γὰρ ἀδικεῖν μετὰ κακίας καὶ ψεκτόν· καὶ κακίας ἢ τῆς τελείας ἁπλῶς ἢ ἐγγύς· τὸ δὲ ἀδικεῖσθαι ἄνευ κακίας· ἐκτὸς μετὰ ἀδικίας· τὸ δὲ ἀδικεῖσθαι ἄνευ κακίας, ἀδικίας·

An possit qs læd re se ipsum.

Quæ nó iubet lex intelligitu uetare

Qui se occidit qua utrú læda se in ciuitate

καθ' αὑτὸ μὲν οὖν τὸ ἀδικεῖσθαι ἧττον φαῦλον· κατὰ συμβε-
βηκὸς δὲ ἴσως κωλύσαι μεῖζον κακόν· ἀλλ' οὐθὲν μέλει τῇ τύχῃ·
ἀλλὰ πλουτεῖν λέγεται μᾶλλον ἴσον πρὸς παῖσμα καὶ ἔτι
μᾶλλον αὖ ποτε θάτερον κατὰ συμβεβηκός· εἴπερ ἴσαμεν τὸ
δικαίως πεσεῖν συμβαίνει ἢ ὑπὸ τῶν πολεμίων ληφθῆ-
ναι καὶ ἀποθανεῖν· κατὰ μεταφορὰν δὲ καὶ ὁμοιότητα ἔστιν ὡς
αὐτῷ πρὸς αὐτὸν δίκαιον· ἀλλὰ τῶν αὐτοῦ τισίν· οὐ πᾶν δὲ δί-
καιον ἀλλὰ τὸ δεσποτικὸν· ἢ τὸ οἰκονομικόν· ἐν τούτοις γὰρ τοῖς
λόγοις διέστηκε· τὸ λόγον ἔχον μέρος τῆς ψυχῆς πρὸς τὸ ἄλογον·
εἰς ἀδικίαν λέπουσι καὶ δικεῖν εἶναι ἀδικία πρὸς αὐτήν· ὅτι μὲν
οὖν ἔστι πόσαι τε παρὰ τὰς ἑαυτῶν ὁρίζεσθαι· ὥσπερ δὴ ἄρχοντι
καὶ ἀρχομένῳ εἶναι πρὸς ἄλληλα δίκαιόν τι καὶ τῇ τοιαύτῃ περὶ
μὲν οὖν δικαιοσύνης καὶ τῶν ἄλλων ἠθικῶν
ἀρετῶν, διωρίσθω τοσαῦ-
τον.

χ

ΤΕΛΟΣ ΤΟΥ Δ'.



# ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΩΝ ΕΥΔΗΜΙΩΝ, ΤΟ. Ε.

Περὶ δὲ τυγχάνομεν πρότερον εἰρηκότες ὅτι
δεῖ τὴν μέσον αἱρεῖσθαι μήτε ὑπερβολὴν μηδὲ
τὴν ἔλλειψιν, τὸ δὲ μέσον ἔστιν ὡς ὁ λόγος ὁ ὀρ-
θὸς λέγει, τοῦτο δὴ λέγω μέν· ἐν πάσαις γὰρ
ταῖς εἰρημέναις πράξεσι καθάπερ καὶ ἐπὶ
τῶν ἄλλων ἔστι τις σκοπὸς πρὸς ὃν ἀποβλέ-
πων ὁ τὸν λόγον ἔχων ἐπιτείνει καὶ ἀνίησι·
καὶ τις ἔστιν ὅρος τῶν μεσοτήτων ἃς μεταξὺ φαμὲν εἶναι τῆς
ὑπερβολῆς καὶ τῆς ἐλλείψεως, οὔσης κατὰ τὸν ὀρθὸν λόγον·
ἔστι δὲ τὸ μὲν εἰπεῖν οὕτως, ἀληθὲς μέν, οὐθὲν δὲ σαφές· καὶ
γὰρ ἐν ταῖς ἄλλαις ἐπιμελείαις, περὶ ὅσας ἔστιν ἐπιστήμη, τοῦ
τὲ ληθὲς εἰπεῖν· ὅτι οὔτε πλείω οὔτε ἐλάττω δεῖ πονεῖν· οὐ δίεσ-
θαι μεῖον· ἀλλὰ τὸ μέσον καὶ ὡς ὁ ὀρθὸς λόγος· τοῦτο δὲ μόνον ἔχων
οὔτις οὐδὲν ἂν εἰδείη πλέον· οἷον πῖαι δεῖ προσφέρεσθαι πρὸς τὸ
σῶμα εἴτις εἴποι· ὅτι ὡς ἡ ἰατρικὴ κελεύει καὶ ὡς ὁπαύτην
ἔχων· δὸ δεῖ καὶ περὶ τὰς τῆς ψυχῆς ἕξεις μὴ μόνον ἀληθῶς
εἶναι τοῦτο εἰρημένον, ἀλλὰ καὶ διωρισμένον τίσι τε ἔστιν ὁ ὀρ-
θὸς λόγος· καὶ τούτων τίς ὅρος πρὸς δὲ τὰς ψυχῆς ἀρετὰς διε-
λόμεθα, τὰς μὲν εἶναι τοῦ ἤθους ἐφαμεν τὰς δὲ, τοῦ διανοίας·
περὶ μὲν οὖν τῶν ἠθικῶν διελήλυθαμεν· περὶ δὲ τῶν λοιπῶν,
περὶ ψυχῆς πρῶτον εἰπόντες λέγωμεν οὕτω· πρότερον μὲν
οὖν ἐλέχθη δύο εἶναι τῆς ψυχῆς μέρη, τό τε λόγον ἔχον καὶ τὸ ἄλογον

De Vrt. intelle

Anime diuisio

νῶν δὲ περὶ τοῦ λόγου ἐχόντος τὸν αὐτὸν τρόπον διαιρετέον. ¶ ὑποκείσθω δύο τὸ λόγον ἔχοντα· ἓν μὲν ᾧ θεωροῦμεν τὸ τριῶν τε τῶν ὄντων· ὅσων αἱ ἀρχαὶ μὴ ἐνδέχονται ἄλλως ἔχειν· ἐν δὲ ᾧ τὰ ἐνδέχονται· πρὸς γὰρ τὸ τῷ γένει ἕτερα· καὶ τῶν τῆς ψυχῆς μορίων, ἕτερον τῷ γένει τὸ πρὸς ἑκάτερον ᾧ φυκός· εἰ περ καθ' ὁμοιότητα τινα καὶ οἰκειότητα ἡ γνῶσις ὑπάρχει αὐτοῖς· λεγέσθω δὲ τούτων, τὸ μὲν ἐπιστημονικόν· τὸ δὲ, λογιστικόν· τὸ γὰρ βουλεύεσθαι καὶ λογίζεσθαι ταὐτόν· οὐδεὶς δὲ βουλεύεται περὶ τῶν μὴ ἐνδεχομένων ἄλλως ἔχειν· ὥστε τὸ λογιστικόν ἐστι μέρος τοῦ λόγου ἔχοντος· ληπτέον οὖν ἑκατέρᾳ τούτων τίς ἡ βελτίστη ἕξις· αὕτη γὰρ ἀρετὴ ἑκατέρου ἡ δ' ἀρετὴ πρὸς τὸ ἔργον τὸ οἰκεῖον ἑκάστου ἐστίν· ἔστω δὴ ἡμῖν ψυχῇ τὰ κύρια πράξεως ἡ ἀλήθεια· αἰσθησις, νοῦς, ὄρεξις· τούτων δὴ αἴσθησις ὁ δὲ μιᾶς ἀρχὴ πράξεως· δῆλον δὲ, τῷ τὰ θηρία αἰσθήσεως μὲν ἔχειν· πράξεως δὲ μὴ κοινωνεῖν· ὅτι δ' ὅπερ ἐνίοις κατάφασις ἡ ἀπόφασις, τοῦτο ἐν ὀρέξει ἐνίοις ἕξις καὶ φυγή· ὡς τὸ πεπαιδευμένη ἡ ἠθικὴ ἀρετὴ ἕξις προαιρετική· ἡ δὲ προαίρεσις ἕξις βουλευτική· δεῖ ἄρα μὲν ταῦτα ὑπάρχειν ἀληθῆ εἶναι καὶ τὴν ὄρεξιν ὀρθήν· εἴπερ ἡ προαίρεσις σπουδαία· καὶ τὸ αὐτὸ τὸν μὲν φάναι τὴν δὲ, διώκειν· αὕτη μὲν οὖν ἡ διάνοια καὶ ἡ ἀλήθεια πρακτικὴ· τῆς δὲ θεωρητικῆς διανοίας καὶ μὴ πρακτικῆς μὴ δὲ ποιητικῆς, τὸ εὖ καὶ κακῶς, τὸ ἀληθεύειν ἐστὶ καὶ τὸ ψεύδεσθαι· τοῦτο γὰρ ἔστι πᾶσιν τοῖς διανοητικοῦ ἔργον· τοῦ δὲ πρακτικοῦ καὶ διανοητικοῦ ἀληθὴς, ὁμολόγως ἔχουσα τῇ ὀρέξει τῇ ὀρθῇ πράξεως μὲν ἂν ἀρχὴ προαίρεσις, ὅθεν ἡ κίνησις ἀλλ' οὐχοῦ ἕνεκα· προαιρέσεως δὲ ὄρεξις καὶ ὁ λόγος ὁ ἕνεκά τινος· διὸ οὔτε ἄνευ νοῦ καὶ διανοίας, οὔτε ἄνευ ἠθικῆς ἕξεως ἡ προαίρεσις, οὐ πράξις γάρ· καὶ τὸ ἐναντίον ἐν πράξει αὖθις διανοίας καὶ ἤθους οὐκ ἄνευ διανοία δὲ αὐτὴ οὐθὲν κινεῖ· ἀλλ' ἡ ἕνεκά του καὶ πρακτική· αὕτη γὰρ καὶ τῆς ποιητικῆς ἄρχει· οὐδεὶς γὰρ τοῦ ποιεῖ

αἴσθησις
νοῦς
ὄρεξις

πράξεως ἀρχή
προαίρεσις



ποιεῖ πᾶσ' ὁ ποιῶν· ἡ οὐ τέλος ἁπλῶς, ἀλλὰ πρός τινα καὶ τινος· τὸ ποιητὸν· ἀλλ' οὐ τὸ πρακτόν· ἡ γὰρ εὐπραξία τέλος· ἡ δ' ὄρεξις τοῦτο· διὸ ἡ ὀρεκτικὸς νοῦς ἢ προαίρεσις· ἢ ὄρεξις διάνοητική· ¶ ἢ τοιαύτη ἀρχὴ ἄνθρωπος· οὐκ ὄντος δὲ πράγματος οὐδὲν γίγνεται· οἷον οὐδεὶς προαιρεῖται ἅλιον ἅπορθηκέναι· οὐδὲ γὰρ βούλεται περὶ τοῦ γεγονότος· ἀλλὰ περὶ τοῦ ἐσομένου καὶ ἐνδεχομένου· τὸ δὲ γεγονὸς οὐκ ἐνδέχεται μὴ γενέσθαι· διὸ ὀρθῶς ἀγάθων μόνου γὰρ αὐτῷ καὶ θεοῖς στέρεσις ἐστὶ τοῦ γεγονέναι ποιῆσαι ἃ ἔπραξεν ἢ πεπραγμένα· ἀμφοτέρων δὴ τῶν νοητῶν μορίων ἀλήθεια τὸ ἔργον· καθ' ἃς ἂν μάλιστα ἕξεις ἀληθεύσει ἑκάτερος, οὗτοι αἱ ἀρεταὶ ἀμφοῖν· ἀρχὰς μὲν οὖν αὖθις περὶ αὐτῶν πάλιν λέγωμεν ἔστω δὴ οἷς ἀληθεύει ψυχή· τῶν καταφάναι ἢ ἀποφάναι τὰ μὲν ἀριθμὸν ταῦτα δ' ἔστι τέχνη, ἐπιστήμη· φρόνησις· σοφία· νοῦς· ὑπολήψει γὰρ καὶ δόξῃ ἐνδέχεται διαψεύδεσθαι, ἐπιστήμη μὲν οὖν τί ὄντ', ἐν τῷ θεν φανερὸν· εἰ δεῖ ἀκριβολογεῖσθαι ἃ μὴ ἀκολουθεῖν τοῖς ὁμοιότησι· ὧν τινῶν γὰρ ὑπολαμβάνομεν ὃ ἐπιστάμεθα μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν· τὰ δ' ἐνδεχόμενα ἄλλως ὅταν ἐξω τοῦ θεωρεῖν γένηται, λανθάνει εἰ ἔστιν ἢ μὴ· ἐξ ἀνάγκης ἄρα ἐστὶ τὸ ἐπιστητὸν· ἀΐδιον ἄρα· τὰ δ' ἐξ ἀνάγκης ὄντα ἁπλῶς πάντα ἀΐδια· ἀΐδια· ἀγένητα ¶ ἄφθαρτα· ἔτι δὲ κοινῇ πᾶσα ἐπιστήμη δοκεῖ εἶναι· ¶ τὸ ἐπιστητὸν μαθητὸν· ἐκ προγινωσκομένων ἡ πᾶσα διδασκαλία· τὰ μὲν ἐπαγωγῇ τὰ δὲ συλλογισμῷ· ἡ μὲν γὰρ ἐπαγωγὴ ἀρχὴ τοῦ καθόλου· ὁ δὲ συλλογισμὸς ἐκ τῶν καθόλου· εἰσὶν ἄρα ἀρχαὶ ἐξ ὧν συλλογισμός ὢν, οὐκ ἔστι συλλογισμός· ἐπαγωγὴ ἄρα· ἡμὲν ἄρα ἐπιστήμη ἕξις ἀποδεικτική· καὶ ὅσα ἄλλα πρὸς διορίζόμεθα ἐν τοῖς ἀναλυτικοῖς· ὅταν γὰρ πιστεύῃ ¶ γνώριμοι αὐτῶν ὦσιν αἱ ἀρχαὶ, ἐπιστήμη· εἰ δὲ μὴ μᾶλλον τοῦ συμπεράσματος, καὶ τὸ συμβεβηκὸς ἕξις τὴν ἐπιστήμην

No consultamus de preterito / de futuro

Agathó

Agathonis sermo tantú præsentem deú &c

Ars
Scientia
Prudétia
Sapietia
Intellectus

ὥσπερ καὶ ἐν τοῖς ἀναλυτικοῖς ἐλέγομεν

ἐν τοῖς ἀναλυτικοῖς

περὶ μὲν οὖν ἐπιστήμης ὡρίσθω τὸν τρόπον τοῦτον. τοῦ δ' ἐν-
δεχομένου ἄλλως ἔχειν ἔστι τι καὶ ποιητὸν καὶ πρακτόν, ἕτερον
δ' ἐστὶ ποίησις καὶ πρᾶξις. πιστεύομεν δὲ περὶ αὐτῶν καὶ τοῖς
Exoterici sermones ἐξωτερικοῖς λόγοις. ὥστε καὶ ἡ μετὰ λόγου ἕξις πρακτική,
ἕτερόν ἐστι τῆς μετὰ λόγου ποιητικῆς ἕξεως. διὸ οὐδὲ περιέχε-
ται ὑπ' ἀλλήλων, οὔτε γὰρ ἡ πρᾶξις ποίησις, οὔτε ἡ ποίησις πρᾶ-
ξίς ἐστιν. ἐπεὶ δὲ ἡ οἰκοδομικὴ τέχνη τίς ἐστι καὶ ὥσπερ ἕξις τις με-
τὰ λόγου ποιητική, καὶ οὐδεμία οὔτε τέχνη ἐστίν, ἥτις οὐ μετὰ
λόγου ποιητικὴ ἕξις ἐστίν. οὔτε τοιαύτη ἣ οὐ τέχνη, τὸ αὐτὸ ἂν
Ars εἴη τέχνη καὶ ἕξις μετὰ λόγου ἀληθοῦς ποιητική. ἔστι δὲ τέχνη
πᾶσα περὶ γένεσιν καὶ τὸ τεχνάζειν καὶ θεωρεῖν ὅπως ἂν γένη-
ταί τι τῶν ἐνδεχομένων καὶ εἶναι καὶ μὴ εἶναι καὶ ὧν ἡ ἀρχὴ ἐν τῷ
ποιοῦντι ἀλλὰ μὴ ἐν τῷ ποιουμένῳ. οὔτε γὰρ τῶν ἐξ ἀνάγκης
ὄντων ἢ γινομένων ἡ τέχνη ἐστίν, οὔτε τῶν κατὰ φύσιν. ἐν αὑτοῖς
γὰρ ἔχουσι ταῦτα ἀρχήν. ἐπεὶ δὲ ποίησις καὶ πρᾶξις ἕτερον,
τέχνη ποιήσεως ἀλλ' οὐ πράξεώς ἐστι
ἀνάγκη τὴν τέχνην ποιήσεως ἀλλ' οὐ πράξεως εἶναι. καὶ τρόπον
τινὰ περὶ ταὐτά ἐστιν ἡ τύχη καὶ ἡ τέχνη, καθάπερ καὶ Ἀγάθων φησί· τέχνη
Agathó
τύχην ἔστερξε καὶ τύχη τέχνην. ἡ μὲν οὖν τέχνη, ὥσπερ εἴρηται,
ἕξις τις μετὰ λόγου ἀληθοῦς ποιητική ἐστιν. ἡ δ' ἀτεχνία, τοὐν-
αντίον μετὰ λόγου ψευδοῦς ποιητικὴ ἕξις, περὶ τὸ ἐν-
Agathō
τέχνη τύχην ἔστερξε καὶ τύχη τέχνην
δεχόμενον ἄλλως ἔχειν. περὶ δὲ φρονήσεως οὕτως ἂν λάβοι-
μεν θεωρήσαντες, τίνας λέγομεν τοὺς φρονίμους. δοκεῖ δὴ φρονί-
μου εἶναι, τὸ δύνασθαι καλῶς βουλεύσασθαι περὶ τὰ αὑτῷ ἀγαθὰ
καὶ συμφέροντα οὐ κατὰ μέρος, οἷον ποῖα πρὸς ὑγίειαν ἢ ἰσχύν, ἀλλὰ
ποῖα πρὸς τὸ εὖ ζῆν. σημεῖον δ' ὅτι καὶ τοὺς περί τι φρονίμους λέ-
De Prudentia γομεν, ὅταν πρὸς τὸ τέλος τι σπουδαῖον εὖ λογίσωνται ὧν μὴ
ἐστι τέχνη. ὥστε καὶ ὅλως ἂν φρόνιμος εἴη ὁ βουλευτικός. βουλεύε-
ται δ' οὐδεὶς περὶ τῶν ἀδυνάτων ἄλλως ἔχειν, οὐδὲ τῶν μὴ ἐνδεχο-
μένων αὐτῷ πρᾶξαι. ὥστ' εἴπερ ἐπιστήμη μὲν μετὰ ἀποδείξεως

ὧν δ' αἱ



ὧν δ' αἱ ἀρχαὶ ἐνδέχονται ἄλλως ἔχειν, τούτων μὴ ἔστιν ἀ-
πόδειξις. πάντα γὰρ ἐνδέχεται καὶ ἄλλως ἔχειν. καὶ οὐκ ἔστι
βουλεύσασθαι περὶ τῶν ἐξ ἀνάγκης ὄντων, οὐκ ἂν εἴη ἡ φρόνη-
σις ἐπιστήμη οὐδὲ τέχνη. ἐπιστήμη μὲν, ὅτι ἐνδέχεται τὸ πρακ-
τὸν ἄλλως ἔχειν. τέχνη δὲ ὅτι ἄλλο τὸ γένος πράξεως καὶ ποιή-
σεως. λείπεται δ' ἄρα αὐτὴν εἶναι ἕξιν ἀληθῆ μετὰ λόγου πρα- Prudentiae diff
κτικὴν περὶ τὰ ἀνθρώπῳ ἀγαθὰ καὶ κακά. τῆς μὲν γὰρ ποιήσεως ἕ-
τερον τὸ τέλος. τῆς δὲ πράξεως οὐκ ἂν εἴη. ἔστι γὰρ αὐτὴ ἡ εὐπρα-
ξία τέλος. διὰ τοῦτο Περικλέα καὶ τοὺς τοιούτους οἰόμεθα- Pericles
φρονίμους εἶναι ὅτι τὰ αὑτοῖς ἀγαθὰ καὶ τὰ τοῖς ἀνθρώποις δύνανται
θεωρεῖν. εἶναι δὲ τοιούτους ἡγούμεθα τοὺς οἰκονομικοὺς καὶ πολι-
τικούς. ἔνθεν καὶ τὴν σωφροσύνην τούτῳ προσαγορεύομεν τῷ ὀ-
νόματι, ὡς σώζουσαν τὴν φρόνησιν. σώζει δὲ τὴν τοιαύτην ὑπόλη-
ψιν ὃ διαφθείρει, οὐδὲ διαστρέφει τὸ ἡδὺ καὶ λυπηρόν. οἷον ὅτι τὸ
τρίγωνον δύο ὀρθὰς ἴσας ἔχει ἢ οὐκ ἔχει, ἀλλὰ τὰς περὶ τὸ πρα-
κτόν. αἱ μὲν γὰρ ἀρχαὶ τῶν πρακτῶν τὸ οὗ ἕνεκα τὰ πρακτά. τῷ δὲ δι-
εφθαρμένῳ δι' ἡδονὴν ἢ λύπην, εὐθὺς οὐ φαίνεται ἀρχή. οὐδὲ δεῖ
τούτου ἕνεκα, οὐδὲ διὰ τοῦθ' αἱρεῖσθαι πάντα καὶ πράττειν. ἔστι
γὰρ ἡ κακία φθαρτικὴ ἀρχῆς. ὥστ' ἀνάγκη τὴν φρόνησιν ἕξιν εἶ-
ναι μετὰ λόγου ἀληθῆ περὶ τὰ ἀνθρώπινα ἀγαθὰ πρακτικήν.
ἀλλὰ μὴν τέχνης μέν ἐστιν ἀρετή, φρονήσεως δ' οὐκ ἔστι. καὶ ἐν μὲν In arte ex indu-
τέχνῃ ὁ ἑκὼν ἁμαρτάνων αἱρετώτερος. περὶ δὲ φρόνησιν ἧττον. stria errare mel
ὥσπερ καὶ περὶ τὰς ἀρετάς. δῆλον οὖν ὅτι ἀρετή τις ἐστὶ καὶ in prudētia pei
οὐ τέχνη. δυοῖν δὲ τοῖν μεροῖν τῆς ψυχῆς τῶν λόγον ἐχόντων,
θατέρου ἂν εἴη ἀρετή, τοῦ δοξαστικοῦ. ἥ τε γὰρ δόξα περὶ τὸ ἐνδεχό-
μενον ἄλλως ἔχειν ἐστὶ καὶ ἡ φρόνησις. ἀλλὰ μὴν οὐδ' ἕξις μετὰ
λόγου μόνον. σημεῖον δ' ὅτι λήθη μὲν τῆς τοιαύτης ἕξεώς ἐστι, φρο-
νήσεως δ' οὐκ ἔστιν. ἐπεὶ δ' ἡ ἐπιστήμη περὶ τῶν καθόλου ἐστὶν ὑπόληψις
καὶ τῶν ἐξ ἀνάγκης ὄντων, εἰσὶ δ' αἱ ἀρχαὶ τῶν ἀποδεικτῶν καὶ πάσης

ἐπιστήμης μετὰ λόγου ἡ ἐπιστήμη τῆς ἀρχῆς τοῦ ἐπιστητοῦ. οὔτ' ἂν ἐπιστήμη εἴη, οὔτε τέχνη, οὔτε φρόνησις. τὸ μὲν γὰρ ἐπιστητὸν ἀποδεικτόν. αἱ δὲ τυγχάνουσιν οὖσαι περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν. οὐδ' ἡ σοφία τούτων ἐστί. τοῦ γὰρ σοφοῦ περὶ ἐνίων ἔχειν ἀπόδειξίν ἐστιν. εἰ δὴ οἷς ἀληθεύομεν καὶ μὴ διαψευδόμεθα ποτὲ περὶ τὰ ἐνδεχόμενα ἢ καὶ μὴ ἐνδεχόμενα ἄλλως ἔχειν, ἐπιστήμη καὶ φρόνησίς ἐστι καὶ σοφία καὶ νοῦς. τούτων δὲ τῶν τριῶν μηδὲν ἐνδέχεται εἶναι. λέγω δὲ τρία, φρόνησιν ἐπιστήμην σοφίαν, λείπεται νοῦν εἶναι τῶν ἀρχῶν.

*intellectū principiorū ee*

Τὴν δὲ σοφίαν ἔν τε ταῖς τέχναις τοῖς ἀκριβεστάτοις τὰς τέχνας ἀποδίδομεν. οἷον Φειδίαν λιθουργὸν σοφὸν καὶ πολύκλειτον ἀνδριαντοποιὸν σοφόν. ἐνταῦθα μὲν οὖν οὐθὲν ἄλλο σημαίνοντες τὴν σοφίαν, ἢ ὅτι ἀρετὴ τέχνης ἐστίν. εἶναι δέ τινας σοφοὺς οἰόμεθα ὅλως, οὐ κατὰ μέρος οὐδ' ἄλλο τι σοφοὺς ὥσπερ ὅμηρός φησιν ἐν τῷ μαργίτῃ. τὸν δ' οὔτ' ἂρ σκαπτῆρα θεοὶ θέσαν, οὔτ' ἀροτῆρα. οὔτ' ἄλλως τι σοφόν. ὥστε δῆλον ὅτι ἀκριβεστάτη τῶν ἐπιστημῶν εἴη ἡ σοφία. δεῖ ἄρα τὸν σοφὸν μὴ μόνον τὰ ἐκ τῶν ἀρχῶν εἰδέναι. ἀλλὰ καὶ περὶ τὰς ἀρχὰς ἀληθεύειν. ὥστε εἴη ἂν ἡ σοφία νοῦς καὶ ἐπιστήμη, ὥσπερ κεφαλὴν ἔχουσα ἐπιστήμη τῶν τιμιωτάτων. ἄτοπον γὰρ εἴ τις τὴν πολιτικὴν ἐπιστήμην ἢ τὴν φρόνησιν σπουδαιοτάτην οἴεται εἶναι, εἰ μὴ τὸ ἄριστον τῶν ἐν τῷ κόσμῳ ἄνθρωπός ἐστιν. εἰ δὴ ὑγιεινὸν μὲν καὶ ἀγαθὸν ἕτερον ἀνθρώποις καὶ ἰχθύσι. τὸ δὲ λευκὸν καὶ εὐθὺ ταὐτὸ ἀεί, καὶ τὸ σοφὸν ταὐτὸ πάντες ἂν εἴποιεν. φρόνιμον δὲ ἕτερον. τὸ γὰρ περὶ αὐτὸ ἕκαστα εὖ θεωροῦν φήσειεν εἶναι φρόνιμον. καὶ τούτῳ ἐπιτρέψειεν αὐτά. διὸ καὶ τῶν θηρίων φρόνιμά φασιν εἶναι ἔνια, ὅσα περὶ τὸν αὐτῶν βίον ἔχοντα φαίνεται δύναμιν προνοητικήν. φανερὸν δὲ καὶ ὅτι οὐκ ἂν εἴη ἡ σοφία καὶ ἡ πολιτικὴ ἡ αὐτή. εἰ γὰρ τὴν περὶ τὰ ὠφέλιμα τὰ αὑτοῖς ἐροῦσι σοφίαν, πολλαὶ

ἔσονται

*Phidias*
*Polycletus*
*Homerus*
*Margites*
*Sapiētia est etiā intellectus & scientia*

*Homerus in margite*



*εἰδέναι*

ἔσονται σοφίαι. οὐ γὰρ μία περὶ τὸ ἁπάντων ἀγαθὸν τῶν ζώων. ἀλλ' ἑτέρα περὶ ἕκαστον. εἰ μὴ καὶ ἰατρικὴ μία περὶ πάντων τῶν ὄντων. εἰ δ' ὅτι βέλτιστον ἄνθρωπος τῶν ἄλλων ζώων, οὐδὲν διαφέρει. καὶ γὰρ ἀνθρώπου ἄλλα πολὺ θειότερα τὴν φύσιν. οἷον τὰ φανερώτατά γε ἐξ ὧν ὁ κόσμος συνέστηκεν. ἐκ δὲ τῶν εἰρημένων δῆλον, ὅτι ἡ σοφία ἐστὶ καὶ ἐπιστήμη καὶ νοῦς τῶν τιμιωτάτων τῇ φύσει. διὸ καὶ ἀναξαγόραν καὶ θαλῆν καὶ τοὺς τοιούτους σοφοὺς μὲν, φρονίμους δ' οὔ φασιν εἶναι, ὅταν ἴδωσιν ἀγνοοῦντας τὰ συμφέροντα ἑαυτοῖς. καὶ περιττὰ μὲν καὶ θαυμαστὰ καὶ χαλεπὰ καὶ δαιμόνια εἰδέναι αὐτούς φασιν. ἄχρηστα δ' ὅτι οὐ τὰ ἀνθρώπινα ἀγαθὰ ζητοῦσιν. ἡ δὲ φρόνησις περὶ τὰ ἀνθρώπινα καὶ περὶ ὧν βουλεύσασθαι. τοῦ γὰρ φρονίμου μάλιστα τοῦτο ἔργον εἶναί φαμεν, τὸ εὖ βουλεύεσθαι. βουλεύεται δ' οὐδεὶς περὶ τῶν ἀδυνάτων ἄλλως ἔχειν. οὐδ' ὅσων μὴ τέλος τι ἐστί. καὶ τοῦτο πρακτὸν ἀγαθόν. ὁ δ' ἁπλῶς εὔβουλος τοῦ ἀρίστου ἀνθρώπῳ τῶν πρακτῶν στοχαστικὸς κατὰ τὸν λογισμόν. οὐδ' ἔστιν ἡ φρόνησις τῶν καθόλου μόνον, ἀλλὰ δεῖ καὶ τὰ καθ' ἕκαστα γνωρίζειν. πρακτικὴ γάρ. ἡ δὲ πρᾶξις περὶ τὰ καθ' ἕκαστα. διὸ καὶ ἔνιοι οὐκ εἰδότες ἑτέρων εἰδότων πρακτικώτεροι. καὶ ἐν τοῖς ἄλλοις οἱ ἔμπειροι. εἰ γὰρ εἰδείη ὅτι τὰ κοῦφα εὔπεπτα κρέα καὶ ὑγιεινά, ποῖα δὲ κοῦφα ἀγνοεῖ, οὐ ποιήσει ὑγίειαν. ἀλλ' ὁ εἰδὼς ὅτι τὰ ὀρνίθεια κοῦφα καὶ ὑγιεινὰ ποιήσει μᾶλλον. ἡ δὲ φρόνησις πρακτική. ὥστε δεῖ ἄμφω ἔχειν ἢ ταύτην μᾶλλον. εἴη δ' ἂν τις καὶ ἐνταῦθα ἀρχιτεκτονική. ἔστι δ' ἡ πολιτικὴ καὶ ἡ φρόνησις ἡ αὐτὴ μὲν ἕξις. τὸ μέντοι εἶναι οὐ ταὐτὸν αὐταῖς. τῆς δὲ περὶ πόλιν, ἡ μὲν ὡς ἀρχιτεκτονικὴ φρόνησις νομοθετική. ἡ δὲ ὡς τὰ καθ' ἕκαστα τὸ κοινὸν ἔχει ὄνομα πολιτική. αὕτη δὲ πρακτικὴ καὶ βουλευτική. τὸ γὰρ ψήφισμα πρακτὸν, ὡς τὸ ἔσχατον. διὸ πολιτεύεσθαι τούτους μόνον λέγουσιν.

*Multa in natura ee homine diuiniora*
*Anaxagoras*
*Thales*
*Prudētia nō ee tantum generaliū sed & singulorum*

*Sapientiā diuinam rē ee inutilē tamē qa non quærit bonū humanum.*

μόνοι γὰρ πράττουσιν οὗτοι ὥσπερ οἱ χειροτέχναι. δοκεῖ δὲ καὶ φρόνησις μάλιστ' εἶναι ἡ περὶ αὐτὸν καὶ ἕνα. καὶ ἔχει αὕτη τὸ κοινὸν ὄνομα φρόνησις. ἐκείνων δὲ ἡ μὲν οἰκονομία. ἡ δὲ νομοθεσία. ἡ δὲ πολιτική. καὶ ταύτης ἡ μὲν βουλευτική, ἡ δὲ δικαστική. εἶδος μὲν οὖν τι ἂν εἴη γνώσεως τὸ αὑτῷ εἰδέναι. ἀλλ' ἔχει διαφορὰν πολλήν. καὶ δοκεῖ ὁ τὰ περὶ αὑτὸν εἰδὼς καὶ διατρίβων φρόνιμος εἶναι. οἱ δὲ πολιτικοὶ πολυπράγμονες. διὸ εὐριπίδης πῶς δ' ἂν φρονοίην ᾧ παρῆν ἀπραγμόνως, ἐν τοῖσι πολλοῖς ἠριθμημένῳ στρατοῦ ἴσον μετασχεῖν. τοὺς γὰρ περισσοὺς καί τι πράττοντας πλέον. ζητοῦσι γὰρ τὸ αὑτοῖς ἀγαθὸν. καὶ οἴονται τοῦτο δεῖν πράττειν. ἐκ ταύτης οὖν τῆς δόξης ἐλήλυθε, τὸ τούτους εἶναι φρονίμους. καίτοι ἴσως οὐκ ἔστι τὸ αὑτοῦ εὖ ἄνευ οἰκονομίας οὐδ' ἄνευ πολιτείας. ἔτι δὲ τὰ αὑτοῦ πῶς δεῖ διοικεῖν ἄδηλον καὶ σκεπτέον. σημεῖον δ' ἐστὶ τοῦ εἰρημένου. καὶ διὰ τί γεωμετρικοὶ μὲν νέοι καὶ μαθηματικοὶ γίνονται καὶ σοφοὶ τὰ τοιαῦτα. φρόνιμος δ' οὐ δοκεῖ γίνεσθαι. αἴτιον δ' ὅτι καὶ τῶν καθ' ἕκαστά ἐστιν ἡ φρόνησις. ἃ γίνεται γνώριμα ἐξ ἐμπειρίας. νέος δ' ἔμπειρος οὐκ ἔστι. πλῆθος γὰρ χρόνου ποιεῖ τὴν ἐμπειρίαν. ἐπεὶ καὶ τοῦτ' ἄν τις σκέψαιτο. διὰ τί μαθηματικὸς μὲν παῖς γένοιτ' ἄν. σοφὸς δ' ἢ φυσικὸς οὔ. ἢ ὅτι τὰ μὲν δι' ἀφαιρέσεώς ἐστι. τῶν δ' αἱ ἀρχαὶ ἐξ ἐμπειρίας. καὶ τὰ μὲν οὐ πιστεύουσιν οἱ νέοι. ἀλλὰ λέγουσι. τῶν δὲ, τὸ τί ἐστιν ἄδηλον. ἔτι ἡ ἁμαρτία ἢ περὶ τὸ καθόλου ἐν τῷ βουλεύεσθαι, ἢ περὶ τὸ καθ' ἕκαστον. ἢ γὰρ ὅτι πάντα τὰ βαρύσταθμα φαῦλα, ἢ ὅτι τοδὶ τὸ βαρύσταθμον. ὅτι δ' ἡ φρόνησις οὐκ ἐπιστήμη, φανερόν. τοῦ γὰρ ἐσχάτου ἐστὶν ὥσπερ εἴρηται. τὸ γὰρ πρακτὸν τοιοῦτον. ἀντίκειται μὲν δὴ τῷ νῷ. ὁ μὲν γὰρ νοῦς τῶν ὅρων ὧν οὐκ ἔστι λόγος. ἡ δὲ τοῦ ἐσχάτου οὐκ ἔστιν ἐπιστήμη ἀλλ' αἴσθησις οὐχ ἡ τῶν ἰδίων. ἀλλ' οἵα, ᾗ αἰσθανόμεθα ὅτι τὸ ἐν τοῖς μαθηματικοῖς ἔσχατον τρίγωνον. στήσεται γὰρ κἀκεῖ.

ἀλλ' αὕτη

Politicos curiosos & so[l]ertes ee

Euripides

[L]ongitudo temporis [gi]gnit experientiam



ἀλλ' αὕτη μᾶλλον αἴσθησις ἢ φρόνησις. ἐκείνης δ' ἄλλο εἶδος. τὸ ζητεῖν δὲ καὶ τὸ βουλεύεσθαι διαφέρει. τὸ γὰρ βουλεύεσθαι ζητεῖν τι ἐστί. δεῖ δὲ λαβεῖν καὶ περὶ εὐβουλίας τί ἐστι. πότερον ἐπιστήμη τις ἢ δόξα ἢ εὐστοχία ἢ ἄλλο τι γένος. ἐπιστήμη μὲν δὴ οὐκ ἔστιν. οὐ γὰρ ζητοῦσι περὶ ὧν ἴσασιν. ἡ δ' εὐβουλία βουλή τις. ὁ δὲ βουλευόμενος ζητεῖ καὶ λογίζεται. ἀλλὰ μὴν οὐδ' εὐστοχία. ἄνευ τε γὰρ λόγου καὶ ταχύ τι ἡ εὐστοχία. βουλεύονται δὲ πολὺν χρόνον. καὶ φασὶ πράττειν μὲν δεῖν ταχὺ τὰ βουλευθέντα, βουλεύεσθαι δὲ βραδέως. ἔτι ἡ ἀγχίνοια. οὐδὲ δὴ δόξα ἡ εὐβουλία οὐδεμία. ἀλλ' ἐπεὶ ὁ μὲν κακῶς βουλευόμενος ἁμαρτάνει, ὁ δ' εὖ ὀρθῶς βουλεύεται, δῆλον ὅτι ὀρθότης τις ἡ εὐβουλία ἐστίν. οὔτ' ἐπιστήμης δὲ οὔτε δόξης. ἐπιστήμης μὲν γὰρ οὐκ ἔστιν ὀρθότης οὐδὲ γὰρ ἁμαρτία. δόξης δ' ὀρθότης ἀλήθεια. ἅμα δὲ καὶ ὥρισται ἤδη πᾶν οὗ δόξα ἐστίν. ἀλλὰ μὴν οὐδ' ἄνευ λόγου ἡ εὐβουλία. διανοίας ἄρα λείπεται. αὕτη γὰρ οὔπω φάσις. καὶ γὰρ ἡ δόξα οὐ ζήτησις. ἀλλὰ φάσις τις ἤδη. ὁ δὲ βουλευόμενος, ἐάν τε εὖ καὶ κακῶς βουλεύηται, ζητεῖ τι καὶ λογίζεται. ἀλλ' ὀρθότης τίς ἐστιν ἡ εὐβουλία βουλῆς. διὸ ἡ βουλὴ ζητητέα πρῶτον τί καὶ περὶ τί. ἐπεὶ δ' ἡ ὀρθότης πλεοναχῶς, δῆλον ὅτι οὐ πᾶσα. ὁ γὰρ ἀκρατὴς καὶ ὁ φαῦλος, ὃ προτίθεται ἰδεῖν ἐκ τοῦ λογισμοῦ τεύξεται. ὥστε ὀρθῶς ἔσται βεβουλευμένος. κακὸν δὲ μέγα εἰληφώς. δοκεῖ δ' ἀγαθόν τι τὸ εὖ βεβουλεῦσθαι. ἡ γὰρ τοιαύτη ὀρθότης βουλῆς εὐβουλία ἡ ἀγαθοῦ τευκτική. ἀλλ' ἔστι καὶ τούτου ψευδεῖ συλλογισμῷ τυχεῖν. καὶ ὃ μὲν δεῖ ποιῆσαι τυχεῖν. δι' οὗ δ' οὔ. ἀλλὰ ψευδῆ τὸν μέσον ὅρον εἶναι. ὥστ' οὐδ' αὕτη πω εὐβουλία. καθ' ἣν οὗ δεῖ μὲν, τυγχάνει. οὐ μέντοι δι' οὗ ἔδει. ἔτι ἔστι πολὺν χρόνον βουλευόμενον τυχεῖν. τὸν δὲ ταχύ. οὐκοῦν οὐδ' ἐκείνη πω εὐβουλία. ἀλλ' ὀρθότης ἡ κατὰ τὸ ὠφέλιμον. καὶ οὗ δεῖ καὶ ὡς καὶ ὅτε. ἔτι ἔστι καὶ ἁπλῶς ἡ πρὸς τὸ τέλος τὸ ἁπλῶς κατορθοῦσα. ἡ τὶς δὲ ἡ πρός τι τέλος. εἰ δὴ τῶν φρονίμων τὸ εὖ βεβου-

ΘΘΘΘ

εὐβουλία

εὐβουλί(α) diff°

λῶς, ἡ εὐβουλία εἴη ἂν ὀρθότης κατὰ τὸ συμφέρον πρὸς τὸ τέλος· οὗ ἡ φρόνησις ἀληθὴς ὑπόληψίς ἐστι. ἔστι δὲ καὶ ἡ σύνεσις

σύνεσις

συνετός

ἀσύνετος

καὶ ἡ ἀσυνεσία καθ' ἃς λέγομεν συνετοὺς καὶ ἀσυνέτους, οὔτε ὅλως τὸ αὐτὸ τῇ ἐπιστήμῃ ἢ δόξῃ, πάντες γὰρ ἂν ἦσαν συνετοί, οὔτε τίς μία τῶν κατὰ μέρος ἐπιστημῶν· οἷον ἡ ἰατρικὴ περὶ ὑγιεινῶν· ἡ γεωμετρία περὶ μεγέθη· οὔτε γὰρ περὶ τῶν ἀεὶ ὄντων καὶ ἀκινήτων ἡ σύνεσίς ἐστιν, οὔτε περὶ τῶν γινομένων ὁτουοῦν· ἀλλὰ περὶ ὧν ἀπορήσειεν ἄν τις καὶ βουλεύσαιτο· διὸ περὶ τὰ αὐτὰ μὲν τῇ φρονήσει ἐστίν, οὐκ ἔστι δὲ τὸ αὐτὸ σύνεσις καὶ φρόνησις. ἡ μὲν γὰρ φρόνησις ἐπιτακτική ἐστι· τί γὰρ δεῖ πράττειν ἢ μή, τὸ τέλος αὐτῆς ἐστιν· ἡ δὲ σύνεσις κριτικὴ μόνον· ταὐτὸ ξύνεσις καὶ εὐξυνεσία· καὶ γὰρ οἱ ξυνετοὶ καὶ εὐξύνετοι· ἔστι δ' οὔτε τὸ ἔχειν τὴν φρόνησιν οὔτε τὸ λαμβάνειν ἡ ξύνεσις· ἀλλ' ὥσπερ τὸ μανθάνειν λέγεται ξυνιέναι, ὅταν χρῆται τῇ ἐπιστήμῃ, οὕτως ἐν τῷ χρῆσθαι τῇ δόξῃ ἐπὶ τὸ κρίνειν περὶ τούτων, περὶ ὧν ἡ φρόνησίς ἐστιν ἄλλου λέγοντος, καὶ κρίνειν καλῶς· τὸ γὰρ εὖ τῷ καλῶς, τὸ αὐτό· καὶ ἐντεῦθεν ἐλήλυθε τοὔνομα ἡ σύνεσις· καθ' ἣν εὐσύνετοι ἐκ τῆς ἐν τῷ μανθάνειν· λέγομεν γὰρ τὸ μανθάνειν συνιέναι πολλάκις. οἱ δὲ καλούμενοι εὐγνώμονες οὓς

εὐγνώμονες

ἔχειν φαμὲν γνώμην, ἡ τοῦ ἐπιεικοῦς ἐστι κρίσις ὀρθή· σημεῖον δέ· τὸν γὰρ ἐπιεικῆ μάλιστά φαμεν εἶναι συγγνωμονικόν, καὶ ἐπιεικὲς τὸ ἔχειν περὶ ἔνια συγγνώμην· ἡ δὲ συγγνώμη γνώμη ἐστὶ τοῦ ἐπιεικοῦς ὀρθή· ὀρθὴ δ' ἡ τοῦ ἀληθοῦς. εἰσὶ δὲ πᾶσαι αἱ ἕξεις εὐλόγως εἰς ταὐτὸ τείνουσαι· λέγομεν γὰρ γνώμην καὶ σύνεσιν καὶ φρόνησιν καὶ νοῦν ἐπὶ τοὺς αὐτοὺς ἐπιφέροντες γνώμην ἔχειν καὶ νοῦν ἤδη, καὶ φρονίμους καὶ συνετούς· πᾶσαι γὰρ αἱ δυνάμεις αὗται τῶν ἐσχάτων εἰσὶ καὶ τῶν καθ' ἕκαστα· καὶ ἐν μὲν τῷ κριτικὸς εἶναι περὶ ὧν ὁ φρόνιμος, συνετὸς καὶ εὐγνώμων· τὰ γὰρ ἐπιεικῆ κοινὰ τῶν ἀγαθῶν ἁπάντων ἐστὶν ἐν τῷ πρὸς ἄλλον· ἔστι δὲ τῶν καθ' ἕκαστα καὶ τῶν ἐσχάτων ἅπαντα τὰ πρακτά· καὶ γὰρ

τὸν



τὸν φρόνιμον δεῖ γινώσκειν αὐτά· καὶ ἡ σύνεσις καὶ ἡ γνώμη περὶ τὰ πρακτά· ταῦτα δ' ἔσχατα· καὶ ὁ νοῦς τῶν ἐσχάτων ἐπ' ἀμφότερα· καὶ γὰρ τῶν πρώτων ὅρων καὶ τῶν ἐσχάτων, νοῦς ἐστι καὶ οὐ λόγος· καὶ ὁ μὲν κατὰ τὰς ἀποδείξεις τῶν ἀκινήτων ὅρων καὶ τῶν πρώτων· ὁ δ' ἐν ταῖς πρακτικαῖς τοῦ ἐσχάτου καὶ ἐνδεχομένου καὶ τῆς ἑτέρας προτάσεως· ἀρχαὶ γὰρ τοῦ οὗ ἕνεκα αὗται· ἐκ τῶν καθ' ἕκαστα γὰρ τὰ καθόλου· τούτων οὖν δεῖ ἔχειν αἴσθησιν· αὕτη δ' ἐστὶ νοῦς· διὸ καὶ φυσικὰ δοκεῖ εἶναι ταῦτα· καὶ φύσει σοφὸς μὲν οὐδείς, γνώμην δ' ἔχει καὶ σύνεσιν καὶ νοῦν· σημεῖον δ' ὅτι καὶ ταῖς ἡλικίαις οἰόμεθα ἀκολουθεῖν· καὶ ἡ ἡλικία δὲ νοῦν ἔχει καὶ γνώμην, ὡς τῆς φύσεως αἰτίας οὔσης· διὸ καὶ ἀρχὴ καὶ τέλος, νοῦς· ἐκ τούτων γὰρ αἱ ἀποδείξεις καὶ περὶ τούτων· ὥστε δεῖ προσέχειν τῶν ἐμπείρων καὶ πρεσβυτέρων ἢ φρονίμων ταῖς ἀναποδείκτοις φάσεσι καὶ δόξαις, οὐχ ἧττον τῶν ἀποδείξεων· διὰ γὰρ τὸ ἔχειν ἐκ τῆς ἐμπειρίας ὄμμα, ὁρῶσιν ἀρχάς. τί μὲν οὖν ἐστιν ἡ φρόνησις καὶ ἡ σοφία, καὶ περὶ τί ἑκατέρα τυγχάνει οὖσα, καὶ ὅτι ἄλλου τῆς ψυχῆς μορίου ἀρετὴ ἑκατέρου ἑκατέρα, εἴρηται. διαπορήσειε δ' ἄν τις περὶ αὐτῶν τί χρήσιμοί εἰσιν· ἡ μὲν γὰρ σοφία οὐθὲν θεωρήσει ἐξ ὧν ἔσται εὐδαίμων ἄνθρωπος· οὐδεμιᾶς γάρ ἐστι γενέσεως· ἡ δὲ φρόνησις τοῦτο μὲν ἔχει· ἀλλὰ τίνος ἕνεκα δεῖ αὐτῆς· εἴπερ ἡ μὲν φρόνησίς ἐστιν ἡ περὶ τὰ δίκαια καὶ καλὰ καὶ ἀγαθὰ ἀνθρώπῳ· ταῦτα δ' ἐστὶν ἃ τοῦ ἀγαθοῦ ἐστὶν ἀνδρὸς πράττειν· οὐθὲν δὲ πρακτικώτεροι τῷ αὐτὰ εἰδέναι ἐσμέν, εἴπερ ἕξεις αἱ ἀρεταί εἰσιν· ὥσπερ οὐδὲ τὰ ὑγιεινὰ οὐδὲ τὰ εὐεκτικά, ὅσα μὴ τῷ ποιεῖν, ἀλλὰ τῷ ἀπὸ τῆς ἕξεως εἶναι λέγεται· οὐθὲν γὰρ πρακτικώτεροι τῷ ἔχειν τὴν ἰατρικὴν καὶ γυμναστικήν ἐσμεν· εἰ δὲ μὴ τούτων χάριν φρόνιμον θετέον, ἀλλὰ τοῦ γίνεσθαι, τοῖς οὖσι σπουδαίοις ἔτι δ' οὐδὲ τοῖς μὴ ἔχουσιν· οὐθὲν γὰρ διοίσει αὐτοῖς ἔχειν ἢ ἄλλοις ἔχουσι πείθεσθαι· ἱκανῶς τ' ἔχοι ἂν ἡμῖν ὥσπερ καὶ περὶ τὴν ὑγίειαν· βουλόμενοι

Natura sapiens nullus

Oportet sembus
ut exptis crede
ea etiã quæ nõ
bauerint ut pba

Quæ nã utilitas
virtutũ intelle

γὰρ ὑγιαίνειν, ὅμως οὐ μανθάνομεν ἰατρικήν. πρὸς δὲ τούτοις ἄτοπον ἂν εἶναι δόξειεν, εἰ χείρων τῆς σοφίας οὖσα, κυριωτέρα αὐτῆς ἔσται· ἡ γὰρ ποιοῦσα ἄρχει καὶ ἐπιτάττει περὶ ἕκαστον. περὶ δὲ τούτων λεκτέον· νῦν μὲν γὰρ ἠπόρηται περὶ αὐτῶν μόνον. πρῶτον μὲν οὖν λέγομεν ὅτι καθ' αὑτὰς αὐτὰς ἀναγκαῖον αἱρετὰς εἶναι, ἀρετάς γ' οὔσας ἑκατέραν ἑκατέρου μορίου, καὶ εἰ μὴ ποιοῦσι μηδὲν μηδετέρα αὐτῶν. ἔπειτα καὶ ποιοῦσι μέν, οὐχ ὡς ἰατρικὴ δὲ ὑγίειαν, ἀλλ' ὡς ἡ ὑγίεια, οὕτως ἡ σοφία εὐδαιμονίαν· μέρος γὰρ οὖσα τῆς ὅλης ἀρετῆς, τῷ ἔχεσθαι ποιεῖ καὶ τῷ ἐνεργεῖν εὐδαίμονα. ἔτι τὸ ἔργον ἀποτελεῖται κατὰ τὴν φρόνησιν καὶ τὴν ἠθικὴν ἀρετήν· ἡ μὲν γὰρ ἀρετὴ τὸν σκοπὸν ποιεῖ ὀρθόν, ἡ δὲ φρόνησις τὰ πρὸς τοῦτον. τοῦ δὲ τετάρτου μορίου τῆς ψυχῆς οὐκ ἔστιν ἀρετὴ τοιαύτη, τοῦ θρεπτικοῦ· οὐδὲν γὰρ ἐπ' αὐτῷ πράττειν ἢ μὴ πράττειν, ἀλλὰ τῆς φύσεως δηλονότι. περὶ δὲ τοῦ μηδὲν εἶναι πρακτικωτέρους διὰ τὴν φρόνησιν τῶν καλῶν καὶ δικαίων, μικρὸν ἄνωθεν ἀρκτέον, λαβόντας ἀρχὴν ταύτην. ὥσπερ γὰρ καὶ τὰ δίκαια λέγομεν πράττοντάς τινας οὔπω δικαίους εἶναι, οἷον τοὺς τὰ ὑπὸ τῶν νόμων τεταγμένα ποιοῦντας ἢ ἄκοντας ἢ δι' ἄγνοιαν ἢ δι' ἕτερόν τι, καὶ μὴ δι' αὐτά· καίτοι πράττουσί γε ἃ δεῖ καὶ ὅσα χρὴ τὸν σπουδαῖον. οὕτως ὡς ἔοικεν ἔστι τὸ πῶς ἔχοντα πράττειν ἕκαστα, ὥστ' εἶναι ἀγαθόν. λέγω δ' οἷον διὰ προαίρεσιν, καὶ αὐτῶν ἕνεκα τῶν πραττομένων. τὴν μὲν οὖν προαίρεσιν ὀρθὴν ποιεῖ ἡ ἀρετή· τὸ δ' ὅσα ἐκείνης ἕνεκα πέφυκε πράττεσθαι, οὐκ ἔστι τῆς ἀρετῆς ἀλλ' ἑτέρας δυνάμεως. λεκτέον δ' ἐπιστήσασι σαφέστερον περὶ αὐτῶν. ἔστι δὴ δύναμις ἣν καλοῦσι δεινότητα· αὕτη δ' ἐστὶ τοιαύτη, ὥστε τὰ πρὸς τὸν ὑποτεθέντα σκοπὸν συντείνοντα δύνασθαι ταῦτα πράττειν καὶ τυγχάνειν αὐτῶν. ἂν μὲν οὖν ὁ σκοπὸς ᾖ καλός, ἐπαινετή ἐστιν· ἐὰν δὲ φαῦλος, πανουργία· διὸ καὶ τοὺς φρονίμους δεινοὺς καὶ πανούργους φαμὲν εἶναι. ἔστι δ' ἡ φρόνησις

οὐκ

[Margin notes: [q]uarta animae pars [a]ltrix — δεινότης]



τῆς δεινότητος δύναμις, ἀλλ' οὐκ ἄνευ τῆς δυνάμεως ταύτης. ἡ δὲ ἕξις τῷ ὄμματι τούτῳ γίνεται τῆς ψυχῆς, οὐκ ἄνευ ἀρετῆς, ὡς εἴρηται καὶ ἔστι δῆλον· οἱ γὰρ συλλογισμοὶ τῶν πρακτῶν ἀρχὴν ἔχοντές εἰσιν, ἐπεὶ τοιόνδε τὸ τέλος καὶ τὸ ἄριστον, ὅτι δήποτε ὄν· ἔστω γὰρ λόγου χάριν τὸ τυχόν· τοῦτο δ' εἰ μὴ τῷ ἀγαθῷ, οὐ φαίνεται· διαστρέφει γὰρ ἡ μοχθηρία καὶ διαψεύδεσθαι ποιεῖ περὶ τὰς πρακτικὰς ἀρχάς. ὥστε φανερὸν ὅτι ἀδύνατον φρόνιμον εἶναι μὴ ὄντα ἀγαθόν. σκεπτέον δὴ πάλιν καὶ περὶ ἀρετῆς· καὶ γὰρ ἡ ἀρετὴ παραπλησίως ἔχει, ὡς ἡ φρόνησις πρὸς τὴν δεινότητα· οὐ ταὐτὸ μέν, ὅμοιον δέ· οὕτω καὶ ἡ φυσικὴ ἀρετὴ πρὸς τὴν κυρίαν. πᾶσι γὰρ δοκεῖ ἕκαστα τῶν ἠθικῶν ὑπάρχειν φύσει πως· καὶ γὰρ δίκαιοι καὶ σωφρονικοὶ καὶ ἀνδρεῖοι καὶ τἆλλα ἔχομεν εὐθὺς ἐκ γενετῆς· ἀλλ' ὅμως ζητοῦμεν ἕτερόν τι τὸ κυρίως ἀγαθὸν εἶναι καὶ τὰ τοιαῦτα ἄλλον τρόπον ὑπάρχειν. καὶ γὰρ παισὶ καὶ θηρίοις αἱ φυσικαὶ ὑπάρχουσιν ἕξεις, ἀλλ' ἄνευ νοῦ βλαβεραὶ φαίνονται οὖσαι. πλὴν τοσοῦτον ἔοικεν ὁρᾶσθαι, ὅτι ὥσπερ σώματι ἰσχυρῷ ἄνευ ὄψεως κινουμένῳ συμβαίνει σφάλλεσθαι ἰσχυρῶς διὰ τὸ μὴ ἔχειν ὄψιν, οὕτω καὶ ἐνταῦθα· ἐὰν δὲ λάβῃ νοῦν, ἐν τῷ πράττειν διαφέρει· ἡ δ' ἕξις ὁμοία οὖσα τότ' ἔσται κυρίως ἀρετή. ὥστε καθάπερ ἐπὶ τοῦ δοξαστικοῦ δύο ἐστὶν εἴδη, δεινότης καὶ φρόνησις, οὕτω καὶ ἐπὶ τοῦ ἠθικοῦ δύο ἐστί, τὸ μὲν ἀρετὴ φυσική, τὸ δ' ἡ κυρία· καὶ τούτων ἡ κυρία οὐ γίνεται ἄνευ φρονήσεως. διό φασί τινες πάσας τὰς ἀρετὰς φρονήσεις εἶναι, καὶ Σωκράτης τῇ μὲν ὀρθῶς ἐζήτει, τῇ δ' ἡμάρτανεν· ὅτι μὲν γὰρ φρονήσεις ᾤετο εἶναι πάσας τὰς ἀρετάς, ἡμάρτανεν· ὅτι δ' οὐκ ἄνευ φρονήσεως, καλῶς ἔλεγε. σημεῖον δέ· καὶ γὰρ νῦν πάντες, ὅταν ὁρίζωνται τὴν ἀρετήν, προστιθέασι τὴν ἕξιν, εἰπόντες καὶ πρὸς ἅ ἐστι, κατὰ τὸν ὀρθὸν λόγον· ὀρθὸς δ' ὁ κατὰ τὴν φρόνησιν. ἐοίκασι δὲ μαντεύεσθαί πως ἅπαντες, ὅτι ἡ τοιαύτη ἕξις ἀρετή ἐστιν ἡ κατὰ τὴν



[Margin notes: Prudens nemi[nem] nisi bonus uir — Nonnulli dixerút omnes uirtutes ee prudétias — Socrate — Nullá uirtus sine prudentia]

Socrates

φρόνησιν. δεῖ δὲ μικρὸν μεταβῆναι. ἔστι γὰρ οὐ μόνον ἡ κατὰ τὸν ὀρθὸν λόγον, ἀλλ' ἡ μετὰ τοῦ ὀρθοῦ λόγου ἕξις, ἀρετή ἐστιν. ὀρθὸς δὲ λόγος περὶ τῶν τοιούτων ἡ φρόνησίς ἐστι. σωκράτης μὲν οὖν λόγους τὰς ἀρετὰς ᾤετο εἶναι. ἐπιστήμας γὰρ εἶναι πάσας. ἡμεῖς δὲ μετὰ λόγου. δῆλον οὖν ἐκ τῶν εἰρημένων ὅτι οὐχ οἷόν τε ἀγαθὸν εἶναι κυρίως ἄνευ φρονήσεως, οὐδὲ φρόνιμον ἄνευ τῆς ἠθικῆς ἀρετῆς. ἀλλὰ καὶ ὁ λόγος ταύτῃ λύοιτ' ἄν, ᾧ διαλεχθείη τις ἂν ὅτι χωρίζονται ἀλλήλων αἱ ἀρεταί. οὐ γὰρ ὁ αὐτὸς εὐφυέστατος πρὸς ἁπάσας. ὥστε τὴν μὲν ἤδη, τὴν δ' οὔπω εἰληφὼς ἔσται. τοῦτο γὰρ κατὰ μὲν τὰς φυσικὰς ἀρετὰς ἐνδέχεται. καθ' ἃς δὲ ἁπλῶς λέγεται ἀγαθός, οὐκ ἐνδέχεται. ἅμα γὰρ τῇ φρονήσει μιᾷ ὑπαρχούσῃ, πᾶσαι ὑπάρξουσι. δῆλον δὲ κἂν εἰ μὴ πρακτικὴ ἦν ὅτι ἔδει ἂν αὐτῆς διὰ τὸ τοῦ μορίου ἀρετὴν εἶναι. καὶ ὅτι οὐκ ἔσται ἡ προαίρεσις ὀρθὴ ἄνευ φρονήσεως, οὐδ' ἄνευ ἀρετῆς. ἡ μὲν γὰρ τὸ τέλος. ἡ δὲ τὰ πρὸς τὸ τέλος ποιεῖ πράττειν. ἀλλὰ μὴν οὐδὲ κυρία γ' ἐστὶ τῆς σοφίας. οὐδὲ τοῦ βελτίονος μορίου ὥσπερ οὐδὲ τῆς ὑγιείας ἡ ἰατρική. οὐ γὰρ χρῆται αὐτῇ. ἀλλ' ὁρᾷ ὅπως γένηται. ἐκείνης οὖν ἕνεκα ἐπιτάττει. ἀλλ' οὐκ ἐκείνῃ. ἔτι ὅμοιον κἂν εἴ τις τὴν πολιτικὴν φαίη ἄρχειν τῶν θεῶν ὅτι ἐπιτάττει περὶ πάντα τὰ ἐν τῇ πόλει.

ΤΈΛΟΣ ΤΟΥ͂ Έ.



# ἈΡΙΣΤΟΤΈΛΟΥΣ ἨΘΙΚΩ͂Ν ἘΥΔΗΜΊΩΝ, ΤΟΥ͂ Ζ'.

Μετὰ δὲ ταῦτα λεκτέον ἄλλην ποιησαμένους ἀρχήν, ὅτι τῶν περὶ τὰ ἤθη φευκτῶν, τρία ἐστὶν εἴδη. κακία. ἀκρασία. θηριότης. τὰ δὲ ἐναντία τοῖς μὲν δυσί, δῆλα. τὸ μὲν γὰρ ἀρετήν. τὸ δ' ἐγκράτειαν καλοῦμεν. πρὸς δὲ τὴν θηριότητα μάλιστ' ἂν ἁρμόττοι λέγειν τὴν ὑπὲρ ἡμᾶς ἀρετήν ἡρωικήν τινα καὶ θείαν. ὥσπερ ὅμηρος περὶ ἕκτορος πεποίηκε λέγοντα τὸν πρίαμον ὅτι σφόδρα ἦν ἀγαθός. οὐδὲ ἐῴκει ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι. ἀλλὰ θεοῖο. ὥστ' εἰ καθάπερ φασὶν ἐξ ἀνθρώπων γίνονται θεοὶ δι' ἀρετῆς ὑπερβολήν, τοιαύτη τις ἂν εἴη δῆλον ὅτι. ἡ τῇ θηριώδει ἀντιτιθεμένη ἕξις. καὶ γὰρ ὥσπερ θηρίου ἐστὶ κακία οὐδ' ἀρετή, οὕτως οὐδὲ θεοῦ. ἀλλ' ἡ μὲν τιμιώτερον ἀρετῆς. ἡ δ' ἕτερόν τι γένος κακίας. ἐπεὶ δὲ σπάνιον καὶ τὸ θεῖον ἄνδρα εἶναι καθάπερ οἱ λάκωνές φασιν εἰώθασι προσαγορεύειν ὅταν ἀγασθῶσι σφόδρα του, θεῖος ἀνήρ φασίν. οὕτω καὶ ὁ θηριώδης ἐν τοῖς ἀνθρώποις σπάνιος. μάλιστα δ' ἐν τοῖς βαρβάροις ἐστί. γίνεται δ' ἔνια καὶ διὰ νόσους καὶ πηρώσεις. καὶ τοὺς διὰ κακίαν δὲ τῶν ἀνθρώπων ὑπερβάλλοντας οὕτως ἐπιδυσφημοῦμεν. ἀλλὰ περὶ μὲν τῆς διαθέσεως τῆς τοιαύτης ὕστερον ποιητέον τινὰ μνείαν. περὶ δὲ κακίας εἴρηται πρότερον. περὶ δὲ ἀκρασίας καὶ μαλακίας καὶ τρυφῆς λεκτέον

κακία
ἀκρασία
θηριότης

Heroica uirtus

Homer
Hector
Priamus

Lacones qué nim
um admirabátu
diuinú uocabát

καὶ περὶ ἐγκρατείας καὶ καρτερίας· οὔτε γὰρ ὡς περὶ τῶν αὐτῶν ἕξεων τῇ ἀρετῇ καὶ τῇ μοχθηρίᾳ ἑκατέραν αὐτῶν ὑπολητέον· οὔτε ὡς ἕτερον γένος· δεῖ δὲ ὥσπερ ἐπὶ τῶν ἄλλων τιθέντας τὰ φαινόμενα καὶ πρῶτον διαπορήσαντας, οὕτω δεικνύναι μάλιστα μὲν πάντα τὰ ἐνδοξα περὶ ταῦτα τὰ πάθη· εἰ δὲ μή, τὰ πλεῖστα καὶ κυριώτατα· ἐὰν γὰρ λύηταί τε τὰ ἐνδοξα καὶ λείπηται τὰ ἔνδοξα, δεδειγμένον ἂν εἴη ἱκανῶς.

de Continentia & constantia

Δοκεῖ δ' ἡ ἐγκράτεια καὶ ἡ καρτερία, τῶν σπουδαίων καὶ τῶν ἐπαινετῶν εἶναι· ἡ δὲ ἀκρασία τε καὶ μαλακία τῶν φαύλων τε καὶ ψεκτῶν· καὶ ὁ αὐτὸς ἐγκρατὴς καὶ ἐμμενητικὸς τῷ λογισμῷ· καὶ ἀκρατὴς καὶ ἐκστατικὸς τοῦ λογισμοῦ, καὶ ὁ μὲν ἀκρατὴς εἰδὼς ὅτι φαῦλα διὰ τὰ πάθος πράττει· ὁ δὲ ἐγκρατὴς εἰδὼς ὅτι φαῦλαι ἐπιθυμίαι οὐκ ἀκολουθεῖ διὰ τὸν λόγον· καὶ τὸν σώφρονα μὲν, ἐγκρατῆ καὶ καρτερικόν· τὸν δὲ τοιοῦτον οἱ μὲν, πάντα σώφρονα, οἱ δ' οὔ· καὶ τὸν ἀκόλαστον ἀκρατῆ· καὶτὸν ἀκρατῆ ἀκόλαστον συγκεχυμένως· οἱ δ' ἑτέρως εἶναι φασί· τὸν δὲ φρόνιμον ὁ τὰ μὲν οὕφασιν ἐνδέχεσθαι εἶναι ἀκρατῆ· ὁτὲ δ' ἐνίους φρονίμους ὄντας καὶ δεινοὺς, ἀκρατεῖς· ἔτι ἀκρατεῖς λέγονται καὶ θυμοῦ καὶ τιμῆς καὶ κέρδους· τὰ μὲν οὖν λεγόμενα ταῦτά ἐστιν· ἀπορήσειε δ' ἄν τις πῶς ὑπολαμβάνων ὀρθῶς ἀκρατεύεται τις· ἐπιστάμενον μὲν οὖν μὴ ὂν οὐφασίν τινες οἷόν τε εἶναι· δεινὸν γὰρ ἐπιστήμης ἐνούσης ὡς ὤετο σωκράτης ἄλλο τι κρατεῖν μὴ περὶ αὐτὴν ὥσπερ ἀνδράποδον· σωκράτης μὲν γὰρ ὅλως ἐμάχετο πρὸς τὸν λόγον ὡς οὐκ οὔσης ἀκρασίας· οὐθενὶ γὰρ ὑπολαμβάνοντα πράττειν παρὰ τὸ βέλτιον· ἀλλὰ διὰ ἄγνοιαν· οὗτος μὲν οὖν ὁλόγως ἀμφισβητεῖ τοῖς φαινομένοις ἐναργῶς· καὶ δῆλον ζητεῖν περὶ τὸ πάθος εἰδὲ ἄγνοιαν τίς τρόπος γίνεται φλ ἀγνοεῖ ὅτι μὲν γὰρ οἴεταί γε ὁ ἀκρατευόμενος πρὶν ἐνεργεῖν πάθη γενέσθαι. φανερόν· εἰσὶ δήπουθεν οἵτινες μὲν συγχωροῦσι τὰ δ' οὔ· τὸ μὲν γὰρ ἐπι-

 

ἐπιστήμης μηθὲν εἶναι κρεῖττον, ὁμολογοῦσι· τὸ δὲ μηδένα πράττειν παρὰ τὸ δόξαν βέλτιον, οὐχ ὁμολογοῦσι καὶ διὰ τοῦτο τὸν ἀκρατῆ φασὶν οὐκ ἐπιστήμην ἔχοντα κρατεῖσθαι ὑπὸ τῶν ἡδονῶν· ἀλλὰ δόξαν· ἀλλὰ μὴν εἴγε δόξα καὶ μὴ ἐπιστήμη μηδὲ ἰσχυρὰ ὑπόληψις ἡ αὐτὴν ἀνθιστᾶσα ἀλλ' ἠρεμαία καθάπερ ἐν τοῖς διζάζουσι, συγγνώμη τὸ μὴ μένειν ἐν αὑτοῖς πρὸς ἐπιθυμίας ἰσχυράς· τῇ δὲ μοχθηρίᾳ οὐ συγγνώμη· οὐδὲ τῶν ἄλλων οὐδενὶ τῶν φρονήσει ὡσαύτως ἀντιτεινόντων· αὐτὴ γὰρ ἰσχυρότατον· ἀλλ' ἄτοπον· ἔσται γὰρ ὁ αὐτὸς ἀμαφρόνιμος καὶ ἀκρατής· φήσειε δ' ἂν οὐδεὶς φρόνιμου εἶναι, τὸ πράττειν ἐκόντα τὰ φαυλότατα· πρὸς δὲ τούτοις δέδεικται πρότερον ὅτι πρακτικός γε ὁ φρόνιμος· τῶν γὰρ ἐχάτων ἐστὶ καὶ τὰς ἄλλας ἕξεις ἀρετὰς· ἔτι εἰ μὴ ἐν τῇ ἐπιθυμίας ἔχειν ἰσχυρὰς καὶ φαύλας ὁ ἐγκρατὴς, οὐκ ἔσται ὁσιόφρων ἐγκρατὴς· οὐδ' ὁ ἐγκρατὴς σώφρων· οὔτε γὰρ τὸ ἄγαν σώφρονος οὔτε τὸ φαύλως ἔχειν· ἀλλὰ μὴν δεῖ γε· εἰ μὴ γὰρ χρήσαι αἱ ἐπιθυμίαι, φαύλη ἡ κωλύουσα ἕξις μὴ ἀκολουθεῖν· ὥσθ' ἡ ἐγκράτεια οὐ πᾶσα σπουδαία· εἰδὼς θ' εἷς καὶ μὴ φαύλας οὐθένος μόνον· ὁ δ' εἰ φαύλας καὶ ἀσθενεῖς, οὐδὲν μέγας· ἔτι εἰ πάσῃ δόξῃ ἐμμενετικὸν πρὸς ἐγκράτειαν· φαύλη· οἷον εἰ καὶ τῇ ψευδεῖ· καὶ εἰ τοιάσδε δόξης ἡ ἀκρασία ἐκστατικὸν, ἔσται τὶς σπουδαία ἀκρασία· οἷον καὶ ὁ σοφοκλέους νεοπτόλεμος ἐν τῷ φιλοκτήτῃ· ἐπαινετὸς γὰρ ὁ οὐκ ἐμμένων οἷς ἐπείσθη ὑπὸ τὸ ὀδυσσέως διὰ τὸ λυπεῖσθαι ψευδόμενος· ἔτι σοφιστικὸς λόγος ψευδόμενος ἀπορία· διὰ γὰρ τὸ βούλεσθαι ἐλέγχειν ἵνα δεινοὶ ὦσιν ὅταν ἐπιτύχωσιν, ὁ γινόμενος συλλογισμὸς ἀπορίαν ποιεῖται· δέδεται γὰρ ἡ διάνοια ὅταν μένειν μὴ βούληται διὰ τὸ μὴ ἀρέσκειν τὸ συμπερανθέν· προϊέναι δὲ μὴ δύναται διὰ τὸ λῦσαι μὴ ἔχειν τὸν λόγον· συμβαίνει δ' ἐκ τοιοῦδε λόγου μετὰ



Sophoclis neoptolemus in philoctete

ocrates pugnabat contra rationem

ἀκρασίας ἀρετή· τἀναντία γὰρ πράττει ὧν ὑπολαμβάνει διὰ τὴν ἀκρασίαν· ὑπολαμβάνει δὲ τἀγαθὰ κακὰ εἶναι καὶ οὐ δεῖν πράττειν, ὥστε τἀγαθὰ ἔσται καὶ κακὰ πράξει. ἔτι ὁ τῷ πεπεῖσθαι πράττων καὶ διώκων τὰ ἡδέα καὶ προαιρούμενος, βελτίων ἂν δόξειε τοῦ μὴ διὰ λογισμὸν ἀλλὰ δι᾽ ἀκρασίαν· εὐιατότερος γὰρ διὰ τὸ μεταπεισθῆναι ἄν. ὁ δ᾽ ἀκρατὴς ἔνοχος τῇ παροιμίᾳ ἐν ᾗ φαμέν, ὅταν τὸ ὕδωρ πνίγῃ, τί δεῖ ἐπιπίνειν; εἰ μὲν γὰρ μὴ ἐπέπειστο ἃ πράττει, μεταπεισθεὶς ἂν ἐπαύσατο· νῦν δὲ πεπεισμένος οὐδὲν ἧττον ἄλλα πράττει. ἔτι εἰ περὶ πάντα ἀκρασία ἐστὶ καὶ ἐγκράτεια, τίς ὁ ἁπλῶς ἀκρατής; οὐδεὶς γὰρ ἁπάσας ἔχει τὰς ἀκρασίας, φαμὲν δ᾽ εἶναί τινας ἁπλῶς. αἱ μὲν οὖν ἀπορίαι τοιαῦταί τινες συμβαίνουσι· τούτων δὲ τὰ μὲν ἀνελεῖν δεῖ, τὰ δὲ καταλιπεῖν· ἡ γὰρ λύσις τῆς ἀπορίας εὕρεσίς ἐστι. πρῶτον μὲν οὖν σκεπτέον, πότερον εἰδότες ἢ οὔ, καὶ πῶς εἰδότες. εἶτα περὶ ποῖα τὸν ἀκρατῆ καὶ τὸν ἐγκρατῆ θετέον· λέγω δὲ πότερον περὶ πᾶσαν ἡδονὴν καὶ λύπην, ἢ περί τινας ἀφωρισμένας. καὶ τὸν ἐγκρατῆ καὶ τὸν καρτερικὸν πότερον ὁ αὐτὸς ἢ ἕτερός ἐστιν. ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ὅσα συγγενῆ τῆς θεωρίας ἐστὶ ταύτης. ἔστι δ᾽ ἀρχὴ τῆς σκέψεως, πότερον οἱ ἐγκρατεῖς εἰσι τῷ περὶ ἃ ἢ τῷ πῶς ἔχοντες τὴν διαφοράν. λέγω δὲ πότερον τῷ περὶ ἃ εἶναι μόνον ἀκρατὴς ἢ οὔ, ἀλλὰ τῷ ὥς, ἢ οὔ, ἀλλ᾽ ἐξ ἀμφοῖν. ἔπειτ᾽ εἰ περὶ πάντ᾽ ἐστὶν ἀκρασία καὶ ἐγκράτεια, ἢ οὔ. οὔτε γὰρ περὶ ἅπαντ᾽ ἐστὶν ὁ ἁπλῶς ἀκρατής, ἀλλὰ περὶ ἅπερ ὁ ἀκόλαστος, οὔτε τῷ πρὸς ταῦτα ἁπλῶς ἔχειν· ταυτὸν γὰρ ἂν ἦν τῇ ἀκολασίᾳ, ἀλλὰ τῷ ὡδὶ ἔχειν. ὁ μὲν γὰρ ἄγεται προαιρούμενος, νομίζων ἀεὶ δεῖν τὸ παρὸν ἡδὺ διώκειν· ὁ δ᾽ οὐκ οἴεται μέν, διώκει δέ. περὶ μὲν οὖν τοῦ δόξαν ἀληθῆ ἀλλὰ μὴ ἐπιστήμην εἶναι παρ᾽ ἣν ἀκρατεύονται, οὐδὲν διαφέρει πρὸς τὸν λόγον· ἔνιοι γὰρ τῶν δοξαζόντων οὐ διστάζουσιν, ἀλλ᾽ οἴ-

ἔνιοι τῶν δοξαζόντων οὐ διστάζουσιν
ἀλλὰ οἴονται ἀκριβῶς εἰδέναι



ονται ἀκριβῶς εἰδέναι. εἰ οὖν διὰ τὸ ἠρέμα πιστεύειν οἱ δοξάζοντες μᾶλλον τῶν ἐπισταμένων παρὰ τὴν ὑπόληψιν πράξουσιν, οὐθὲν διοίσει ἐπιστήμη δόξης· ἔνιοι γὰρ πιστεύουσιν οὐθὲν ἧττον οἷς δοξάζουσιν ἢ ἕτεροι οἷς ἐπίστανται· δηλοῖ δ᾽ Ἡράκλειτος. ἀλλ᾽ ἐπεὶ διχῶς λέγομεν τὸ ἐπίστασθαι, ἔστι γὰρ ὁ ἔχων μὲν οὐ χρώμενος δὲ τῇ ἐπιστήμῃ, καὶ ὁ χρώμενος λέγεται ἐπίστασθαι, διοίσει τὸ ἔχοντα μέν, μὴ θεωροῦντα δέ, καὶ θεωροῦντα ἃ μὴ δεῖ πράττειν· τοῦτο γὰρ δοκεῖ δεινόν, ἀλλ᾽ οὐκ εἰ μὴ θεωρῶν. ἔτι ἐπεὶ δύο τρόποι τῶν προτάσεων, ἔχοντα μὲν ἀμφοτέρας οὐδὲν κωλύει πράττειν παρὰ τὴν ἐπιστήμην, χρώμενον μέντοι τῇ καθόλου, ἀλλὰ μὴ τῇ κατὰ μέρος· πρακτὰ γὰρ τὰ καθ᾽ ἕκαστα. διαφέρει δὲ καὶ τὸ καθόλου· τὸ μὲν γὰρ ἐφ᾽ ἑαυτοῦ, τὸ δὲ ἐπὶ τοῦ πράγματός ἐστιν· οἷον ὅτι παντὶ ἀνθρώπῳ συμφέρει τὰ ξηρά, καὶ ὅτι ὁ αὐτὸς ἄνθρωπος, ἢ ὅτι ξηρὸν τὸ τοιόνδε· ἀλλ᾽ εἰ τόδε τοιόνδε, ἢ οὐκ ἔχει, ἢ οὐκ ἐνεργεῖ. κατά τε δὴ τούτους διοίσει τοὺς τρόπους ἀμήχανον ὅσον, ὥστε δοκεῖν οὕτω μὲν εἰδέναι μηδὲν ἄτοπον, ἄλλως δὲ θαυμαστόν. ἔτι τὸ ἔχειν τὴν ἐπιστήμην ἄλλον τρόπον τῶν νῦν ῥηθέντων ὑπάρχει τοῖς ἀνθρώποις· ἐν τῷ γὰρ ἔχειν μὲν μὴ χρῆσθαι δέ, διαφέρουσαν ὁρῶμεν τὴν ἕξιν, ὥστε καὶ ἔχειν πως καὶ μὴ ἔχειν, οἷον τὸν καθεύδοντα καὶ μαινόμενον καὶ οἰνωμένον. ἀλλὰ μὴν οὕτω διατίθενται οἱ ἐν τοῖς πάθεσιν ὄντες· θυμὸς γὰρ καὶ ἐπιθυμίαι ἀφροδισίων καὶ ἔνια τῶν τοιούτων, ἐπιδήλως καὶ τὸ σῶμα μεθιστᾶσιν, ἐνίοις δὲ καὶ μανίας ποιοῦσι. δῆλον οὖν ὅτι ὁμοίως ἔχειν λεκτέον τοὺς ἀκρατεῖς τούτοις. τὸ δὲ λέγειν τοὺς λόγους τοὺς ἀπὸ τῆς ἐπιστήμης, οὐδὲν σημεῖον· καὶ γὰρ οἱ ἐν τοῖς πάθεσι τούτοις ὄντες, ἀποδείξεις καὶ ἔπη λέγουσιν Ἐμπεδοκλέους· καὶ οἱ πρῶτον μαθόντες συνείρουσι μὲν τοὺς λόγους, ἴσασι δ᾽ οὔπω· δεῖ γὰρ συνεῖναι· τοῦτο δὲ χρόνου δεῖ. ὥστε καθάπερ τοὺς ὑποκρινομένους, οὕτως ὑποληπτέον λέγειν καὶ τοὺς ἀκρατευομένους.

Heraclitus

ἐπίστασθαι di-
pliciter dici

Empedocles

ἔστι καὶ ὧ δὲ φυσικῶς αὐτὸς ἐπιβλέψαι τὸν αἴτιον· ἡ μὲν γὰρ καθόλου δόξα· ἡ δ' ἑτέρα περὶ τὰ καθ' ἕκαστά ἐστιν· ὧν αἴσθησις ἢ δὲ κυρία· ὅταν δὲ μία γένηται ἐξ αὐτῶν, ἀνάγκη τὸ συμπεφυκὸς ἤδη φάναι τὸν ψυχήν· ἐν δὲ ταῖς ποιητικαῖς πράξεσιν ὑθύς· οἷον εἰ παντὸς γλυκέος τερπνοῦ δεῖ, τοῦτο δὲ γλυκὺ τὸ καθ' ἕκαστον, ἀνάγκη τὸν δυνατὸν μὲν κωλυόμενον, ἅμα τοῦτο καὶ πράττειν· ὅταν δὴ ἡ μὲν καθόλου ἢ κωλύουσα γένηται, ἢ δ' ὅτι πᾶν γλυκὺ ἢ δυνατὸν γλυκύ, αὕτη δὲ ἐνεργεῖ, τύχῃ δὲ ἐπιθυμία οὖσα, ἡ μὲν λέγει φεύγειν τοῦτο, ἡ δὲ ἐπιθυμία ἄγει· κινεῖν γὰρ ἑκάστην δύναται τῶν μορίων, ὥστε συμβαίνει ὑπὸ λόγου πως ἢ δόξης ἀκρατεύεσθαι, οὐκ ἐναντίας δὲ καθ' αὑτὴν ἀλλὰ κατὰ συμβεβηκός· ἡ γὰρ ἐπιθυμία ἐναντία· ἀλλ' ὀρθὴ δόξα τῷ ὀρθῷ λόγῳ· ὥστε διὰ τοῦτο τὰ θηρία οὐκ ἀκρατῆ, ὅτι οὐκ ἔχει καθόλου ὑπόληψιν, ἀλλὰ φαντασίαν καὶ μνήμην· πῶς δὲ λύεται ἡ ἄγνοια καὶ πάλιν γίνεται ἐπιστήμων ὁ ἀκρατής· ὁ αὐτὸς δὲ λόγος καὶ περὶ οἴνου μέθης καὶ καθεύδοντος, οὐκ ἴδιος φύσει τοῦ πάθους, οὐ δεῖ δὲ καὶ τὰ φυσιολόγων ἀκούειν· ἐπεὶ δ' ἡ τελευταία πρότασις δόξα τὸ αἰσθητὸν καὶ κυρία τῆς πράξεως, ταύτην οὐκ ἔχει ὁ τῷ πάθει ὤν, ἢ ὅτως ἔχει, ὡς δοκεῖν τὸ ἔχειν ἐπίστασθαι· ἀλλὰ λέγειν ὥσπερ ὁ οἴνῳ μεθύων τὸ ἐμπεδοκλέους, καὶ διὰ τὸ μὴ καθόλου μηδὲ ἐπιστημονικὸν ὁμοίως εἶναι δοκεῖν τὸ καθόλου τὸν ἔσχατον ὅρον· ἔοικεν ὁ ζητῶν ἀκρατὴς συμβαίνειν· ὁ γὰρ κυρίως ἐπιστήμης εἶναι δοκούσης παρόσης γίνεται τὸ πάθος· ὁ δὲ αὐτὴν περιέλκεται διὰ τὸ πάθος ἀλλὰ φυσικῆς· περὶ μὲν οὖν τοῦ εἰδότα καὶ μὴ πῶς εἰδότα ἐνδέχεται ἀκρατεύεσθαι, τοσαῦτα εἰρήσθω· περὶ δ' ὅστε τὸν ἀπλῶς ἀκρατῆ ἢ πάντα κατὰ μέρος, μὴ εἶδός τι περὶ ἕκαστον, λεκτέον ἐφεξῆς· ἔστι μὲν γὰρ περὶ ἡδονὰς καὶ λύπας εἰσίν, οἵ τε ἐγκρατεῖς καὶ καρτερικοὶ καὶ οἱ ἀκρατεῖς καὶ μαλακοί, φανερόν· ἐπεὶ δ' ἔστι τὰ μὲν, ἀναγκαῖα τῶν περὶ ἁπτὰ καὶ γεύσεις, τὰ δ' αἱρετὰ μὲν οὐκαθ' αὑτὰ



θ' αὑτὰ ἔχοντα δ' ὑπερβολὴν, ἀναγκαῖα μὲν τὰ σωματικὰ λέγω δὲ τοιαῦτα, τά, τε περὶ τὰ τροφὰς καὶ τὰ τῶν ἀφροδισίων χρεῖαν καὶ τὰ τοιαῦτα τῶν σωματικῶν περὶ ἃ τὰ ἀκολασίαν ἐσθ' μὲν καὶ τὰ σωφροσύνῃ· τὰ δ' ὐκ ἀναγκαῖα μὲν, αἱρετὰ δὲ, λέγω δὲ οἷον νίκην· τιμὴν· πλοῦτον καὶ τὰ τοιαῦτα τῶν ἀγαθῶν καὶ ἡδέων· τοὺς μὲν πρὸς ταῦτα παρὰ τὸν ὀρθὸν λόγον ὑπερβάλλοντας τὸν ἑαυτοῖς, ἁπλῶς μὲν οὐ λέγομεν ἀκρατεῖς· προστιθέντες δὲ τὸ χρημάτων ἀκρατεῖς, ἢ κέρδους καὶ τιμῆς καὶ θυμοῦ· ἁπλῶς δ' οὐ· ὡς ἑτέρους καὶ καθ' ὁμοιότητα λεγομένους· ὥσπερ ἄνθρωπος ὁ τὰ ὀλύμπια νικῶν· ἐκείνῳ γὰρ ὁ κοινὸς λόγος τοῦ ἰδίου μικρὰ διέφερεν· ἀλλ' ὅμως ἕτερος ἦν· σημεῖον δὲ ἡ μὲν ἀκρασία ψέγεται οὐχ ὡς ἁμαρτία μόνον, ἀλλὰ καὶ ὡς κακία τις ἁπλῶς οὖσα, ἢ κατὰ μέρος τι· τούτων δ' οὐδεία· τῶν δὲ περὶ τὰς σωματικὰς ἀπολαύσεις περὶ ἃς λέγομεν τὸν σώφρονα καὶ ἀκόλαστον, ὁ μὲν προαιρεῖται τῶν δὲ ἡδέων διώκων τοὺς ὑπερβολὰς καὶ τῶν λυπηρῶν φεύγων, πείνης καὶ δίψης καὶ ἀλέας καὶ ψύχους καὶ πάντων τῶν περὶ ἁφὴν καὶ γεῦσιν, ἀλλὰ παρὰ τὴν προαίρεσιν καὶ τὴν διάνοιαν, ἀκρατὴς λέγεται· οὐ κατὰ τὸ πρόσθεσιν ὅτι περὶ τάδε καθάπερ ὀργῆς· ἀλλ' ἁπλῶς μόνον· σημεῖον δὲ οἱ δυσμαλακοὶ λέγομεν περὶ ταῦτας· περὶ ἐκείνων δ' ὁ δὲ μία καὶ διὰ τοῦτο εἰς ταυτὸ τὸν ἀκρατῆ καὶ τὸν ἀκόλαστον τίθεμεν, καὶ ἐγκρατῆ καὶ σώφρονα· ἀλλ' οὐκ εἶπον οὐδένα· διὰ τὸ περὶ τοὺς αὐτοὺς ἡδονὰς καὶ λύπας εἶναι· οἱ δ' εἰσὶ μὴ περὶ ταῦτα ἀλλ' οὐχ ὡσαύτως εἰσὶν· ἀλλ' οἱ μὲν προαιροῦνται· οἱ δ' οὐ προαιροῦνται· διὸ μᾶλλον ἀκόλαστον ἂν εἴποιμεν, ὅστις μὴ ἐπιθυμοῦν ἢ ῥεμαθώκει τοὺς ὑπερβολὰς καὶ φεύγει μετρίας λύπας, ἢ τοῦτον ὅστις διὰ τὸ ἐπιθυμεῖν σφόδρα· τί γὰρ ἂν ἐκεῖνος πρᾶσσειν, εἰ προσγένοιτο ἐπιθυμία μεγάλη καὶ περὶ τὰς τῶν ἀναγκαίων ἐνδείας λύπη ἰσχυρά· ἐπεὶ δὲ τῶν

ὁ Ὀλύμπιονίκων· Sicut fortis equus spatio, forte supremo vicit Olympia· Ca ro ex emio in Catone maiore

ur forte nó possút lici incontinétes

Circa quae sit incontinens.

ἐπιθυμιῶν καὶ τῶν ἡδονῶν, αἱ μέν εἰσι τῷ γένει καλῶν καὶ σπουδαίων, τῶν γὰρ ἡδέων ἔνια φύσει αἱρετά. τὰ δ' ἐναντία τούτων, τὰ δὲ μεταξὺ καθάπερ διείλομεν πρότερον οἷον χρήματα καὶ κέρδος, καὶ νίκη· πρὸς πάντα δὲ τὰ τοιαῦτα καὶ τὰ μεταξὺ, οὕτω πάσχειν καὶ ἐπιθυμεῖν καὶ φιλεῖν ψέγονται. ἀλλὰ τῷ πῶς τὰ ὑπερβάλλειν· διὸ ὅσοι μὲν παρὰ τὸν λόγον ἢ κρατοῦνται ἢ διώκουσι τῶν φύσει τι καλῶν ἢ ἀγαθῶν οἷον οἱ περὶ τιμὴν μᾶλλον ἢ δεῖ σπουδάζοντες ἢ περὶ τέκνα καὶ γονεῖς· καὶ γὰρ ταῦτα τῶν ἀγαθῶν, καὶ ἐπαινοῦνται οἱ περὶ ταῦτα σπουδάζοντες, ἀλλ' ὅμως ἔστι τις ὑπερβολὴ καὶ ἐν τούτοις, εἴ τις ὥσπερ ἡ Νιόβη μάχοιτο πρὸς τοὺς θεοὺς, ἢ ὥσπερ ὁ Σάτυρος ὁ φιλοπάτωρ ἐπικαλούμενος, περὶ τὸν πατέρα· λίαν γὰρ ἐδόκει μωραίνειν. μοχθηρία μὲν οὖν οὐδεμία περὶ ταῦτ' ἐστὶ διὰ τὸ εἰρημένον, ὅτι φύσει τῶν αἱρετῶν ἕκαστόν ἐστι δι' αὑτό. φαῦλαι δὲ καὶ φευκταὶ αὐτῶν εἰσὶν αἱ ὑπερβολαί. ὁμοίως δ' οὐδ' ἀκρασία· ἡ γὰρ ἀκρασία οὐ μόνον φευκτὸν, ἀλλὰ καὶ τῶν ψεκτῶν ἐστί. δι' ὁμοιότητα δὲ τοῦ πάθους προσεπιτιθέντες τὴν ἀκρασίαν περὶ ἕκαστον λέγουσιν· οἷον κακὸν ἰατρὸν καὶ κακὸν ὑποκριτὴν, ὃν ἁπλῶς οὐκ ἂν εἴποιεν κακόν. ὥσπερ οὖν οὐδ' ἐνταῦθα διὰ τὸ μὴ κακίαν εἶναι ἑκάστην αὐτῶν· ἀλλὰ τῷ ἀνάλογον ὁμοίαν, οὕτω δῆλον ὅτι κἀκεῖ ὑποληπτέον μόνην ἀκρασίαν καὶ ἐγκράτειαν εἶναι. ἥτις ἐστὶ περὶ ταὐτὰ τῇ σωφροσύνῃ καὶ τῇ ἀκολασίᾳ· περὶ δὲ θυμὸν καθ' ὁμοιότητα λέγομεν· διὸ προστιθέντες ἀκρατῆ θυμοῦ ὥσπερ τιμῆς καὶ κέρδους φαμέν. ἐπεὶ δ' ἐστὶν ἔνια μὲν ἡδέα φύσει, καὶ τούτων τὰ μὲν ἁπλῶς· τὰ δὲ κατὰ γένη καὶ ζῴων καὶ ἀνθρώπων. τὰ δ' οὐκ ἔστιν, ἀλλὰ τὰ μὲν διὰ πηρώσεις τὰ δὲ ἔθη γίνεται. τὰ δὲ διὰ μοχθηρὰς φύσεις, ἔστι καὶ περὶ τούτων ἕκαστα παραπλησίας ἰδεῖν ἕξεις· λέγω δὲ τὰς θηριώδεις· οἷον τὴν ἄνθρωπον ἣν λέγουσι τὰς κυούσας ἀναχίζουσαν τὰ παιδία κατεσθίειν· ἢ οἷς χαί-

ρειν

Niobe

Satyrus philopater

De immanitate mulieris cuiusdã Notãdũ

Τὴν ἄνθρωπον



ρειν φασιν ἐνίους τῶν ἀπηγριωμένων περὶ τὸν πόντον· τοὺς μὲν ὠμοῖς· τοὺς δὲ ἀνθρώπων κρέασι· τοὺς δὲ τὰ παιδία δανείζειν ἀλλήλοις εἰς εὐωχίαν· ἢ τὸ περὶ Φάλαριν λεγόμενον, αὗται μὲν θηριώδεις· αἱ δὲ διὰ νόσους γίνονται, καὶ διὰ μανίαν ἐνίοις, ὥσπερ ὁ τὴν μητέρα καθιερεύσας καὶ φαγών· καὶ ὁ τοῦ συνδούλου τὸ ἧπαρ· αἱ δὲ νοσηματώδεις ἐξ ἔθους, οἷον αἱ τῶν τριχῶν τίλσεις· καὶ ὀνύχων τρώξεις· ἔτι δ' ἀνθράκων καὶ γῆς· πρὸς δὲ τούτοις ἡ τῶν ἀφροδισίων τοῖς ἄρρεσι· τοῖς μὲν γὰρ φύσει· τοῖς δ' ἐξ ἔθους συμβαίνουσιν· οἷον τοῖς γυμναζομένοις ἐκ παίδων· ὅσοις μὲν οὖν ἡ φύσις αἰτία, τούτους μὲν οὐδεὶς ἂν εἴποι ἀκρατεῖς, ὥσπερ οὐδὲ τὰς γυναῖκας ὅτι οὐκ ὀπυίουσιν ἀλλ' ὀπυίονται· ὡσαύτως καὶ τοῖς νοσηματωδῶς ἔχουσι δι' ἔθος. τὸ μὲν οὖν ἔχειν ἕκαστα τούτων ἔξω τῶν ὅρων ἐστὶ τῆς κακίας, καθάπερ καὶ ἡ θηριότης· τὸ δ' ἔχοντα κρατεῖν ἢ κρατεῖσθαι, οὐχ ἡ ἁπλῆ ἀκρασία· ἀλλὰ καθ' ὁμοιότητα· καθάπερ καὶ τὸν περὶ τοὺς θυμοὺς ἔχοντα τοῦτον τὸν τρόπον τοῦ πάθους· ἀκρατῆ δ' οὐ λεκτέον· πᾶσα γὰρ ὑπερβάλλουσα καὶ ἀφροσύνη καὶ δειλία καὶ ἀκολασία καὶ χαλεπότης, αἱ μὲν θηριώδεις αἱ δὲ νοσηματώδεις εἰσίν· ὁ μὲν γὰρ φύσει τοιοῦτος οἷος δεδιέναι πάντα κἂν ψοφήσῃ μῦς θηριώδη δειλίαν, δειλός· ὁ δὲ τὴν γαλῆν ἐδεδίει διὰ νόσον· καὶ τῶν ἀφρόνων, οἱ μὲν ἐκ φύσεως ἀλόγιστοι καὶ μόνον τῇ αἰσθήσει ζῶντες, θηριώδεις· ὥσπερ ἔνια γένη τῶν πόρρω βαρβάρων· οἱ δὲ διὰ νόσους οἷον τὰς ἐπιληπτικὰς ἢ μανίας νοσηματώδεις· τούτων δ' ἔστι μὲν ἔχειν τινὰ ἐνίοτε μὲν μόνον· μὴ κρατεῖσθαι δέ· λέγω δέ· οἷον εἰ Φάλαρις κατεῖχεν ἐπιθυμῶν παιδίου φαγεῖν, ἢ πρὸς ἀφροδισίων ἄτοπον ἡδονήν. ἔστι δὲ καὶ κρατεῖσθαι μὴ μόνον ἔχειν. ὥσπερ οὖν καὶ μοχθηρίας ἡ μὲν κατ' ἄνθρωπον, ἁπλῶς λέγεται μοχθηρία· ἡ δὲ κατὰ πρόσθεσιν ὅτι θηριώδης ἢ νοσηματώδης ἁπλῶς δ' οὔ, τὸν αὐτὸν τρόπον δῆλον ὅτι καὶ ἀκρασία ἐστίν, ἡ μὲν θηριώδης, ἡ δὲ νοσηματώδης· ἁπλῶς δὲ ἡ κατὰ τὴν ἀνθρωπίνην ἀκολασίαν μόνη·

Ponticorũ saeuitiam attende

Phalaris

ὅτι μὲν οὖν ἀκρασία καὶ ἐγκράτειά ἐστι μόνον, περὶ ἅπερ ἀκολασία καὶ σωφροσύνη, καὶ ὅτι περὶ τὰ ἄλλα ἐστὶν ἄλλο εἶδος ἀκρασίας λεγόμενον κατὰ μεταφορὰν καὶ οὐχ ἁπλῶς, δῆλον. ὅτι δὲ καὶ ἧττον αἰσχρὰ ἀκρασία ἡ τοῦ θυμοῦ ἢ τῶν ἐπιθυμιῶν θεωρήσωμεν. ἔοικε γὰρ ὁ θυμὸς ἀκούειν μέν τι τοῦ λόγου, παρακούειν δέ, καθάπερ οἱ ταχεῖς τῶν διακόνων, οἳ πρὶν ἀκοῦσαι πᾶν τὸ λεγόμενον ἐκθέουσιν, εἶτα ἁμαρτάνουσι τῆς προστάξεως, καὶ οἱ κύνες πρὶν σκέψασθαι εἰ φίλος, ἂν μόνον ψοφήσῃ, ὑλακτοῦσιν, οὕτως ὁ θυμὸς διὰ θερμότητα καὶ ταχυτῆτα τῆς φύσεως, ἀκούσας μέν, οὐκ ἐπίταγμα δ' ἀκούσας, ὁρμᾷ πρὸς τὴν τιμωρίαν. ὁ μὲν γὰρ λόγος ἢ ἡ φαντασία, ὅτι ὕβρις ἢ ὀλιγωρία, ἐδήλωσεν, ὁ δ' ὥσπερ συλλογισάμενος ὅτι δεῖ τῷ τοιούτῳ πολεμεῖν, χαλεπαίνει δὴ εὐθύς. ἡ δ' ἐπιθυμία ἐὰν μόνον εἴπῃ ὅτι ἡδὺ ὁ λόγος ἢ ἡ αἴσθησις, ὁρμᾷ πρὸς τὴν ἀπόλαυσιν. ὥσθ' ὁ μὲν θυμὸς ἀκολουθεῖ τῷ λόγῳ πως, ἡ δ' ἐπιθυμία οὔ. αἰσχίων οὖν· ὁ μὲν γὰρ τοῦ θυμοῦ ἀκρατής, τοῦ λόγου πως ἡττᾶται, ὁ δὲ τῆς ἐπιθυμίας οὐ τοῦ λόγου. ἔτι ταῖς φυσικαῖς μᾶλλον συγγνώμη ἀκολουθεῖν ὀρέξεσιν, ἐπεὶ καὶ ἐπιθυμίαις ταῖς τοιαύταις μᾶλλον ὅσαι κοιναὶ πᾶσι, καὶ ἐφ' ὅσον κοιναί. ὁ δὲ θυμὸς φυσικώτερον καὶ ἡ χαλεπότης τῶν ἐπιθυμιῶν τῆς ὑπερβολῆς καὶ τῶν μὴ ἀναγκαίων, ὥσπερ ὁ ἀπολογούμενος ὅτι τὸν πατέρα τύπτοι, καὶ γὰρ οὗτος ἔφη τὸν ἑαυτοῦ κἀκεῖνος τὸν ἄνωθεν. καὶ τὸ παιδίον δείξας, καὶ οὗτος ἐμὲ ἔφη ὅταν ἀνὴρ γένηται· συγγενὲς γὰρ ἡμῖν. καὶ ὁ ἑλκόμενος ὑπὸ τοῦ υἱοῦ παύεσθαι ἐκέλευε πρὸς ταῖς θύραις· καὶ γὰρ αὐτὸς ἑλκύσαι τὸν πατέρα μέχρις ἐνταῦθα. ἔτι ἀδικώτεροι οἱ ἐπιβουλότεροι. ὁ μὲν οὖν θυμώδης οὐκ ἐπίβουλος, οὐδ' ὁ θυμός, ἀλλὰ φανερός· ἡ δ' ἐπιθυμία, καθάπερ τὴν Ἀφροδίτην φασί, δολοπλόκου γὰρ Κυπρογενοῦς, καὶ τὸν κεστὸν ἱμάντα Ὅμηρος, πάρφασις ἥ τ' ἔκλεψε νόον πύκα περ φρονέοντος. ὥστ' εἴπερ ἀδικωτέρα καὶ αἰσχίων ἡ ἀκρασία

αὕτη.

*Περὶ τοῦ θυμοῦ. ζ.*

*[F]urore, pulchra*

*[A]pud aristophanem in nubibus haec ut [...]nto.*

*Homer?*

*[d]e Cesto veneris*



αὕτη τῆς περὶ τὸν θυμόν· ἔστι καὶ ἁπλῶς ἀκρασία καὶ κακία πως. ἔτι οὐδεὶς ὑβρίζει λυπούμενος· ὁ δ' ὑβρίζων μεθ' ἡδονῆς. εἰ οὖν οἷς ὀργίζεσθαι μάλιστα δίκαιον, ταῦτα ἀδικώτερα, καὶ ἡ ἀκρασία ἡ δι' ἐπιθυμίαν· οὐ γάρ ἐστιν ἐν θυμῷ ὕβρις. ὡς μὲν οὖν αἰσχίων ἡ περὶ ἐπιθυμίας ἀκρασία τῆς περὶ τὸν θυμόν, καὶ ὅτι ἐστὶν ἡ ἐγκράτεια καὶ ἡ ἀκρασία περὶ ἐπιθυμίας καὶ ἡδονὰς σωματικάς, δῆλον. αὐτῶν δὲ τούτων τὰς διαφορὰς ληπτέον. ὥσπερ γὰρ εἴρηται κατ' ἀρχάς, αἱ μὲν ἀνθρώπιναί εἰσι καὶ φυσικαὶ καὶ τῷ γένει καὶ τῷ μεγέθει, αἱ δὲ θηριώδεις, αἱ δὲ διὰ πηρώσεις καὶ νοσήματα. τούτων δὲ περὶ τὰς πρώτας σωφροσύνη καὶ ἀκολασία ἐστί. διὸ καὶ τὰ θηρία οὔτε σώφρονα οὔτ' ἀκόλαστα λέγομεν, ἀλλ' ἢ κατὰ μεταφορὰν καὶ εἴ τινι ὅλως ἄλλο πρὸς ἄλλο διαφέρει γένος τῶν ζῴων ὕβρει καὶ σιναμωρίᾳ καὶ τῷ παμφάγον εἶναι· οὐ γὰρ ἔχει προαίρεσιν οὐδὲ λογισμόν, ἀλλ' ἐξέστηκε τῆς φύσεως, ὥσπερ οἱ μαινόμενοι τῶν ἀνθρώπων. ἔλαττον δὲ θηριότης κακίας, φοβερώτερον δέ· οὐ γὰρ διέφθαρται τὸ βέλτιον ὥσπερ ἐν τῷ ἀνθρώπῳ, ἀλλ' οὐκ ἔχει. ὅμοιον οὖν ὥσπερ ἄψυχον συμβάλλειν πρὸς ἔμψυχον κάκιον· ἀσινεστέρα γὰρ ἡ φαυλότης ἀεὶ ἡ τοῦ μὴ ἔχοντος ἀρχήν, ὁ δὲ νοῦς ἀρχή. παραπλήσιον οὖν τὸ συμβάλλειν ἀδικίαν πρὸς ἄνθρωπον ἄδικον. ἔστι γὰρ ὡς ἑκάτερον κάκιον. μυριοπλάσια γὰρ ἂν κακὰ ποιήσειεν ἄνθρωπος κακὸς θηρίου. περὶ δὲ τὰς δι' ἁφῆς καὶ γεύσεως ἡδονὰς καὶ λύπας καὶ ἐπιθυμίας καὶ φυγάς, περὶ ἃς ἥ τε ἀκολασία καὶ ἡ σωφροσύνη διωρίσθη πρότερον, ἔστι μὲν οὕτως ἔχειν ὥστε ἡττᾶσθαι καὶ ὧν οἱ πολλοὶ κρείττους. ἔστι δὲ κρατεῖν καὶ ὧν οἱ πολλοὶ ἥττους. τούτων δ' ὁ μὲν περὶ ἡδονὰς ἀκρατής, ὁ δ' ἐγκρατής, ὁ δὲ περὶ λύπας μαλακός, ὁ δὲ καρτερικός. μεταξὺ δ' ἡ τῶν πλείστων ἕξις, κἂν εἰ ῥέπωσι μᾶλλον πρὸς τὰς χείρους. ἐπεὶ δ' ἔνιαι τῶν ἡδονῶν ἀναγκαῖαί εἰσι μέχρι τινός, αἱ δ' ὑπερβολαὶ οὐδ' αἱ ἐλλείψεις, ὁμοίως δὲ καὶ περὶ ἐπιθυμίας ἔχει καὶ λύπας, ὁ μὲν τὰς ὑπερβολὰς διώκων τῶν ἡδέων ἢ καθ' ὑπερβολάς,

*ὁ δὲ νοῦς ἀρχ*

ἢ διὰ προαίρεσιν δι' αὐτὰς καὶ μηδὲν δι' ἕτερον ἀποβαῖνον ἀκόλαστος· ἀνάγκη γὰρ τοῦτον μὴ εἶναι μεταμελητικόν, ὥστ' ἀνίατος. ὁ γὰρ ἀμεταμέλητος ἀνίατος. ὁ δ' ἐλλείπων ὁ ἀντικείμενος. ὁ δὲ μέσος σώφρων. ὁμοίως δὲ καὶ ὁ φεύγων τὰς σωματικὰς λύπας μὴ δι' ἧτταν ἀλλὰ διὰ προαίρεσιν. τῶν δὲ μὴ προαιρουμένων ὁ μὲν ἄγεται διὰ τὴν ἡδονήν, ὁ δὲ διὰ τὸ φεύγειν τὴν λύπην ἀπὸ τῆς ἐπιθυμίας. ὥστε διαφέρουσιν ἀλλήλων. παντὶ δ' ἂν δόξειε χείρων εἶναι, εἴ τις μὴ ἐπιθυμῶν ἢ ἠρέμα πράττοι τι αἰσχρόν, ἢ εἰ σφόδρα ἐπιθυμῶν, καὶ εἰ μὴ ὀργιζόμενος τύπτοι, ἢ εἰ ὀργιζόμενος. τί γὰρ ἂν ἐποίει ἐν πάθει ὤν; διὸ ὁ ἀκόλαστος χείρων τοῦ ἀκρατοῦς. τῶν δὴ λεχθέντων, τὸ μὲν μαλακίας εἶδος μᾶλλον, ὁ δ' ἀκόλαστος. ἀντίκειται δὲ τῷ μὲν ἐγκρατεῖ ὁ ἀκρατής, τῷ δὲ μαλακῷ ὁ καρτερικός. τὸ μὲν γὰρ καρτερεῖν ἐστὶν ἐν τῷ ἀντέχειν, ἡ δ' ἐγκράτεια ἐν τῷ κρατεῖν. ἕτερον δὲ τὸ ἀντέχειν καὶ κρατεῖν, ὥσπερ καὶ τὸ μὴ ἡττᾶσθαι τοῦ νικᾶν. διὸ καὶ αἱρετώτερον ἐγκράτεια καρτερίας ἐστίν. ὁ δ' ἐλλείπων πρὸς ἃ οἱ πολλοὶ καὶ ἀντιτείνουσι καὶ δύνανται, οὗτος μαλακὸς καὶ τρυφῶν. καὶ γὰρ ἡ τρυφὴ μαλακία τίς ἐστιν. ὃς ἕλκει τὸ ἱμάτιον ἵνα μὴ πονήσῃ τὴν ἀπὸ τοῦ αἴρειν λύπην, καὶ μιμούμενος τὸν κάμνοντα οὐκ οἴεται ἄθλιος εἶναι, ἀθλίῳ ὅμοιος ὤν. ὁμοίως δ' ἔχει καὶ περὶ ἐγκράτειαν καὶ ἀκρασίαν. οὐ γὰρ εἴ τις ἰσχυρῶν καὶ ὑπερβαλλουσῶν ἡδονῶν ἡττᾶται ἢ λυπῶν, θαυμαστὸν, ἀλλὰ συγγνωμονικὸν εἰ ἀντιτείνων, ὥσπερ ὁ Θεοδέκτου Φιλοκτήτης ὑπὸ τοῦ ἔχεως πεπληγμένος, ἢ ὁ Καρκίνου ἐν τῇ ἀλώπῃ κερκύων, καὶ ὥσπερ οἱ κατέχειν πειρώμενοι τὸν γέλωτα ἀθρόοι ἐκκαγχάζουσιν, οἷον συνέπεσε Ξενοφάντῳ. ἀλλ' εἴ τις πρὸς ἃς οἱ πολλοὶ δύνανται ἀντέχειν, τούτων ἡττᾶται, καὶ μὴ δύναται ἀντιτείνειν, μὴ διὰ φύσιν τοῦ γένους ἢ διὰ νόσον, οἷον ἐν τοῖς Σκυθῶν βασιλεῦσιν ἡ μαλακία διὰ τὸ γένος, καὶ ὡς τὸ θῆλυ πρὸς τὸ ἄρρεν διέστηκε. δοκεῖ δὲ καὶ ὁ παιδιώδης ἀκόλαστος εἶναι. ἔστι δὲ μαλακός. ἡ γὰρ παιδιὰ ἄνεσίς ἐστιν, εἴπερ οὖν ἀνάπαυσις. τῶν δὲ πρὸς ταύτην ὑπερβαλλόντων

ὁ παι

[Marginalia: μαλακός — Cōtr. — καρτερικός; Meliorē ee cōtinē|tiam cōstātia; Qui trahit vestem | ne laboret alleuās; Theodectes; Carcinus; Xenophātes]



ὁ παιδιώδης ἐστίν. ἀκρασίας δὲ, τὸ μὲν προπέτεια, τὸ δ' ἀσθένεια. οἱ μὲν γὰρ βουλευσάμενοι οὐκ ἐμμένουσιν οἷς ἐβουλεύσαντο διὰ τὸ πάθος, οἱ δὲ διὰ τὸ μὴ βουλεύσασθαι ἄγονται ὑπὸ τοῦ πάθους. ἔνιοι δ' ὥσπερ προγαργαλίσαντες οὐ γαργαλίζονται, οὕτω καὶ προαισθανόμενοι καὶ προϊδόντες καὶ προεγείραντες ἑαυτοὺς καὶ τὸν λογισμὸν, οὐχ ἡττῶνται ὑπὸ τοῦ πάθους, οὔτ' ἂν ἡδὺ ᾖ, οὔτ' ἂν λυπηρόν. μάλιστα δ' οἱ ὀξεῖς καὶ μελαγχολικοὶ τὴν προπετῆ ἀκρασίαν εἰσὶν ἀκρατεῖς. οἱ μὲν γὰρ διὰ τὴν ταχυτῆτα, οἱ δὲ διὰ τὴν σφοδρότητα οὐκ ἀναμένουσι τὸν λόγον, διὰ τὸ ἀκολουθητικοὶ εἶναι τῇ φαντασίᾳ. ἔστι δ' ὁ μὲν ἀκόλαστος ὥσπερ ἐλέχθη, οὐ μεταμελητικὸς πᾶς. διὸ οὐχ ὥσπερ ἠπορήσαμεν οὕτω καὶ ἔχει. ἀλλ' ὁ μὲν ἀνίατος, ὁ δ' ἰατός. ἔοικε γὰρ ἡ μὲν μοχθηρία τῶν νοσημάτων οἷον ὑδέρῳ καὶ φθίσει, ἡ δ' ἀκρασία τοῖς ἐπιληπτικοῖς. ἡ μὲν γὰρ συνεχὴς, ἡ δ' οὐ συνεχὴς πονηρία. καὶ ὅλως δ' ἕτερον τὸ γένος ἀκρασίας καὶ κακίας. ἡ μὲν γὰρ κακία λανθάνει, ἡ δ' ἀκρασία οὐ λανθάνει. αὐτῶν δὲ τούτων βελτίους οἱ ἐκστατικοὶ ἢ οἱ τὸν λόγον μὲν ἔχοντες, μὴ ἐμμένοντες δέ. ὑπ' ἐλάττονος γὰρ πάθους ἡττῶνται, καὶ οὐκ ἀπροβούλευτοι ὥσπερ ἄπειροι. ὅμοιος γὰρ ὁ ἀκρατής ἐστι τοῖς ταχὺ μεθυσκομένοις καὶ ὑπ' ὀλίγου οἴνου καὶ ἐλάττονος, ἢ ὡς οἱ πολλοί. ὅτι μὲν οὖν κακία ἡ ἀκρασία οὐκ ἔστι, φανερόν. ἀλλὰ πῃ ἴσως. τὸ μὲν γὰρ παρὰ προαίρεσιν, τὸ δὲ κατὰ τὴν προαίρεσίν ἐστιν. οὐ μὴν ἀλλ' ὅμοιόν γε κατὰ τὰς πράξεις, ὥσπερ τὸ Δημοδόκου εἰς Μιλησίους. Μιλήσιοι ἀξύνετοι μὲν οὐκ εἰσὶ, δρῶσι δ' οἷάπερ οἱ ἀξύνετοι. καὶ οἱ ἀκρατεῖς ἄδικοι μὲν οὐκ εἰσὶν, ἀδικήσουσι δέ. ἐπεὶ δ' ὁ μὲν τοιοῦτος, οἷος μὴ διὰ τὸ πεπεῖσθαι διώκειν τὰς καθ' ὑπερβολὴν καὶ παρὰ τὸν ὀρθὸν λόγον σωματικὰς ἡδονάς, ὁ δὲ πέπεισται διὰ τὸ τοιοῦτος εἶναι οἷος διώκειν αὐτάς, ἐκεῖνος μὲν οὖν εὐμετάπειστος, οὗτος δ' οὔ. ἡ γὰρ ἀρετὴ καὶ μοχθηρία τὴν ἀρχὴν ἡ μὲν φθείρει, ἡ δὲ σῴζει. ἐν δὲ ταῖς πράξεσι τὸ οὗ ἕνεκα ἀρχή, ὥσπερ ἐν τοῖς μαθηματικοῖς αἱ ὑποθέσεις.

[Marginalia: Demodocus de mi|lesijs nota; ἐν ταῖς πράξεσι τὸ οὗ ἕνεκα ἀρχή]

οὔτε δὴ ἐκεῖ ὁ λόγος διδασκαλικὸς τῶν ἀρχῶν, οὔτε ἐν τούτοις. ἀλλ᾽ ἀρετὴ ἢ φυσικὴ ἢ ἐθιστὴ τοῦ ὀρθοδοξεῖν περὶ τὴν ἀρχήν. σώφρων μὲν οὖν ὁ τοιοῦτος· ἀκόλαστος δ᾽ ὁ ἐναντίος. ἔστι δέ τις διὰ τὸ πάθος ἐκστατικὸς παρὰ τὸν ὀρθὸν λόγον· ὃν ὥστε μὲν μὴ πράττειν κατὰ τὸν ὀρθὸν λόγον, κρατεῖ τὸ πάθος· ὥστε δ᾽ εἶναι τοιοῦτον οἷον πεπεῖσθαι διώκειν ἀναίδην δεῖν τὰς τοιαύτας ἡδονάς, οὐ κρατεῖ· οὗτός ἐστιν ὁ ἀκρατής, βελτίων ὢν τοῦ ἀκολάστου· οὐδὲ φαῦλος ἁπλῶς· σώζεται γὰρ τὸ βέλτιστον ἡ ἀρχή. ἄλλος δ᾽ ἐναντίος ὁ ἐμμενετικὸς καὶ οὐκ ἐκστατικός, διά γε τὸ πάθος. φανερὸν δὴ ἐκ τούτων ὅτι ἡ μὲν σπουδαία ἕξις, ἡ δὲ φαύλη. πότερον οὖν ἐγκρατής ἐστιν ὁ ὁποιῳοῦν λόγῳ καὶ ὁποιᾳοῦν προαιρέσει ἐμμένων ἢ τῇ ὀρθῇ· καὶ ἀκρατὴς δὲ ὁ ὁποιᾳοῦν προαιρέσει μὴ ἐμμένων καὶ ὁποιῳοῦν λόγῳ, ἢ ὁ τῷ ψευδεῖ λόγῳ καὶ ὁ τῇ προαιρέσει τῇ μὴ ὀρθῇ· ὥσπερ ἠπορήθη πρότερον. ἢ κατὰ μὲν συμβεβηκὸς ὁ ὁποιᾳοῦν· καθ᾽ αὑτὸ δὲ ὁ τῷ ἀληθεῖ λόγῳ καὶ τῇ προαιρέσει τῇ ὀρθῇ ὁ μὲν ἐμμένει, ὁ δ᾽ οὐκ ἐμμένει· εἰ γάρ τις τοδὶ διὰ τοδὶ αἱρεῖται ἢ διώκει, καθ᾽ αὑτὸ μὲν τοῦτο διώκει καὶ αἱρεῖται· κατὰ συμβεβηκὸς δὲ τὸ πρότερον. ἁπλῶς δὲ λέγομεν τὸ καθ᾽ αὑτό. ὥστε ἔστι μὲν ὡς ὁποιᾳοῦν δόξῃ ὁ μὲν ἐμμένει· ὁ δ᾽ ἐξίσταται. ἁπλῶς δὲ ὁ τῇ ἀληθεῖ. εἰσὶ δέ τινες οἳ ἐμμενετικοὶ τῇ δόξῃ εἰσίν· οὓς καλοῦσιν ἰσχυρογνώμονας· οἱ δύσπειστοι καὶ οὐκ εὐμετάπειστοι, οἳ ὅμοιον μέν τι ἔχουσι τῷ ἐγκρατεῖ· οἷον ὁ ἄσωτος ἐλευθερίῳ, καὶ ὁ θρασὺς τῷ θαρραλέῳ. εἰσὶ δ᾽ ἕτεροι κατὰ πολλά. ὁ μὲν γὰρ διὰ πάθος καὶ ἐπιθυμίαν οὐ μεταβάλλει ὁ ἐγκρατής· ἐπεὶ εὔπειστος ὅταν τύχῃ ἔσται ὁ ἐγκρατής· οἱ δέ, οὐχ ὑπὸ λόγου· ἐπεὶ ἐπιθυμίας γε λαμβάνουσι, καὶ ἄγονται πολλοὶ ὑπὸ τῶν ἡδονῶν. εἰσὶ δὲ ἰσχυρογνώμονες οἱ ἰδιογνώμονες, καὶ οἱ ἀμαθεῖς καὶ οἱ ἄγροικοι· οἱ μὲν ἰδιογνώμονες, δι᾽ ὑπερβολὴν καὶ λύπην· χαίρουσι γὰρ νικῶντες ἐὰν μὴ μεταπείθωνται· καὶ λυποῦνται ἂν ἄκρα τὰ αὐτῶν ᾖ ὥσπερ ψηφίσματα· ὥστε μᾶλλον τῷ ἀκρατεῖ

ἰσχυρογνώμονες te|naces propositi
δύσπιστοι
εὐμετάπιστοι

οἱ ἰσχυρογνώμονες οἱ ἰδιογνώμονες καὶ οἱ ἀμαθεῖς καὶ οἱ ἄγροικοι · &c.

∴ f. ἄχυρα



ἀκρατεῖ ἐοίκασιν ἢ τῷ ἐγκρατεῖ. εἰσὶ δέ τινες οἳ τοῖς δόξασιν οὐκ ἐμμένουσιν οὐ δι᾽ ἀκρασίαν· οἷον ἐν τῷ Φιλοκτήτῃ τῷ Σοφοκλέους ὁ Νεοπτόλεμος· καίτοι δι᾽ ἡδονὴν οὐκ ἐνέμεινεν· ἀλλὰ καλήν· τὸ γὰρ ἀληθεύειν αὐτῷ καλὸν ἦν· ἐπείσθη δ᾽ ὑπὸ τοῦ Ὀδυσσέως ψεύδεσθαι. οὐ γὰρ πᾶς ὁ δι᾽ ἡδονήν τι πράττων· οὔτ᾽ ἀκόλαστος· οὔτε φαῦλος· οὔτ᾽ ἀκρατής· ἀλλ᾽ ὁ δι᾽ αἰσχράν. ἐπεὶ δ᾽ ἔστι τις καὶ τοιοῦτος, οἷος ἧττον ἢ δεῖ τοῖς σωματικοῖς χαίρων καὶ οὐκ ἐμμένων τῷ λόγῳ ὁ τοιοῦτος, τούτου καὶ τοῦ ἀκρατοῦς μέσος ὁ ἐγκρατής· ὁ μὲν γὰρ ἀκρατὴς οὐκ ἐμμένει τῷ λόγῳ, διὰ τὸ μᾶλλόν τι· οὗτος δὲ διὰ τὸ ἧττόν τι· ὁ δ᾽ ἐγκρατὴς ἐμμένει· καὶ οὐδὲ δι᾽ ἕτερον μεταβάλλει. δεῖ δὲ εἴπερ ἡ ἐγκράτεια σπουδαῖον, ἀμφοτέρας τὰς ἐναντίας ἕξεις φαύλας εἶναι ὥσπερ καὶ φαίνεται. ἀλλὰ διὰ τὸ τὴν ἑτέραν ἐν ὀλίγοις καὶ ὀλιγάκις εἶναι φανεράν· ὥσπερ ἡ σωφροσύνη τῇ ἀκολασίᾳ δοκεῖ ἐναντία εἶναι μόνον, οὕτω καὶ ἡ ἐγκράτεια τῇ ἀκρασίᾳ. ἐπεὶ δὲ καθ᾽ ὁμοιότητα πολλὰ λέγεται, καὶ ἡ ἐγκράτεια ἡ τοῦ σώφρονος, καθ᾽ ὁμοιότητα ἠκολούθηκεν· ὅ, τε γὰρ ἐγκρατὴς οἷος μηδὲν παρὰ τὸν λόγον διὰ τὰς σωματικὰς ἡδονὰς ποιεῖν, καὶ ὁ σώφρων· ἀλλ᾽ ὁ μὲν ἔχων, ὁ δ᾽ οὐκ ἔχων φαύλας ἐπιθυμίας· καὶ ὁ μὲν τοιοῦτος οἷος μὴ ἥδεσθαι παρὰ τὸν λόγον· ὁ δ᾽ οἷος ἥδεσθαι ἀλλὰ μὴ ἄγεσθαι. ὅμοιοι δὲ καὶ ὁ ἀκρατὴς καὶ ὁ ἀκόλαστος· ἕτεροι μὲν ὄντες, ἀμφότεροι δὲ τὰ σωματικὰ ἡδέα διώκουσιν· ἀλλ᾽ ὁ μέν, καὶ οἰόμενος δεῖν· ὁ δ᾽ οὐκ οἰόμενος. οὐδ᾽ ἅμα φρόνιμον καὶ ἀκρατῆ ἐνδέχεται εἶναι τὸν αὐτόν· ἅμα γὰρ φρόνιμος καὶ σπουδαῖος τὸ ἦθος δέδεικται ὤν. ἔτι, οὐ τῷ εἰδέναι μόνον φρόνιμος, ἀλλὰ καὶ τῷ πρακτικός· ὁ δ᾽ ἀκρατὴς οὐ πρακτικός. τὸν δὲ δεινὸν οὐδὲν κωλύει ἀκρατῆ εἶναι· διὸ καὶ δοκοῦσιν ἐνίοτε φρόνιμοι μὲν εἶναί τινες, ἀκρατεῖς δὲ διὰ τὸ τὴν δεινότητα διαφέρειν τῆς φρονήσεως τὸν εἰρημένον τρόπον ἐν τοῖς πρώτοις λόγοις· καὶ κατὰ μὲν τὸν λόγον ἐγγὺς εἶναι· διαφέρειν δὲ κατὰ τὴν προαίρεσιν· οὐδὲ δὴ ὡς ὁ εἰδὼς καὶ

Sophocles

προαίρεσις

Anaxadrides

Pulcherrima copa ratio incontinentis & improbi

ῥᾷον ἔθος μετακινῆσαι φύσεως

Euenus

De Voluptate & aegrimonia

μακάριος ἀπὸ τοῦ χαίρειν dictus

θεωρῶν· ἀλλ' ὡς ὁ καθεύδων ἢ οἰνωμένος. καὶ ἑκὼν μὲν, τρόπον γάρ τινα εἰδὼς καὶ ὃ ποιεῖ καὶ οὗ ἕνεκα· πονηρὸς δ' οὔ· ἡ γὰρ προαίρεσις ἐπιεικής· ὥστε ἐστὶ μὴ πονηρὸς καὶ οὐκ ἄδικος· οὐ γάρ ἐστιν ἐπίβουλος· ὁ μὲν γὰρ αὐτῶν οὐκ ἐμμενετικός, οἷς ἂν βουλεύσηται· ὁ δὲ μελαγχολικὸς οὐδὲ βουλευτικὸς ὅλως. καὶ ἔοικε δὴ ὁ ἀκρατὴς πόλει, ἣ ψηφίζεται μὲν ἅπαντα τὰ δέοντα καὶ νόμους ἔχει σπουδαίους· χρῆται δ' οὐδέν· ὥσπερ Ἀναξανδρίδης ἔσκωψεν· ἡ πόλις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει· ὁ δὲ πονηρός, χρωμένῃ μὲν ἡ μὲν τοῖς νόμοις, πονηροῖς δὲ χρωμένῃ. ἔστι δ' ἡ ἀκρασία καὶ ἐγκράτεια περὶ τῶν ὑπερβαλλόντων τῆς τῶν πολλῶν ἕξεως· ὁ μὲν γὰρ ἐμμένει μᾶλλον, ὁ δ' ἧττον τῆς τῶν πλείστων δυνάμεως. εὐιατοτέρα δὲ τῶν ἀκρασιῶν, ἣν οἱ μελαγχολικοὶ ἀκρατεύονται, τῶν βουλευομένων μὲν μὴ ἐμμενόντων δὲ, καὶ οἱ δι' ἐθισμοῦ ἀκρατεῖς τῶν φυσικῶν· ῥᾷον γὰρ ἔθος μετακινῆσαι φύσεως· διὰ γὰρ τοῦτο καὶ τὸ ἔθος χαλεπόν, ὅτι τῇ φύσει ἔοικεν· ὥσπερ καὶ Εὔηνος λέγει· φημὶ πολυχρόνιον μελέτην ἔμεναι φίλε· καὶ δὴ ταύτην ἀνθρώποισι τελευτῶσαν φύσιν εἶναι. τί μὲν οὖν ἐστὶν ἐγκράτεια καὶ τί ἀκρασία, καὶ τί καρτερία καὶ τί μαλακία, καὶ πῶς ἔχουσιν αἱ ἕξεις αὗται πρὸς ἀλλήλας, εἴρηται. περὶ δὲ ἡδονῆς καὶ λύπης θεωρῆσαι τοῦ τὴν πολιτικὴν φιλοσοφοῦντος· οὗτος γὰρ τοῦ τέλους ἀρχιτέκτων, πρὸς ὃ βλέποντες ἕκαστον, τὸ μὲν κακὸν τὸ δ' ἀγαθὸν ἁπλῶς λέγομεν. ἔτι δὲ καὶ τῶν ἀναγκαίων ἐπισκέψασθαι περὶ αὐτῶν· τήν τε γὰρ ἀρετὴν καὶ τὴν κακίαν τὴν ἠθικὴν περὶ λύπας καὶ ἡδονὰς ἔθεμεν· καὶ τὴν εὐδαιμονίαν οἱ πλεῖστοι μεθ' ἡδονῆς εἶναί φασι· διὸ καὶ τὸν μακάριον ὠνομάκασιν ἀπὸ τοῦ χαίρειν. τοῖς μὲν οὖν δοκεῖ οὐδεμία ἡδονὴ εἶναι ἀγαθόν, οὔτε καθ' αὑτὸ οὔτε κατὰ συμβεβηκός· οὐ γὰρ εἶναι τὸ αὐτὸ ἀγαθὸν καὶ ἡδύ· τοῖς δ' ἔνιαι μὲν εἶναι, αἱ δὲ πολλαὶ φαῦλαι. ἔτι δὲ τούτων τρίτον, εἰ καὶ πᾶσαι ἀγαθόν, ὅμως μὴ ἐνδέχεσθαι εἶναι τὸ ἄριστον ἡδονήν. ὅλως μὲν οὖν οὐκ ἀγαθόν, ὅτι πᾶσα ἡδονὴ γένεσίς ἐστιν εἰς

φύσιν



φύσιν αἰσθητήν· οὐδεμία δὲ γένεσις συγγενὴς τοῖς τέλεσιν· οἷον οὐδεμία οἰκοδόμησις οἰκίᾳ. ἔτι ὁ σώφρων φεύγει τὰς ἡδονάς. ἔτι ὁ φρόνιμος τὸ ἄλυπον διώκει, οὐ τὸ ἡδύ. ἔτι ἐμπόδιον τῷ φρονεῖν αἱ ἡδοναί· καὶ ὅσῳ μᾶλλον χαίρει, μᾶλλον· τῇ τῶν ἀφροδισίων· οὐδένα γὰρ ἂν δύνασθαι νοῆσαί τι ἐν αὐτῇ. ἔτι τέχνη οὐδεμία ἡδονῆς· καίτοι πᾶν ἀγαθὸν τέχνης ἔργον. ἔτι παιδία καὶ θηρία διώκει τὰς ἡδονάς. τοῦ δὲ μὴ πάσας σπουδαίας, ὅτι εἰσὶ καὶ αἰσχραὶ καὶ ὀνειδιζόμεναι· καὶ ὅτι βλαβεραί· νοσώδη γὰρ ἔνια τῶν ἡδέων. ἔτι δ' οὐκ ἄριστον ἡ ἡδονή, ὅτι οὐ τέλος ἀλλὰ γένεσις. τὰ μὲν οὖν λεγόμενα ταῦτ' ἐστὶ σχεδόν. ὅτι δ' οὐ συμβαίνει διὰ ταῦτα μὴ εἶναι ἀγαθὸν μηδὲ τὸ ἄριστον, ἐκ τῶνδε δῆλον. πρῶτον μὲν ἐπεὶ τὸ ἀγαθὸν διχῶς, τὸ μὲν γὰρ ἁπλῶς τὸ δὲ τινί, καὶ αἱ φύσεις καὶ αἱ ἕξεις ἀκολουθήσουσιν· ὥστε καὶ αἱ κινήσεις καὶ αἱ γενέσεις ἀκολουθήσουσι· καὶ αἱ φαῦλαι δοκοῦσαι ἁπλῶς φαῦλαι, τινὶ δ' οὔ· αἱ δὲ, οὐδ' ἡδοναί· ἀλλὰ φαίνονται, ὅσαι μετὰ λύπης καὶ ἰατρείας ἕνεκεν· οἷον αἱ τῶν καμνόντων. ἔτι ἐπεὶ τοῦ ἀγαθοῦ τὸ μὲν ἐνέργεια τὸ δ' ἕξις, κατὰ συμβεβηκὸς αἱ καθιστᾶσαι εἰς τὴν φυσικὴν ἕξιν ἡδεῖαί εἰσιν· ὅτι αἱ ἐνέργειαι ἐν ταῖς ἐπιθυμίαις τῆς ὑπολοίπου ἕξεως καὶ φύσεως· ἐπεὶ καὶ ἄνευ λύπης καὶ ἐπιθυμίας εἰσὶν ἡδοναί· οἷον αἱ τοῦ θεωρεῖν ἐνέργειαι, τῆς φύσεως οὐκ ἐνδεοῦς οὔσης. σημεῖον δ' ὅτι οὐ τῷ αὐτῷ ἡδεῖ χαίρουσιν ἀναπληρουμένης τε τῆς φύσεως καὶ καθεστηκυίας· ἀλλὰ καθεστηκυίας μὲν τοῖς ἁπλῶς ἡδέσιν, ἀναπληρουμένης δὲ καὶ τοῖς ἐναντίοις· καὶ γὰρ ὀξέσι καὶ πικροῖς χαίρουσιν, ὧν οὐδὲν οὔτε φύσει ἡδύ, οὔθ' ἁπλῶς ἡδύ· ὥστ' οὐδ' ἡδοναί· ὡς γὰρ τὰ ἡδέα πρὸς ἄλληλα συνέστηκεν, οὕτω καὶ αἱ ἡδοναὶ αἱ ἀπὸ τούτων. ἔτι οὐκ ἀνάγκη ἕτερόν τι εἶναι βέλτιον τῆς ἡδονῆς, ὥσπερ τινές φασι τὸ τέλος τῆς γενέσεως· οὐ γὰρ γενέσεις εἰσὶν οὐδὲ μετὰ γενέσεως πᾶσαι, ἀλλ' ἐνέργειαι καὶ τέλος· οὐδὲ γινομένων συμβαίνουσιν, ἀλλὰ χρωμένων· καὶ τέλος οὐ πασῶν ἕτερόν τι, ἀλλὰ τῶν εἰς τελείωσιν ἀγομένων

τῆς φύσεως. διὸ οὐ καλῶς ἔχει τὸ αἰσθητὴν γένεσιν φάναι εἶναι τὴν ἡδονήν. ἀλλὰ μᾶλλον λεκτέον ἐνέργειαν τῆς κατὰ φύσιν ἕξεως. ἀντὶ δὲ τοῦ αἰσθητὴν, ἀνεμπόδιστον. δοκεῖ δὲ γένεσις εἶναι ὅτι κυρίως ἀγαθόν. τὴν γὰρ ἐνέργειαν γένεσιν οἴονται εἶναι. ἔστι δ' ἕτερον. τὸ δ' εἶναι φαύλας ὅτι νοσώδη ἔνια ἡδέα, τὸ αὐτὸ ὅτι ὑγιεινὰ ἔνια, φαῦλα πρὸς χρηματισμόν. ταύτῃ οὖν φαῦλα ἄμφω. ἀλλ' οὐ φαῦλα κατά γε τοῦτο. ἐπεὶ καὶ τὸ θεωρεῖν, ποτὲ βλάπτει πρὸς ὑγίειαν. ἐμποδίζει δὲ οὔτε φρονήσει οὔθ' ἕξει οὐδεμιᾷ ἡ ἀφ' ἑκάστης ἡδονή. ἀλλ' αἱ ἀλλότριαι. ἐπεὶ καὶ αἱ ἀπὸ τοῦ θεωρεῖν καὶ μανθάνειν μᾶλλον ποιήσουσι θεωρεῖν καὶ μανθάνειν. τὸ δὲ τέχνης μὴ εἶναι ἔργον ἡδονὴν μηδεμίαν εὐλόγως συμβέβηκεν. οὐδὲ γὰρ ἄλλης ἐνεργείας οὐδεμιᾶς τέχνη ἐστὶν, ἀλλὰ τῆς δυνάμεως. καίτοι καὶ ἡ μυρεψικὴ τέχνη καὶ ἡ ὀψοποιητικὴ, δοκεῖ ἡδονῆς εἶναι. τὸ δὲ τὸν σώφρονα φεύγειν καὶ τὸν φρόνιμον διώκειν τὸν ἄλυπον βίον, καὶ τὸ τὰ παιδία καὶ τὰ θηρία διώκειν, τῷ αὐτῷ λύεται πάντα. ἐπεὶ γὰρ εἴρηται πῶς ἀγαθαὶ ἁπλῶς καὶ πῶς οὐκ ἀγαθαὶ πᾶσαι αἱ ἡδοναὶ, τὰς τοιαύτας τὰ θηρία καὶ τὰ παιδία διώκει. καὶ τὴν τούτων ἀλυπίαν ὁ φρόνιμος, τὰς μετ' ἐπιθυμίας καὶ λύπης, καὶ τὰς σωματικάς. τοιαῦται γὰρ αὗται. καὶ τὰς τούτων ὑπερβολὰς καθ' ἃς ὁ ἀκόλαστος. διὸ ὁ σώφρων φεύγει ταύτας. ἐπεὶ εἰσὶν ἡδοναὶ καὶ σώφρονος. ἀλλὰ μὴν ὅτι καὶ ἡ λύπη κακὸν ὁμολογεῖται καὶ φευκτόν. ἡ μὲν γὰρ ἁπλῶς κακόν. ἡ δὲ τῷ πῇ ἐμποδιστική. τῷ δὲ φευκτῷ τὸ ἐναντίον, ᾗ φευκτόν τι καὶ κακὸν, ἀγαθόν. ἀνάγκη οὖν τὴν ἡδονὴν ἀγαθόν τι εἶναι. ὡς γὰρ Σπεύσιππος ἔλυεν, οὐ συμβαίνει ἡ λύσις, ὥσπερ τὸ μεῖζον τῷ ἐλάττονι καὶ τῷ ἴσῳ ἐναντίον. οὐ γὰρ ἂν φαίη ὅπερ κακόν τι εἶναι τὴν ἡδονήν. ἄριστόν τ' οὐδὲν κωλύει ἡδονήν τινα εἶναι, εἰ ἔνιαι φαῦλαι ἡδοναὶ, ὥσπερ καὶ ἐπιστήμην τινὰ, ἐνίων φαύλων οὐσῶν. ἴσως δὲ καὶ ἀναγκαῖον, εἴπερ ἑκάστης ἕξεως εἰσὶν ἐνέργειαι ἀνεμπόδιστοι. εἴθ' ἡ πασῶν ἐνέργειά ἐστιν εὐδαιμονία,

Speusipp[us] (marginal note)



εἴτε ἡ τινὸς αὐτῶν, ἂν ᾖ ἀνεμπόδιστος, αἱρετωτάτην εἶναι. τοῦτο δ' ἐστὶν ἡδονή. ὥστε εἴη ἄν τις ἡδονὴ τὸ ἄριστον, τῶν πολλῶν ἡδονῶν φαύλων οὐσῶν, εἰ ἔτυχεν ἁπλῶς. καὶ διὰ τοῦτο πάντες τὸν εὐδαίμονα ἡδὺν οἴονται βίον εἶναι. καὶ ἐμπλέκουσι τὴν ἡδονὴν εἰς τὴν εὐδαιμονίαν εὐλόγως. οὐδεμία γὰρ ἐνέργεια τέλειος ἐμποδιζομένη. ἡ δ' εὐδαιμονία τῶν τελείων. διὸ προσδεῖται ὁ εὐδαίμων τῶν ἐν σώματι ἀγαθῶν, καὶ τῶν ἐκτὸς, καὶ τῆς τύχης, ὅπως μὴ ἐμποδίζηται ταῦτα. οἱ δὲ τὸν τροχιζόμενον καὶ τὸν δυστυχίαις μεγάλαις περιπίπτοντα εὐδαίμονα φάσκοντες εἶναι, ἐὰν ᾖ ἀγαθὸς, ἢ ἑκόντες ἢ ἄκοντες οὐδὲν λέγουσι. διὰ δὲ τὸ προσδεῖσθαι τῆς τύχης, δοκεῖ τισὶ ταὐτὸν εἶναι ἡ εὐτυχία τῇ εὐδαιμονίᾳ, οὐκ οὖσα. ἐπεὶ καὶ αὐτὴ ὑπερβάλλουσα ἐμπόδιός ἐστι. καὶ ἴσως οὐκέτι εὐτυχίαν καλεῖν δίκαιον. πρὸς γὰρ τὴν εὐδαιμονίαν ὁ ὅρος αὐτῆς. καὶ τὸ διώκειν δ' ἅπαντα καὶ θηρία καὶ ἀνθρώπους τὴν ἡδονὴν, σημεῖόν τι τοῦ εἶναι πως τὸ ἄριστον αὐτήν. φήμη δ' οὔτις πάμπαν ἀπόλλυται ἥν τινα πολλοί. ἀλλ' ἐπεὶ οὐχ ἡ αὐτὴ οὔτε φύσις οὔθ' ἕξις ἡ ἀρίστη οὔτ' ἔστιν οὔτε δοκεῖ, οὐδ' ἡδονὴν διώκουσι τὴν αὐτὴν πάντες, ἡδονὴν μέντοι πάντες. ἴσως δὲ καὶ διώκουσιν οὐχ ἣν οἴονται οὐδ' ἣν ἂν φαῖεν, ἀλλὰ τὴν αὐτήν. πάντα γὰρ φύσει ἔχει τι θεῖον. ἀλλ' εἰλήφασι τὴν τοῦ ὀνόματος κληρονομίαν αἱ σωματικαὶ ἡδοναί. διὰ τὸ πλειστάκις τε παραβάλλειν εἰς αὐτὰς καὶ πάντας μετέχειν αὐτῶν. διὰ τὸ μόνας οὖν γνωρίμους εἶναι, ταύτας μόνας οἴονται εἶναι. φανερὸν δὲ καὶ ὅτι εἰ μὴ ἡδονὴ ἀγαθὸν καὶ ἡ ἐνέργεια, οὐκ ἔσται ζῆν ἡδέως τὸν εὐδαίμονα. τίνος γὰρ ἕνεκα δέοι ἂν αὐτῆς, εἴπερ μὴ ἀγαθόν, ἀλλὰ καὶ λυπηρῶς ἐνδέχεται ζῆν. οὔτ' ἀγαθὸν γὰρ οὔτε κακὸν ἡ λύπη, εἴπερ μηδ' ἡδονή. ὥστε διὰ τί ἂν φεύγοι. οὐδὲ δὴ ἡδίων ὁ βίος ὁ τοῦ σπουδαίου, εἰ μὴ καὶ ἡ ἐνέργεια αὐτοῦ. περὶ δὲ δὴ τῶν σωματικῶν ἡδονῶν ἐπισκεπτέον τοῖς λέγουσιν, ὅτι ἔνιαί γε ἡδοναὶ αἱρεταὶ σφόδρα, οἷον αἱ καλαὶ, ἀλλ' οὐχ αἱ σωματικαὶ καὶ περὶ ἃς ὁ ἀ-

Cur beatus indig[eat] bonis externis (marginal note)

τροχιζόμενοι (marginal note)

εὐτυχία οὐκ ὅς εὐδαιμονία (marginal note)

Hesiodus in ἔργα κ[αὶ] ἡμέραι (marginal note)

ἀκόλαστος. διὰ τὸ τὴν ἐναντίαν λύπην μοχθηραί· κακὸν γὰρ ἀγαθῷ ἐναντίον. ἢ οὕτως ἀγαθαὶ αἱ ἀναγκαῖαι, ὅτι καὶ τὸ μὴ κακὸν ἀγαθόν ἐστιν· ἢ μέχρι του ἀγαθαί. τῶν μὲν γὰρ ἕξεων καὶ κινήσεων ὅσων μὴ ἔστι τοῦ βελτίονος ὑπερβολή, οὐδὲ τῆς ἡδονῆς· ὅσων δ' ἔστι, καὶ τῆς ἡδονῆς ἔστιν. ἔστι δὲ τῶν σωματικῶν ἡδονῶν ὑπερβολή, καὶ ὁ φαῦλος τῷ διώκειν τὴν ὑπερβολήν ἐστιν, ἀλλ' οὐ τὰς ἀναγκαίας· πάντες γὰρ χαίρουσί πως καὶ ὄψοις καὶ οἴνοις καὶ ἀφροδισίοις, ἀλλ' οὐχ ὡς δεῖ. ἐναντίως δ' ἐπὶ τῆς λύπης· οὐ γὰρ τὴν ὑπερβολὴν φεύγει, ἀλλ' ὅλως· οὐ γάρ ἐστι τῇ ὑπερβολῇ λύπη ἐναντία, ἀλλ' ἢ τῷ διώκοντι τὴν ὑπερβολήν. ἐπεὶ δ' οὐ μόνον τἀληθὲς δεῖ εἰπεῖν, ἀλλὰ καὶ τὸ αἴτιον τοῦ ψεύδους, τοῦτο γὰρ συμβάλλεται πρὸς τὴν πίστιν· ὅταν γὰρ εὔλογον φανῇ τὸ διὰ τί φαίνεται ἀληθὲς οὐκ ὂν ἀληθές, πιστεύειν ποιεῖ τῷ ἀληθεῖ μᾶλλον. ὥστε λεκτέον διὰ τί φαίνονται αἱ σωματικαὶ ἡδοναὶ αἱρετώτεραι. πρῶτον μὲν οὖν δὴ ὅτι ἐκκρούει τὴν λύπην· καὶ διὰ τὰς ὑπερβολὰς τῆς λύπης, ὡς οὔσης ἰατρείας, τὴν ἡδονὴν διώκουσι τὴν ὑπερβάλλουσαν καὶ ὅλως τὴν σωματικήν. σφοδραὶ δὲ γίνονται αἱ ἰατρεῖαι, διὸ καὶ διώκονται, διὰ τὸ παρὰ τὸ ἐναντίον φαίνεσθαι. καὶ οὐ σπουδαῖον δὴ δοκεῖ ἡ ἡδονὴ διὰ δύο ταῦτα, ὥσπερ εἴρηται, ὅτι αἱ μὲν φαύλης φύσεώς εἰσι πράξεις ἢ ἐκ γενετῆς, ὥσπερ θηρίου, ἢ δι' ἔθος, οἷον αἱ τῶν φαύλων ἀνθρώπων· αἱ δ' ἰατρεῖαι, ὅτι ἐνδεοῦς, καὶ ἔχειν βέλτιον ἢ γίνεσθαι· αἱ δὲ συμβαίνουσι τελεουμένων· κατὰ συμβεβηκὸς οὖν σπουδαῖαι. ἔτι διώκονται διὰ τὸ σφοδραὶ εἶναι ὑπὸ τῶν ἄλλαις μὴ δυναμένων χαίρειν· αὐτοὶ γοῦν αὑτοῖς δίψας τινὰς παρασκευάζουσιν. ὅταν μὲν οὖν ἀβλαβεῖς, ἀνεπιτίμητον, ὅταν δὲ βλαβεράς, φαῦλον· οὔτε γὰρ ἔχουσιν ἕτερα ἐφ' οἷς χαίρουσι, τό τε μηδέτερον πολλοῖς λυπηρὸν διὰ τὴν φύσιν. ἀεὶ γὰρ πονεῖ τὸ ζῷον, ὥσπερ καὶ οἱ φυσικοὶ μαρτυροῦσι, τὸ ὁρᾶν καὶ τὸ ἀκούειν φάσκοντες εἶναι λυπηρόν· ἀλλ' ἤδη συνήθεις ἐσμέν, ὥς φασιν. ὁμοίως δὲ ἐν τῇ νεότητι διὰ τὴν αὔξησιν ὥσπερ

*Pulcherrima sententia*

*Ipsi parant sibi sites quasdam.*

*Semp animal laborare. Labor enim uidere & audire. Sed assueti sumus ut aiunt*



οἱ οἰνωμένοι διάκεινται, καὶ ἡδὺ ἡ νεότης. οἱ δὲ μελαγχολικοὶ τὴν φύσιν δέονται ἀεὶ ἰατρείας· καὶ γὰρ τὸ σῶμα δακνόμενον διατελεῖ διὰ τὴν κρᾶσιν, καὶ ἀεὶ ἐν ὀρέξει σφοδρᾷ εἰσίν· ἐξελαύνει δὲ ἡδονὴ λύπην ἥ τ' ἐναντία καὶ ἡ τυχοῦσα, ἐὰν ᾖ ἰσχυρά· καὶ διὰ ταῦτα ἀκόλαστοι καὶ φαῦλοι γίνονται. αἱ δ' ἄνευ λυπῶν οὐκ ἔχουσιν ὑπερβολήν· αὗται δὲ τῶν φύσει ἡδέων καὶ μὴ κατὰ συμβεβηκός. λέγω δὲ κατὰ συμβεβηκός, ἰατρεύοντα· ὅτι γὰρ συμβαίνει ἰατρεύεσθαι τοῦ ὑπομένοντος ὑγιοῦς πράττοντός τι, διὰ τοῦτο δοκεῖ εἶναι· φύσει δ' ἡδέα ἃ ποιεῖ πρᾶξιν τῆς τοιᾶσδε φύσεως. οὐκ ἀεὶ δ' οὐθὲν ἡδὺ τὸ αὐτὸ διὰ τὸ μὴ ἁπλῆν ἡμῶν εἶναι τὴν φύσιν, ἀλλ' ἐνεῖναί τι καὶ ἕτερον, καθὸ φθαρτά· ὥστ' ἄν τι θάτερον πράττῃ, τοῦτο τῇ ἑτέρᾳ φύσει παρὰ φύσιν· ὅταν δ' ἰσάζῃ, οὔτε λυπηρὸν δοκεῖ οὔθ' ἡδὺ τὸ πραττόμενον. ἐπεὶ εἴ του ἡ φύσις ἁπλῆ εἴη, ἀεὶ ἡ αὐτὴ πρᾶξις ἡδίστη ἔσται. διὸ ὁ θεὸς ἀεὶ μίαν καὶ ἁπλῆν χαίρει ἡδονήν· οὐ γὰρ μόνον κινήσεώς ἐστιν ἐνέργεια, ἀλλὰ καὶ ἀκινησίας, καὶ ἡδονὴ μᾶλλον ἐν ἠρεμίᾳ ἐστὶν ἢ ἐν κινήσει. μεταβολὴ δὲ πάντων γλυκύτατον κατὰ τὸν ποιητήν, διὰ πονηρίαν τινά· ὥσπερ γὰρ ἄνθρωπος εὐμετάβολος ὁ πονηρός, καὶ ἡ φύσις ἡ δεομένη μεταβολῆς· οὐ γὰρ ἁπλῆ, οὐδ' ἐπιεικής. περὶ μὲν οὖν ἐγκρατείας καὶ ἀκρασίας καὶ περὶ ἡδονῆς καὶ λύπης εἴρηται, καὶ τί ἕκαστον καὶ πῶς τὰ μὲν ἀγαθὰ αὐτῶν ἐστι, τὰ δὲ κακά· λοιπὸν δὲ περὶ φιλίας ἐροῦμεν.

*Nō idē semp esse nobis iucundū & cur.*

*Actionē nō solū esse motus sed et quietis*

*Homer.*

*Varietatē esse [illegible] cissimā*

*Homo leuis & inconstans malus.*

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΩΝ ΕΥΔΗΜΕΙΩΝ· ΤΟ Η·

De Amicitia

Περὶ φιλίας τί ἐστι καὶ ποῖόν τι, καὶ τίς ὁ φίλος, καὶ πότερον μοναχῶς λέγεται ἡ φιλία ἢ πλεοναχῶς, καὶ εἰ πλεοναχῶς πόσα ταῦτ' ἐστιν, ἔτι δὲ πῶς χρηστέον τῷ φίλῳ, καὶ τί τὸ δίκαιον τὸ φιλικόν, ἐπισκεπτέον οὐθενὸς ἧττον τῶν περὶ τὰ ἤθη καλῶν καὶ αἱρετῶν. τῆς τε γὰρ πολιτικῆς ἔργον εἶναι δοκεῖ μάλιστα ποιῆσαι φιλίαν. καὶ τὴν ἀρετὴν διὰ τοῦτό φασιν εἶναι χρήσιμον. οὐ γὰρ ἐνδέχεσθαι φίλους ἑαυτοῖς τοὺς ἀδικουμένους ὑπ' ἀλλήλων. ἔτι τὸ δίκαιον καὶ τὸ ἄδικον περὶ τοὺς φίλους εἶναι μάλιστα πάντες φαμέν. καὶ ὁ αὐτὸς δοκεῖ ἀνὴρ εἶναι καὶ ἀγαθὸς καὶ φίλος. καὶ φιλία ἠθική τις εἶναι ἕξις. καὶ ἐάν τις βούληται ποιῆσαι, ὥστε μὴ ἀδικεῖν, ἀλλ' εἰς φίλους ποιῆσαι. οἱ γὰρ ἀληθινοὶ φίλοι οὐκ ἀδικοῦσιν. ἀλλὰ μὴν κἂν δίκαιοι ὦσιν, οὐκ ἀδικήσουσιν. ἢ ταὐτὸν ἄρα ἢ ἐγγύς τι ἡ δικαιοσύνη καὶ ἡ φιλία. πρὸς δὲ τούτοις τῶν μεγίστων ἀγαθῶν τὸν φίλον εἶναι ὑπολαμβάνομεν. τὴν δ' ἀφιλίαν καὶ τὴν ἐρημίαν δεινότατον, ὅτι ὁ βίος ἅπας καὶ ἡ ἑκούσιος ὁμιλία μετὰ τούτων. μετ' οἰκείων γὰρ ἢ μετὰ συγγενῶν ἢ μεθ' ἑτέρων συνδιημερεύομεν ἢ τέκνων ἢ γονέων ἢ γυναικός. καὶ τὰ ἴδια δίκαια τὰ πρὸς τοὺς φίλους ἐστὶν ἐφ' ἡμῖν μόνον. τὰ δὲ πρὸς τοὺς ἄλλους

νενομοθέτη

*οἱ ἀληθινοὶ φίλοι οὐκ ἀδικοῦσι*

*Fatemur amicum ex maximis bonis*



νενομοθέτηται, καὶ οὐκ ἐφ' ἡμῖν. ἀπορεῖται δὲ πολλὰ περὶ τῆς φιλίας. πρῶτον μὲν ὡς ἔξωθεν περιλαμβανόντων καὶ ἐπὶ πλέον λεγόντων. δοκεῖ γὰρ τοῖς μὲν τὸ ὅμοιον τῷ ὁμοίῳ εἶναι φίλον. ὅθεν εἴρηται, ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ἐς τὸν ὅμοιον. καὶ γὰρ κολοιὸς ποτὶ κολοιόν. ἔγνω δὲ φώρ τε φῶρα, καὶ λύκος λύκον. οἱ δὲ φυσιολόγοι καὶ τὴν ὅλην φύσιν διακοσμοῦσιν, ἀρχὴν λαβόντες τὸ ὅμοιον ἰέναι. διὸ Ἐμπεδοκλῆς καὶ τὴν κύν' ἔφη καθῆσθαι ἐπὶ τῆς κεραμίδος, διὰ τὸ ἔχειν πλεῖστον ὅμοιον. οἱ μὲν οὖν οὕτω τὸν φίλον λέγουσιν. οἱ δὲ τὸ ἐναντίον τῷ ἐναντίῳ φασὶν εἶναι φίλον. τὸ μὲν γὰρ ἐρώμενον καὶ ἐπιθυμητὸν πᾶσιν εἶναι φίλον. ἐπιθυμεῖ δὲ οὐ τὸ ξηρὸν τοῦ ξηροῦ, ἀλλ' ὑγροῦ. ὅθεν εἴρηται, ἐρᾷ μὲν ὄμβρου γαῖα. καὶ τό, μεταβολὴ πάντων γλυκύ. ἡ δὲ μεταβολὴ εἰς τοὐναντίον. τὸ δ' ὅμοιον ἐχθρὸν τῷ ὁμοίῳ. καὶ γὰρ κεραμεὺς κεραμεῖ κοτέει. καὶ τὰ ἀπὸ τῆς αὐτῆς τρεφόμενα πολέμια ἀλλήλοις ζῷα. αὗται μὲν οὖν αἱ ὑπολήψεις τοσοῦτον διεστᾶσιν. οἱ μὲν γὰρ τὸ ὅμοιον φίλον, τὸ ἐναντίον πολέμιον. τῷ πλέονι δ' ἀεὶ πολέμιον καθίσταται τὸ ἔλασσον, ἐχθρᾶς τε ἡμέρα κατάρχεται. ἔτι δὲ καὶ οἱ τόποι κεχωρισμένοι τῶν ἐναντίων. ἡ δὲ φιλία δοκεῖ συνάγειν. οἱ δὲ τὰ ἐναντία φίλα. καὶ Ἡράκλειτος ἐπιτιμᾷ τῷ ποιήσαντι, ὡς ἔρις ἔκ τε θεῶν καὶ ἀνθρώπων ἀπόλοιτο. οὐ γὰρ ἂν εἶναι ἁρμονίαν, μὴ ὄντος ὀξέος καὶ βαρέος. οὐδὲ τὰ ζῷα ἄνευ θήλεος καὶ ἄρρενος ἐναντίων ὄντων. δύο μὲν αὗται δόξαι περὶ φιλίας εἰσί, λίαν τε καθόλου κεχωρισμέναι τοσοῦτον. ἄλλαι δὲ ἤδη ἐγγύτεραι καὶ οἰκεῖαι τῶν φαινομένων. τοῖς μὲν γὰρ οὐκ ἐνδέχεσθαι δοκεῖ τοὺς φαύλους εἶναι φίλους, ἀλλὰ μόνον τοὺς ἀγαθούς. τοῖς δ' ἄτοπον εἰ μὴ φιλοῦσιν αἱ μητέρες τὰ τέκνα. φαίνεται δὲ καὶ ἐν τοῖς θηρίοις ἐνοῦσα φιλία. προαποθνήσκειν γοῦν αἱροῦνται τῶν τέκνων. τοῖς δὲ τὸ χρήσιμον δοκεῖ φίλον εἶναι μόνον. σημεῖον δ' ὅτι καὶ διώκουσι ταῦτα πάντες. τὰ δὲ ἄχρηστα καὶ αὑτῶν

*Homer?*
*ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ἐς τὸν ὅμοιον*

*Empedocles de cane pulchre*

*Hesiodus*

*Heraclitus*

*Malos nō posse amicos.*



*κολοιὸς ποτὶ κολοιόν, ἔγνω δὲ φώρ τε φῶρα καὶ λύκος λύκον.*

Socrates senex

in ægypto seruari cadauera

ἀποβάλλουσιν, ὥσπερ Σωκράτης ὁ γέρων ἔλεγε τὸν πτύελον καὶ τὰς τρίχας καὶ τοὺς ὄνυχας παραβάλλων, καὶ τὰ μόρια ὅτι ῥίπτουσι τὰ ἄχρηστα, καὶ τέλος τὸ σῶμα ὅταν ἀποθάνῃ· ἄχρηστον γὰρ ὁ νεκρός· οἷς δὲ χρήσιμον, φυλάττουσιν ὥσπερ ἐν Αἰγύπτῳ. ταῦτα δὴ πάντα δοκεῖ μὲν ὑπεναντία ἀλλήλοις εἶναι. τό τε γὰρ ἄχρηστον τῷ ὁμοίῳ, καὶ ἡ ἐναντιότης ὁμοιότητος ἀπέχει πλεῖστον, καὶ τὸ ἐναντίον ἀχρηστότατον τῷ ἐναντίῳ· φθαρτικὸν γὰρ τοῦ ἐναντίου τὸ ἐναντίον. ἔτι δοκεῖ τοῖς μὲν ῥᾴδιον τὸ κτήσασθαι φίλον, τοῖς δὲ σπανιώτατον γνῶναι, καὶ οὐκ ἐνδέχεσθαι ἄνευ ἀτυχίας· τοῖς γὰρ εὖ πράττουσι βούλονται πάντες δοκεῖν φίλοι εἶναι. οἱ δ' οὐδὲ τοῖς συνδιαμένουσιν ἐν ταῖς ἀτυχίαις ἀξιοῦσι πιστεύειν, ὡς ἐξαπατῶντας καὶ προσποιουμένους, ἵνα κτήσωνται διὰ τῆς τῶν ἀτυχούντων ὁμιλίας πάλιν εὐτυχούντων φιλίαν. ληπτέος δὲ λόγος ὅστις ἡμῖν ἅμα τά τε δοκοῦντα περὶ τούτων μάλιστα ἀποδώσει καὶ τὰς ἀπορίας λύσει καὶ τὰς ἐναντιώσεις. τοῦτο δ' ἔσται ἐὰν εὐλόγως φαίνηται τὰ ἐναντία δοκοῦντα· μάλιστα γὰρ ὁμολογούμενος ὁ τοιοῦτος ἔσται λόγος τοῖς φαινομένοις· συμβαίνει δὲ μένειν τὰς ἐναντιώσεις, ἐὰν ὡς ἀληθὲς ᾖ τὸ λεγόμενον, ἔστι δ' ὡς οὔ. ἔχει δ' ἀπορίαν καὶ πότερον τὸ ἡδὺ ἢ τὸ ἀγαθόν ἐστι τὸ φιλούμενον. εἰ μὲν γὰρ φιλοῦμεν οὗ ἐπιθυμοῦμεν, καὶ μάλιστα ὁ ἔρως τοιοῦτον· οὐδεὶς γὰρ ἐραστὴς ὅστις οὐκ ἀεὶ φιλεῖ· ἡ δ' ἐπιθυμία τοῦ ἡδέος· ταύτῃ μὲν τὸ φιλούμενον τὸ ἡδύ· εἰ δὲ ὃ βουλόμεθα, τὸ ἀγαθόν· ἔστι δ' ἕτερον τὸ ἡδὺ καὶ τὸ ἀγαθόν. περὶ τούτων δὲ καὶ τῶν ἄλλων τῶν συγγενῶν τούτοις πειρατέον διορίσαι, λαβοῦσιν ἀρχὴν τήνδε. τὸ γὰρ ὀρεκτὸν καὶ βουλητὸν ἢ τὸ ἀγαθὸν ἢ τὸ φαινόμενον ἀγαθόν. διὸ καὶ τὸ ἡδὺ ὀρεκτόν· φαινόμενον γάρ τι ἀγαθόν· τοῖς μὲν γὰρ δοκεῖ, τοῖς δὲ φαίνεται κἂν μὴ δοκῇ· οὐ γὰρ ἐν ταὐτῷ τῆς ψυχῆς ἡ φαντασία καὶ ἡ δόξα. ὅτι μὲν τοίνυν φιλητὸν καὶ τὸ ἀγαθὸν καὶ τὸ ἡδύ, δῆλον. τούτου δὲ διωρισμένου ληπτέον ὑπόθεσιν ἑτέραν. τῶν γὰρ ἀγαθῶν τὰ μὲν ἁπλῶς ἐστιν ἀγαθά, τὰ δὲ τινί, ἁπλῶς δ' οὔ· καὶ τὰ αὐτὰ ἁπλῶς ἀγαθὰ καὶ ἁπλῶς

Nullus est amator qui nō semp amat. Subscribit huic sententiæ diuus hieronymus dicens. Amicitia quæ desinere potuit uera nō fuit

Quod qs appetit & uult uel est bonū uel uidetur ee bonū

οὐκ ἐν ταὐτῷ τῆς ψυχῆς ἡ φαντασία καὶ ἡ δόξα



ἡδέα. τὰ μὲν γὰρ τῷ ὑγιαίνοντί φαμεν σώματι συμφέροντα ἁπλῶς εἶναι σώματι ἀγαθά, τὰ δὲ τῷ κάμνοντι οὔ, οἷον φαρμακείας καὶ τομάς. ὁμοίως δὲ καὶ ἡδέα ἁπλῶς σώματι τὰ τῷ ὑγιαίνοντι καὶ ὁλοκλήρῳ, οἷον τὸ ἐν τῷ φωτὶ ὁρᾶν καὶ οὐ τὸ ἐν τῷ σκότει· καίτοι τῷ ὀφθαλμιῶντι ἐναντίως. καὶ οἶνος ἡδίων οὐχ ὁ τῷ διεφθαρμένῳ τὴν γλῶτταν ὑπὸ οἰνοφλυγίας, ἐπεὶ οὐδ' ὄξος παρεγχέουσιν, ἀλλὰ τῇ ἀδιαφθόρῳ αἰσθήσει. ὁμοίως δὲ καὶ ἐπὶ ψυχῆς, οὐχ ἃ τοῖς παιδίοις καὶ τοῖς θηρίοις, ἀλλὰ τοῖς καθεστῶσιν· ἀμφοτέρων γοῦν μεμνημένοι ταῦθ' αἱρούμεθα. ὡς δ' ἔχει παιδίον καὶ θηρίον πρὸς αὐτὸν καθεστῶτα, οὕτως ἔχει ὁ φαῦλος καὶ ἄφρων πρὸς τὸν ἐπιεικῆ καὶ φρόνιμον. τούτοις δὲ ἡδέα τὰ κατὰ τὰς ἕξεις· ταῦτα δ' ἐστὶ τὰ ἀγαθὰ καὶ τὰ καλά. ἐπεὶ οὖν τὰ ἀγαθὰ πλεοναχῶς, τὸ μὲν γὰρ τῷ τοιόνδ' εἶναι λέγομεν ἀγαθόν, τὸ δὲ τῷ ὠφέλιμον καὶ χρήσιμον· ἐπεὶ δὲ τὸ ἡδὺ τὸ μὲν ἁπλῶς καὶ ἀγαθὸν ἁπλῶς, τὸ δὲ τινὶ καὶ φαινόμενον ἀγαθόν, ὥσπερ καὶ ἐπὶ τῶν ἀψύχων, δι' ἕκαστον τούτων ἐνδέχεται καὶ ἡμᾶς αἱρεῖσθαί τι καὶ φιλεῖν, ὥσπερ καὶ αὐτόν· τὸν μὲν γὰρ τοιόνδε καὶ δι' ἀρετήν, τὸν δ' ὅτι ὠφέλιμος καὶ χρήσιμος, τὸν δ' ὅτι ἡδὺς καὶ δι' ἡδονήν. φίλος δὲ γίνεται ὅταν φιλούμενος ἀντιφιλῇ, καὶ τοῦτο μὴ λανθάνῃ πως αὐτούς. ἀνάγκη ἄρα τρία φιλίας εἴδη εἶναι, καὶ μήτε καθ' ἓν ἁπάσας μηδ' ὡς εἴδη ἑνὸς γένους, μήτε πάμπαν λέγεσθαι ὁμωνύμως. πρὸς μίαν γάρ τινα λέγονται καὶ πρώτην, ὥσπερ τὸ ἰατρικόν· καὶ ψυχὴν ἰατρικὴν καὶ σῶμα λέγομεν καὶ ὄργανον καὶ ἔργον, ἀλλὰ κυρίως τὸ πρῶτον. πρῶτον δ' οὗ ὁ λόγος ἐν ἡμῖν ὑπάρχει, οἷον ὄργανον ἰατρικὸν ᾧ ἂν ὁ ἰατρὸς χρήσαιτο· ἐν δὲ τῷ τοῦ ἰατροῦ λόγῳ οὐκ ἔστιν ὁ τοῦ ὀργάνου. ζητεῖται μὲν οὖν πανταχοῦ τὸ πρῶτον· διὰ δὲ τὸ καθόλου εἶναι τὸ πρῶτον, λαμβάνουσι καὶ τὸ πρῶτον καθόλου· τοῦτο δ' ἐστὶ ψεῦδος. ὥστε καὶ περὶ τῆς φιλίας οὐ δύνανται πάντ' ἀποδιδόναι τὰ φαινόμενα· οὐ γὰρ ἐφαρμόττοντος ἑνὸς λόγου, οὐκ οἴονται

φίλος γίνεται ὅταν φιλούμενος ἀντιφιλῇ

ἄλλας φιλίας εἶναι· αἱ δ' εἰσὶ μὲν ἀλλ' οὐχ ὁμοίως εἰσίν· αἱ δ' ὅ-
ταν ἡ πρώτη μὴ ἐφαρμόττῃ ὡς οὖσαν καθόλου ἄν, εἴπερ ἦν πρώ-
τη, οὐδ' εἶναι φιλίας τὰς ἄλλας φασίν. ἔστι δὲ πολλὰ εἴδη φι-
λίας. τῶν γὰρ ῥηθέντων ἦν ἤδη. ἐπεὶ δὴ διώρισται τριχῶς λέγεσθαι

Amicitiæ tria genera

τὴν φιλίαν· ἡ μὲν γὰρ διώρισται δι' ἀρετήν, ἡ δὲ διὰ τὸ χρήσιμον,
ἡ δὲ διὰ τὸ ἡδύ. τούτων ἡ μὲν διὰ τὸ χρήσιμόν ἐστιν, ἡ δ' αὕτη τῶν πλεί-
στων φιλία· διὰ γὰρ τὸ χρήσιμοι εἶναι φιλοῦσιν ἀλλήλους· καὶ μέ-
χρι τούτου· ὥσπερ ἡ παροιμία· γλαῦξ ἐπίκουρος ἀνὴρ τὸν σο-
φὸν φίλον ἔσκε μάχεσθαι, ἢ οὐκέτι γινώσκουσιν Ἀθηναῖοι μεγα-
ρῆας. ἡ δὲ δι' ἡδονὴν τῶν νέων· μεταβαλλόντων γὰρ τὰ ἤθη κατὰ
τὰς ἡλικίας, μεταβάλλει καὶ τὸ ἡδύ. ἡ δὲ κατὰ ἀρετὴν τῶν βελ-
τίστων. φανερὸν δ' ἐκ τούτων ὅτι ἡ πρώτη φιλία, ἡ τῶν ἀγαθῶν
ἐστὶν ἀντιφιλία καὶ ἀντιπροαίρεσις πρὸς ἀλλήλους. φίλον μὲν

παροιμία
γλαῦξ ἐπίκουρος
ἀνὴρ τὸν σοφὸν φί-
λον ἔσκε μάχεσθαι

γὰρ τὸ φιλούμενον τῷ φιλοῦντι. φίλος δὲ τῷ φιλουμένῳ καὶ
ἀντιφιλῶν. αὕτη μὲν οὖν ἐν ἀνθρώποις μόνον ὑπάρχει φιλία· μόνον
γὰρ αἰσθάνεται προαιρέσεως· αἱ δ' ἄλλαι καὶ ἐν τοῖς θηρίοις, καὶ
χρήσιμον ἐπὶ μικρόν τι φαίνεται ἐνυπάρχον· καὶ πρὸς ἀνθρώ-
ποις τοῖς ἡμέροις καὶ πρὸς ἄλλα. οἷον τὸν τρόχιλον φησὶν Ἡρόδοτος τῷ
κροκοδείλῳ· καὶ ὡς οἱ μάντεις τὰς συνεδρείας καὶ διεδρείας
λέγουσι. καὶ οἱ φαῦλοι ἂν εἶεν φίλοι ἀλλήλοις. καὶ διὰ τὸ χρήσι-
μον καὶ διὰ τὸ ἡδύ. οὐδ' ὅτι ἡ πρώτη οὐχ ὑπάρχει αὐτοῖς. οὔ φασι

Herodotus

Trochili amicicia cũ crocodilo

φίλους εἶναι· ἀδικήσει γὰρ ὅ γε φαῦλος τὸν φαῦλον. οἱ δ' ἀδικού-
μενοι οὐ φιλοῦσι σφᾶς αὐτούς. οἱ δὲ φιλοῦσι μέν, ἀλλ' οὐ τὴν πρώ-
την φιλίαν. ἐπεὶ τάς γε ἑτέρας οὐδὲν κωλύει. δι' ἡδονὴν γὰρ ὑ-
πομένουσιν ἀλλήλους βλαπτόμενοι ὡς ἂν ὦσιν ἀκρατεῖς. οὐ δο-
κοῦσι δ' οὐδ' οἱ δι' ἡδονὴν φιλοῦντες ἀλλήλους φίλοι εἶναι, ὅταν
κατ' ἀκρίβειαν ζητῶσιν ὅτι οὐχ ἡ πρώτη. ἐκείνη μὲν γὰρ βέβαι-
ος, ἡ δ' ἔστι μὲν ὥσπερ εἴρηται φιλία· οὐκ ἐκείνη δὲ ἀλλ' ἀπ' ἐ-
κείνης. τὸ μὲν οὖν ἐκείνως μόνον λέγειν τὸν φίλον βιάζεσθαι, τὰ
φαινόμενά ἐστι καὶ παράδοξα λέγειν ἀναγκαῖον. καθ' ἕνα

δὲ λόγον



δὲ λόγον πάσας ἀδύνατον. λείπεται τοίνυν ὅτι, ἔστι μὲν ὡς μό-
νον πρώτη φιλία. ἔστι δὲ ὡς πᾶσαι. οὔτε ὡς ὁμώνυμοι καὶ ὡς ἔ-
τυχεν ἔχουσαι πρὸς ἑαυτάς. οὔτε καθ' ἓν εἶδος. ἀλλὰ μᾶλλον
πρὸς ἕν. ἐπεὶ δ' ἁπλῶς ἀγαθὸν καὶ ἁπλῶς ἡδὺ τὸ αὐτὸ καὶ ἅ-
μα ἂν μή τις ἐμποδίζῃ. ὁ δ' ἀληθινὸς φίλος καὶ ἁπλῶς ὁ πρῶ-
τός ἐστιν. ἔστι δὲ τοιοῦτος ὁ δι' αὐτὸν αὐτὸς αἱρετός. ἀνάγκη δ' εἶναι
τοιοῦτον· ὡς γὰρ βούλεταί τις δι' αὐτὸν εἶναι τἀγαθά, ἀνάγ-
κη καὶ αὐτὸν αἱρεῖσθαι εἶναι. ὁ δ' ἀληθινὸς φίλος καὶ ἡδύς ἐστιν
ἁπλῶς. διὸ δοκεῖ καὶ ὁ ὁπωσοῦν φίλος ἡδύς. ἔτι δὲ διοριστέον πε-
ρὶ τούτου μᾶλλον ἔχει ἐπίστασιν. πότερον γὰρ τὸ αὐτῷ ἀγαθόν,
ἢ τὸ ἁπλῶς ἀγαθὸν φίλον. καὶ πότερον τὸ κατ' ἐνέργειαν φι-
λεῖν μεθ' ἡδονῆς, ὥστε καὶ τὸ φιλητὸν ἡδύ, ἢ οὔ. ἄμφω γὰρ εἰς
ταὐτὸ συνακτέον. τά τε γὰρ μὴ ἁπλῶς ἀγαθὰ ἀλλὰ κακά,
ἁπλῶς τύχῃ φευκτά. καὶ τὸ μὴ αὐτῷ ἀγαθόν, οὐθὲν πρὸς αὐτόν
ἀλλὰ τοῦτ' ἔστιν ὃ ζητεῖται, τὰ ἁπλῶς ἀγαθὰ οὕτως εἶναι ἀγα-
θά. ἔστι γὰρ αἱρετὸν μὲν τὸ ἁπλῶς ἀγαθόν. αὐτῷ δὲ τὸ αὐτῷ ἀγα-
θόν, ἃ δεῖ συμφωνῆσαι, καὶ τοῦτο ἡ ἀρετὴ ποιεῖ. καὶ ἡ πολιτικὴ ἐπὶ
τούτῳ, ὅπως οἷς μήπω ἐστὶ γένηται. εὔθετος δὲ καὶ πρὸ ὁδοῦ
ἄνθρωπος ὤν, φύσει γὰρ αὐτῷ ἀγαθὰ τὰ ἁπλῶς ἀγαθά. ὁμοίως δὲ καὶ
ἀνὴρ ἀντὶ γυναικὸς ἢ ἀφυὴς εὐφυοῦς. διὰ τοῦ ἡδέος δὲ ἡ ὁδὸς
ἀνάγκη εἶναι τὰ καλὰ ἡδέα. ὅταν δὲ τοῦτο διαφωνῇ, οὔπω
σπουδαῖον τελέως. ἐνδέχεται γὰρ ἐγγενέσθαι ἀκρασίαν. τὸ γὰρ δια-
φωνεῖν τἀγαθὸν τῷ ἡδεῖ ἐν τοῖς πάθεσιν ἀκρασία ἐστίν. ὥστ' ἐ-
πεὶ δὴ ἡ πρώτη φιλία κατ' ἀρετὴν ἔσονται καὶ αὐτοὶ ἁπλῶς
ἀγαθοί. τοῦτο δ' οὐχ ὅτι χρήσιμοι ἀλλ' ἄλλον τρόπον. διχῶς γὰρ
ἔχει τῷδε ἀγαθὸν καὶ ἁπλῶς ἀγαθόν, ἢ ὁμοίως ὥσπερ ἐπὶ τοῦ
ὠφελίμου καὶ ἐπὶ τῶν ἕξεων. ἄλλο γὰρ τὸ ἁπλῶς ὠφέλιμον, καὶ τὸ
καλὸν τοιοῦτον γυμνάζεσθαι πρὸς τὸ φαρμακεύεσθαι, ὥστε καὶ
ἡ ἕξις ἡ ἀνθρώπου ἀρετή. ἔστω γὰρ ὁ ἄνθρωπος τῶν φύσει σπουδαίων. ἡ
γὰρ τοῦ φύσει σπουδαίου ἀρετή, ἁπλῶς ἀγαθόν, ἡ δὲ τοῦ μή, ἐκείνῳ.

ὁμοίως δὴ ἔχει καὶ τὸ ἡδύ. ἐνταῦθα γὰρ ἐπισκεπτέον καὶ σκεπτέον, πότερόν ἐστιν ἄνευ ἡδονῆς φιλία. καὶ τί διαφέρει καὶ ἐν ποτέρῳ ποτ' ἐστὶ τὸ φιλεῖν. καὶ πότερον ὅτι ἀγαθὸς κἂν εἰ μὴ ἡδύς. ἀλλ' οὐ διὰ τοῦτο. διχῶς δὴ λεγομένου τοῦ φιλεῖν, πότερον ὅτι ἀγαθὸς τὸ κατ' ἐνέργειαν, οὐκ ἄνευ ἡδονῆς φαίνεται. δῆλον δ' ὅτι ὥσπερ ἐπὶ τῆς ἐπιστήμης αἱ πρόσφατοι θεωρίαι καὶ μαθήσεις, αἰσθηταὶ μάλιστα τῷ εἴδει, οὕτω καὶ αἱ τῶν συνήθων ἀναγνωρίσεις. καὶ ὁ λόγος ὁ αὐτὸς ἐπ' ἀμφοῖν. φύσει οὖν τὸ ἁπλῶς ἀγαθόν, ἡδὺ ἁπλῶς καὶ οἷς ἀγαθὸν τούτοις ἡδύ. διὸ εὐθὺς τὰ ὅμοια ἀλλήλοις χαίρει. καὶ ἀνθρώπῳ ἥδιστον ἄνθρωπος. ὥστ' ἐπεὶ καὶ ἀτελῆ, δῆλον ὅτι καὶ τελειωθέντα. ὁ δὲ σπουδαῖος τέλειος. εἰ δὲ τὸ κατ' ἐνέργειαν φιλεῖν μεθ' ἡδονῆς αὐτῶν προαιρέσεως τῆς ἀλλήλων γνωρίσεως, δῆλον ὅτι καὶ ὅλως ἡ φιλία πρώτη ἀντιπροαίρεσις τῶν ἁπλῶς ἀγαθῶν καὶ ἡδέων, ὅτι ἀγαθὰ καὶ ἡδέα. ἔστι δ' αὐτὴ ἡ φιλία ἕξις, ἀφ' ἧς ἡ τοιαύτη προαίρεσις. τὸ γὰρ ἔργον αὐτῆς ἐνέργεια. αὕτη δ' οὐκ ἔξω, ἀλλ' ἐν αὐτῷ τῷ φιλοῦντι. δυνάμεως δὲ πάσης ἔξω. ἢ γὰρ ἐν ἑτέρῳ ἢ ᾗ ἕτερον. διὸ τὸ φιλεῖν χαίρειν, ἀλλ' οὐ τὸ φιλεῖσθαι ἐστί. τὸ μὲν γὰρ φιλεῖσθαι φιλητοῦ ἐνέργεια. τὸ δὲ καὶ φιλίας. καὶ τὸ μὲν ἐν ἐμψύχῳ. τὸ δὲ καὶ ἐν ἀψύχῳ. φιλεῖται γὰρ καὶ τὰ ἄψυχα. ἐπεὶ δὲ τὸ φιλεῖν τὸ κατ' ἐνέργειαν τὸ φιλουμένῳ χρῆσθαι ᾗ φιλούμενον, ὁ δὲ φίλος φιλούμενον τῷ φίλῳ ᾗ φίλος, ἀλλὰ μὴ ᾗ μουσικὸς ἢ ἰατρικός, ἡδονὴ ἡ ἀπ' αὐτοῦ ἢ αὐτὸς αὐτῇ φιλική. αὐτὸν γὰρ φιλεῖ, οὐχ ὅτι ἄλλος. ὥστ' ἂν μὴ χαίρῃ ᾗ ἀγαθός, οὐχ ἡ πρώτη φιλία. οὐδὲ δεῖ ἐμποδίζειν οὐθὲν τῶν συμβεβηκότων μᾶλλον ἢ τὸ ἀγαθὸν εὐφραίνειν. τί γὰρ σφόδρα δυσώδης λείπεται, ἀγαπᾶται γὰρ τὸ εὐνοεῖν, συζῆν δὲ μή. αὕτη μὲν οὖν ἡ πρώτη φιλία, ἣν πάντες ὁμολογοῦσιν. αἱ δ' ἄλλαι διὰ ταύτην καὶ δοκοῦσι καὶ ἀμφισβητοῦνται. βέβαιον γάρ τι δοκεῖ ἡ φιλία, μόνη δ' αὕτη βέβαιος. τὸ γὰρ κεκριμένον βέβαιον. τὰ δὲ μὴ ταχὺ γινόμενα μηδὲ ῥᾳδίως οὐ ποιεῖ

τὸ κεκριμένον βέβαιον (margin)

τὴν



τὴν κρίσιν ὀρθήν. οὐκ ἔστι δ' ἄνευ πίστεως φιλία βέβαιος. ἡ δὲ πίστις. δεῖ γὰρ πεῖραν λαβεῖν ὥσπερ λέγει καὶ Θέογνις. οὐ γὰρ ἂν εἰδείης ἀνδρὸς νόον οὐδὲ γυναικός, πρὶν πειραθείης ὥσπερ ὑποζυγίου. οὐδ' ἄνευ χρόνου φίλος. ἀλλὰ βούλονται φίλοι. καὶ μάλιστα λανθάνει ἡ τοιαύτη ἕξις ὡς φιλία. ὅταν γὰρ προθύμως ἔχωσι φιλεῖσθαι, διὰ τὸ πάνθ' ὑπηρετεῖν τὰ φιλικὰ ἀλλήλοις, οἴονται οὐ βούλεσθαι φίλοι, ἀλλ' εἶναι φίλοι. τὸ δ' ὥσπερ ἐπὶ τῶν ἄλλων συμβαίνει, καὶ ἐπὶ τῆς φιλίας. οὐ γὰρ εἰ βούλονται ὑγιαίνειν ὑγιαίνουσιν, ὥστ' οὐδ' εἰ φίλοι βούλονται, ἤδη καὶ φίλοι εἰσί. σημεῖον δέ. εὐδιάβλητοι γὰρ οἱ διακείμενοι ἄνευ πείρας τοῦτον τὸν τρόπον. περὶ ὧν μὲν γὰρ οὐκ εὐδιάβλητοι. περὶ ὧν δὲ μή, πεισθεῖεν ἄν, ὅταν σύμβολα λέγωσιν οἱ διαβάλλοντες. ἅμα δὲ φανερὸν ὅτι οὐδ' ἐν τοῖς φαύλοις αὕτη ἡ φιλία. ἄπιστος γὰρ ὁ φαῦλος καὶ κακοήθης πρὸς πάντας. αὑτῷ γὰρ μετρεῖ τοὺς φαύλους. διὸ εὐεξαπατητότεροί εἰσιν οἱ ἀγαθοί, ἂν μὴ διὰ πεῖραν ἀπιστῶσιν. οἱ δὲ φαῦλοι αἱροῦνται τὰ φύσει ἀγαθὰ ἀντὶ τοῦ φίλου. καὶ οὐθεὶς φιλεῖ μᾶλλον ἀνθρώπους ἢ πράγματα. ὥστ' οὐ φίλοι. οὐ γὰρ γίνεται οὕτω κοινὰ τὰ φίλων. προσνέμεται γὰρ ὁ φίλος τοῖς πράγμασιν, οὐ τὰ πράγματα τοῖς φίλοις. οὐ γίνεται γὰρ ἡ φιλία ἡ πρώτη ἐν πολλοῖς, ὅτι χαλεπὸν πολλῶν πεῖραν λαβεῖν. ἑκάστῳ γὰρ ἂν δέοι συζῆσαι. οὐδὲ δὴ αἱρετέον ὁμοίως περὶ ἱματίου φίλου. καίτοι ἐν πᾶσι δοκεῖ τοῦ νοῦν ἔχοντος, δυοῖν τὸ βέλτιον αἱρεῖσθαι. καὶ εἰ μὲν τῷ χείρονι πολὺν χρόνον ἐχρῆτο, τῷ δὲ βελτίονι μηδέπω, τοῦτο αἱρετέον. ἀλλ' οὐκ ἀντὶ τοῦ πάλαι φίλου τὸν ἀγνῶτα, εἰ βελτίων. οὐ γὰρ ἔστιν ἄνευ πείρας, οὐδὲ μίαν ἡμέραν ὁ φίλος. ἀλλὰ χρόνου δεῖ. διὸ εἰς παροιμίαν ἐλήλυθεν ὁ μέδιμνος τῶν ἁλῶν. ἅμα δ' εἰ μὴ μόνον ἁπλῶς ἀγαθὸν εἶναι, ἀλλὰ καὶ σοὶ εἶναι φίλος ἔσται σοι φίλος. ἀγαθὸς μὲν γὰρ ἁπλῶς ἐστι τῷ ἀγαθὸς εἶναι. φίλος δὲ τῷ ἄλλῳ ἀγαθός. ἁπλῶς ἀγαθὸς καὶ φίλος ὅταν συμφωνίας ταῦτα

Theognis (margin)

εὐεξαπατητότεροι οἱ ἀγαθοί (margin)

Euripides (margin)

παροιμία ὁ μέδιμνος τῶν ἁλῶν (margin)

ἄμφω· ὥστε ὅ ἐστιν ἁπλῶς ἀγαθόν, τῷ τοιούτῳ ἄλλῳ· ἢ ᾗ μὴ ἁπλῶς μὲν σπουδαίῳ, ἄλλῳ δ' ἀγαθὸς ὅτι χρήσιμος. τὸ δὲ πολλοῖς ἅμα εἶναι φίλος ἐπὶ τὸ φιλεῖν κωλύει· οὐ γὰρ οἷόν τε ἅμα πρὸς πολλοὺς ἐνεργεῖν. ἐκ δὴ τούτων φανερὸν ὅτι ὀρθῶς λέγεται, ὅτι ἡ φιλία τῶν βεβαίων, ὥσπερ ἡ εὐδαιμονία τῶν αὐτάρκων. καὶ ὀρθῶς εἴρηται· ἡ γὰρ φύσις βέβαιον, οὐ τὰ χρήματα. πολὺ δὲ κάλλιον εἰπεῖν, ὅτι ἡ ἀρετὴ τῆς φύσεως· καὶ ὅτι χρόνος λέγεται δεικνύναι τὸν φιλούμενον, καὶ αἱ ἀτυχίαι μᾶλλον τῶν εὐτυχιῶν. τότε γὰρ δῆλον ὅτι κοινὰ τῶν φίλων· οὗτοι γὰρ μόνοι ἀντὶ τῶν φύσει ἀγαθῶν καὶ φύσει κακῶν περὶ ἃ αἱ εὐτυχίαι καὶ αἱ δυστυχίαι, αἱροῦνται μᾶλλον ἄνθρωπον ἢ τούτων τὰ μὲν εἶναι τὰ δὲ μὴ εἶναι. ἡ δ' ἀτυχία δηλοῖ τοὺς μὴ ὄντως ὄντας φίλους, ἀλλὰ διὰ τὸ χρήσιμον ἀτυχ      ὁ δὲ χρόνος δηλοῖ ἀμφοτέρους, οὐδὲ γὰρ ὁ χρήσιμος ταχὺ δῆλος, ἀλλ' ὁ ἡδὺς μᾶλλον. πλὴν οὐδ' ὁ ἁπλῶς ἡδὺς ταχύς. ὅμοιοι γὰρ οἱ ἄνθρωποι τοῖς οἴνοις, καὶ ἐδέσμασιν. ἐκείνων τε γὰρ τὸ μὲν ταχὺ δηλοῖ· πλείω δὲ χρόνον γινόμενον ἀηδὲς καὶ οὐ γλυκύ· καὶ ἐπὶ τῶν ἀνθρώπων ὁμοίως. ἔστι γὰρ καὶ τὸ ἁπλῶς ἡδὺ τῷ τέλει ὁριστέον καὶ τῷ χρόνῳ. ὁμολογήσαιεν δ' ἂν καὶ οἱ πολλοὶ οὐκ ἐκ τῶν ἀποβαινόντων μόνον, ἀλλ' ὥσπερ ἐπὶ τοῦ πόματος καλοῦσι γλύκιον. τοῦτο γὰρ διὰ τὸ ἀποβαῖνον οὐχ ἡδύ, ἀλλὰ διὰ τὸ μὴ συνεχές, ἀλλὰ τὸ πρῶτον ἐξαπατᾶν. ἡ μὲν οὖν πρώτη φιλία καὶ δι' ἣν αἱ ἄλλαι λέγονται, ἡ κατ' ἀρετήν ἐστι· καὶ δι' ἡδονὴν τῆς ἀρετῆς, ὥσπερ εἴρηται πρότερον. αἱ δ' ἄλλαι ἐγγίνονται φιλίαι, καὶ ἐν παισὶ καὶ θηρίοις, καὶ τοῖς φαύλοις. ὅθεν λέγεται, ἧλιξ ἥλικα τέρπει. καὶ κακὸς κακῷ συντέτηκεν ἡδονῇ. ἐνδέχεται δὲ ἡδεῖς ἀλλήλοις εἶναι τοὺς φαύλους, καὶ ᾗ φαῦλοι ἢ μηδέτεροι. ἀλλ' οἷον ᾠδικοὶ ἄμφω, ἢ ὁ μὲν φιλῳδὸς ὁ δ' ᾠδικός ἐστι· καὶ ᾗ πάντες ἔχουσιν ἀγαθόν, καὶ ταύτῃ συναρμόττουσιν ἀλλήλοις. ἔτι χρήσιμοι ἂν εἶεν ἀλλήλοις καὶ ὠφέλιμοι οὐχ ἁπλῶς, ἀλλὰ προαί-

imiles homines ci

is & uinis



ρεσιν ἢ οὐδέτεροι. ἐνδέχεται δὲ καὶ τῷ ἐπιεικεῖ φαῦλον εἶναι φίλον. καὶ γὰρ χρήσιμον ἂν εἴη πρὸς τὴν προαίρεσιν· ὁ μὲν φαῦλος πρὸς τὴν ὑπάρχουσαν τῷ σπουδαίῳ, ὁ δὲ, τῷ μὲν ἀκρατεῖ πρὸς τὴν ὑπάρχουσαν, τῷ δὲ φαύλῳ πρὸς τὴν κατὰ φύσιν. ἃ βουλήσεται τὰ ἀγαθὰ ἁπλῶς μὲν τὰ ἁπλῶς, τὰ δ' ἐκείνῳ ἐξ ὑποθέσεως, ᾗ πενία συμφέρει ἢ νόσος. ταῦτα δὲ τῶν ἁπλῶν ἀγαθῶν ἕνεκα, ὥσπερ καὶ αὐτὸ τὸ φάρμακον πιεῖν· οὐ γὰρ βούλεται, ἀλλὰ τοῦδ' ἕνεκα βούλεται. ἔτι καθ' οὓς τρόπους καὶ ἀλλήλοις οἱ μὴ σπουδαῖοι εἶεν ἂν φίλοι. εἴη γὰρ ἂν ἡδὺς οὐχ ᾗ φαῦλος, ἀλλ' ᾗ τῶν κοινῶν τινος μετέχει· οἷον εἰ μουσικός. ἔτι ᾗ ἔνι τι πᾶσιν ἐπιεικές. διὸ ἔνιοι ὁμιλητικοὶ εἶεν ἂν καὶ σπουδαῖοι. ἢ εἰ προσαρμόττουσιν ἑκάστῳ. ἔχουσι γάρ τι πάντες τοῦ ἀγαθοῦ. τρία μὲν οὖν εἴδη ταῦτα φιλίας. ἐν πᾶσι δὲ τούτοις κατ' ἰσότητά πως λέγεται ἡ φιλία. καὶ γὰρ οἱ κατ' ἀρετὴν φίλοι ἐν ἰσότητί πως ἀρετῆς εἰσι φίλοι ἀλλήλοις. ἄλλη δὲ διαφορὰ τούτων ἡ καθ' ὑπερβολήν, ὡς ἡ τοῦ θεοῦ ἀρετὴ πρὸς ἄνθρωπον. τοῦτο γὰρ ἕτερον εἶδος φιλίας, καὶ ὅλως ἄρχοντος καὶ ἀρχομένου· καθάπερ καὶ τὸ δίκαιον ἕτερον. κατ' ἀναλογίαν γὰρ ἴσον, κατ' ἀριθμὸν δ' οὐκ ἴσον. ἐν τούτῳ τῷ γένει πατὴρ πρὸς υἱὸν καὶ ὁ εὐεργέτης πρὸς τὸν εὐεργετηθέντα. αὐτῶν δὲ τούτων διαφοραί εἰσιν ἄλλη πατρὸς πρὸς υἱόν, καὶ ἀνδρὸς πρὸς γυναῖκα. αὕτη μὲν ὡς ἄρχοντος καὶ ἀρχομένου. ἡ δὲ εὐεργέτου πρὸς εὐεργετηθέντα. ἐν ταύταις δὲ ἢ οὐκ ἔνεστιν, ἢ οὐχ ὁμοίως τὸ ἀντιφιλεῖσθαι. γελοῖον γὰρ εἴ τις ἐγκαλοίη τῷ θεῷ ὅτι οὐχ ὁμοίως ἀντιφιλεῖται ὡς φιλεῖται, ἢ τῷ ἄρχοντι καὶ ἀρχομένῳ. φιλεῖσθαι γὰρ οὐ φιλεῖν τοῦ ἄρχοντος, ἢ φιλεῖν ἄλλον τρόπον· καὶ ἡδονὴ διαφέρει οὐδέν. εἴτε τοῦ αὐτάρκους ἐπὶ τῷ αὐτοῦ κτήματι ἢ παιδί· καὶ τοῦ ἐνδεοῦς ἐπὶ τῷ γινομένῳ. ὡς δ' αὔτως καὶ ἐπὶ τῶν διὰ τὴν χρῆσιν φίλων καὶ ἐπὶ τῶν δι' ἡδονήν, οἱ μὲν κατ' ἰσότητά εἰσιν οἱ δὲ καθ' ὑπεροχήν. διὸ

καὶ οἱ ἐκείνως οἰόμενοι ἐγκαλοῦσιν, ἐὰν μὴ ὁμοίως χρήσιμοι καὶ ὧν ποιῶσι καὶ ἐὰν φιλήδονης· ἄλλον δ' ἐν τοῖς ἐρωτικοῖς τοῦτο γὰρ αἴτιον τοῦ μάχεσθαι ἀλλήλοις τοσαύτακις· ἀντοφεί ὁ ἐρῶν ὅτι οὐχ αὐτὸς λόγος πρὸς τὴν προθυμίαν· δι' ὀδύρηκέναι νεῖκος ὁ ἐρώμενος· τοιαῦτα ἀκέρως λέγοι· οἱ δὲ νομίζουσι τὸν αὐτὸν εἶναι λόγον· ὥσπερ οὖν εἴρηται πρώην ὄντων εἰδῶν φιλίας, κατὰ ῥετὴν κατὰ τὸ χρήσιμον, καὶ κατὰ τὸ ἡδύ, αὖ ταὶ πάλιν διήρηνται εἰς δύο· αἱ μὲν γὰρ κ|τὸ ἴσον· αἱ δὲ καθ' ὑπεροχήν εἰσι· φιλίαι μὲν δὴν ἀμφότεραι· φίλοι δ' οἱ κ|τὴν ἰσότητα· ἄρρην γὰρ αὐ εἴη εἰ αὐτὴρ ποιήσω φιλεῖ δ' ἐγενὰ φιλεῖται· φίλα χοῦ φιλεῖσθαι μὲν δεῖ τὸν ὑπερέχοντα· ἐὰν δὲ φιλῇ ὁμοίζεται ὡς ἀναξίων φιλῶν· τῇ γὰρ ἀξίᾳ τὸ φίλων μετρεῖται καὶ τινι ἴσω· τὰ μὲν οὖν διὰ λικίας ἐλλιψιν, ἀναξία ὁμοίως φιλεῖσθαι· τὰ δὲ κατὰ ῥετὴν ἢ χρῆος ἢ κατὰ ἄλλην ρι αὐτὴν ὑπερχόν· ἀεὶ δὲ τὸν ὑπερέχοντα ἢ ἧττον ἢ μὴ φιλεῖν ἀξιοῦν, ἢ ἐν τῷ χρησίμῳ ἢ ἐν τῷ ἡδεῖ καὶ κατὰ ῥετήν· ἐν μὲν δὴν τοῖς μικραῖς ὑπερχαῖς εἰκότως γίνονται ἀμφισβητήσεις· τὸ γὰρ μικρὸν ἐνιαχοῦ, οὐδ' ἐν ἰσχύι· ὥσπερ ἐν ξύλῳ σαθρῷ ἀλλ' ἐν χρυσίῳ· ἀλλὰ τὸ μικρὸν κακῶς κρίνουσι· φαίνεται γὰρ τὸ μὲν οἰκεῖον ἀγαθὸν διὰ τὸ ἐμὸν μέγα· τὸ δ' ἀλλότριον διὰ τὸ πόρρω μικρόν· ὅταν ᾖ ὑπερβολὴ ἢ, οὐδ' αὐτὸ ἐπιζητοῦσιν ὡς δεῖ ἢ αὐτιφιλεῖσθαι, ἢ ὁμοίως αὐτιφιλεῖσθαι· οἷον εἴτις ἀξιοῖ τὸν θεόν· φανερὸν δὲ ὅτι φίλοι μὲν ὅταν ἐν τῷ ἴσῳ· τὸ αὐτιφιλεῖν δ' ὅσην, αὖθις τοῦ, φίλους εἶναι· δῆλον δὲ καὶ διὰ τῆς ρυσι μᾶλλον οἱ ἄνθρωποι τῷ καθ' ὑπεροχὴν φιλίαν φιλαπόσοτητα· ἅμα γὰρ ὑπάρχει ὅτωσαὶ τοῖς τό, τε φιλεῖσθαι καὶ ὑπερέχειν· διὸ κόλακες παρῆνίοις ἐν τιμότερος τοῦ φίλου· ἀμφω γὰρ φαίνεσθαι πρεῖ ὑπάρχειν τῷ κολακευομένῳ· μάλιστα δ' οἱ φιλότιμοι τοιοῦτοι· τὸ γὰρ θαυμάζεσθαι ὑπερέχ· φύσει δὲ τίμιον τοῖς μὲν φιλητικοῖ· οἱ δὲ φιλότιμοι φιλητικοὶ ὄντες τῷ φιλεῖν



φιλεῖν χαίρουσι μᾶλλον, ἢ τῷ φιλεῖσθαι· ἐκεῖνος δὲ φιλότιμος μᾶλλον· ὁ μὴ δὲ χαίρων τῷ θαυμάζεσθαι φιλεῖσθαι φιλόφιλος· ὁ δὲ φιλητικὸς ἐν τῷ φιλεῖν ἡδονῆς· ὁ φιλητικὸς ἐν ἐστὶ καὶ ἀνάγκη ἐνεργοῦντα· τὸ μὲν γὰρ φιλεῖν συμβεβηκός· ὅτι γὰρ λανθάνει φιλῶν τὸν δ' ὅτι κ|τῷ φιλίαν τὸ φιλεῖν μᾶλλον ἢ τὸ φιλεῖσθαι· τὸ δὲ φιλεῖσθαι κ|τὸ φιλητόν· σημεῖον δ' ἔλοι τὸν ὁ φίλος μᾶλλον εἰ μὴ ᾧ δέχοι τοῦμφω, γινώσκειν ἢ γινώσκεσθαι· οἷον ἐν ταῖς ὑπερβολαῖς αἱ γυναῖκες ποιοῦσι· καὶ ἡ ἀνδρομάχη ἡ αὐτιφῶντος· καὶ γὰρ ἔοικε τὸ μὲν ἐθέλειν γινώσκεσθαι αὐτοῦ ἕνεκα καὶ τοῦ πάσχειν τι ἀγαθόν· ἀλλὰ μὴ ποιεῖν· τὸ δὲ γινώσκειν, τοῦ ποιεῖν καὶ τοῦ φιλεῖν ἕνεκα· διὸ κ|τοὺς ἐμμένοντας τῷ φιλεῖν πρὸς τοὺς τεθνεῶτας ἐπαινοῦμεν· γινώσκουσι γὰρ ἀλλ' οὐ γινώσκονται· ἔτι μὲν οὖν πλείονες τρόποι φιλίας, καὶ πόσοι τρόποι ὅτι τρεῖς, ἢ ὅτι τὸ φιλεῖσθαι καὶ οἱ φίλοι διαφέρουσιν, οἵ, τε κατ' ἰσότητα τοῦ καὶ οἱ καθ' ὑπεροχήν, εἴρηται· ἐπεὶ δὲ τὸ φίλον λέγεται καὶ καθόλου μᾶλλον ὥσπερ καὶ κατ' ἀρχὰς ἐλέχθη· τὸ τῶν ἐξωθεν συμπεριλαμβανόντων, οἱ μὲν γὰρ τὸ ὅμοιον φασὶν εἶναι φίλον, οἱ δὲ τὸ ἐναντίον, λεκτέον ἢ πρὸς τούτων ὡς εἰσὶ πρὸς εἰρημένας φιλίας· ἀναλύεται δὲ τὸ μὲν ὅμοιον κ|εἰς τὸ ἡδὺ καὶ εἰς τὸ ἀγαθόν· τό, τε γὰρ ἀγαθὸν ἀπλοῦν· τὸ δὲ κακὸν πολύμορφον· καὶ ἀπλῶς μὲν ὁμοίως ἀεὶ· καὶ οὐ μεταβάλλει τὸ ἡθος· ὁ δὲ φαῦλος ἢ ὁ ἄφρων οὐθενὶ ἔοικεν ἑαυτῷ ἢ ἑτέρᾳ· διὸ ἐὰν μὴ συμβάλλωσιν οἱ φαῦλοι, οὐ φίλοι ἑαυτοῖς· ἀλλὰ δι' ὀλίγον τινὰ· ἢ δ' οὐδεμία φιλία· ὥστε τοῦτο μὲν τὸ ὅμοιον φίλον ὅτι ἀπλῶς ὅμοιον· ὅταν δὲ ὡς ἕκαστον τὸ ἡδύ· ῥῖς γὰρ ὁμοίοις τοῦ δῆλον· ἢ ἕκαστον ᾗ φύσει αὐτὸ αὐτῷ ἡδὺ ὅ τε καὶ φρονεῖ καὶ ἐξεις καὶ συμπεριφέρεσθαι τοῖς ὁμοήθεσιν ἥδιστον ἀλλήλοις, καὶ τοῖς ἄλλοις ζῴοις· κ|ταὐτὰ ἐν δέχεται κ|τοὺς φαύλους ἀλλήλοις φίλους· κακὸς δὲ κακῷ σπουδαῖον οὐδὲν ἢ ἡδύ· τὸ δ' ἐναντίον τῷ ἐναντίῳ

Antiphotis andri mache

Bonum simplicé esse & sibi cõsentiẽtem. Malũ ci

Τοῖς ὁμοίοις τὰ αὐτὰ ἥδεα

αὐτὸ αὑτῷ ὅμοιον ἄχρηστον

φίλον ὥσπερ χρήσιμον. αὐτὸ γὰρ αὐτῷ ὅμοιον ἄχρηστον. διὸ δεσπότης δούλου δεῖται. ὁ δοῦλος δεσπότου. καὶ γυνὴ καὶ ἀνὴρ ἀλλήλων. καὶ ἡδὺ καὶ ἐπιθυμητὸν τὸ ἐναντίον ὡς χρήσιμον. καὶ οὐχ ὡς ἐν τέλει ἀλλ' ὡς πρὸς τὸ τέλος. ὅταν γὰρ τύχῃ οὗ ἐπιθυμεῖ, ἐν τῷ τέλει μέν ἐστιν. οὐκ ὀρέγεται δὲ τοῦ ἐναντίου. οἷον τὸ θερμὸν τοῦ ψυχροῦ. ἔστι δέ πως καὶ ἡ τοῦ ἐναντίου φιλία τοῦ ἀγαθοῦ. ὀρέγεται γὰρ ἀλλήλων διὰ τὸ μέσον. ὡς σύμβολα γὰρ ὀρέγεται ἀλλήλων. διὸ οὕτω γίνεται ἐξ ἀμφοῖν ἓν μέσον. ἔτι κατὰ συμβεβηκός ἐστι τοῦ ἐναντίου. καθ' αὑτὸ δὲ περὶ μεσότητος ὀρέγονται. γὰρ οὐκ ἀλλήλων τὰ ἐναντία. ἀλλὰ τοῦ μέσου. ὑπερψυχθέντες γὰρ ἐὰν θερμανθῶσιν, εἰς τὸ μέσον καθίστανται. καὶ ὑπερθερμανθέντες ἐὰν ψυχθῶσιν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. εἰ δὲ μὴ ἀεὶ ἐν ἐπιθυμίᾳ οὐκ ἐν τοῖς μέσοις, ἀλλὰ χαίρει ὁ ἐν τῷ μέσῳ ἄνευ ἐπιθυμίας, τοῖς φύσει ἡδέσιν. οἱ δ', πᾶσι τοῖς ἐξιστᾶσι περὶ φύσει ἕξεως. τὸ μὲν οὖν εἶδος καὶ ἐπὶ τῶν ἀψύχων ἐστί. τὸ φιλεῖν δὲ γίνεται ὅταν ᾖ ἐπὶ τῶν ἐμψύχων. διὸ ἐνίοτε ἀνομοίοις χαίρουσιν. οἷον αὐστηροὶ εὐτραπέλοις. καὶ ὀξεῖς ῥαθύμοις. εἰς τὸ μέσον γὰρ καθίστανται ὑπ' ἀλλήλων. κατὰ συμβεβηκὸς οὖν ὥσπερ ἐλέχθη, τὰ ἐναντία φίλα καὶ διὰ τὸ ἀγαθόν. πόσα μὲν οὖν εἴδη φιλίας καὶ τίνες διαφοραὶ καθ' ἃς λέγονται οἵ τε φίλοι καὶ οἱ φιλοῦντες καὶ οἱ φιλούμενοι καὶ οὕτως ὥστε φίλοι εἶναι καὶ ἄνευ τούτου, εἴρηται. περὶ δὲ τοῦ αὐτὸν αὑτῷ φίλον εἶναι ἢ μή, πολλὴν ἔχει ἐπίσκεψιν. δοκεῖ γὰρ ἐνίοις μάλιστα ἕκαστος αὐτὸς αὑτῷ φίλος εἶναι. καὶ τούτῳ χρώμενοι κανόνι, κρίνουσι τὴν πρὸς τοὺς ἄλλους φιλίαν. κατὰ δὲ τοὺς λόγους καὶ τὰ δοκοῦντα ὑπάρχειν τοῖς φίλοις, τὰ μὲν ὑπεναντιοῦται, τὰ δ' ὅμοια φαίνεται ὄντα. ἔστι γάρ πως κατ' ἀναλογίαν αὕτη ἡ φιλία. ἁπλῶς δ' οὔ. ἐν δυσὶ γὰρ διῃρημένοις τὸ φιλεῖσθαι καὶ φιλεῖν. διὸ μᾶλλον οὕτως αὐτῷ φίλος, ὡς ἐπὶ τοῦ ἀκρατοῦς καὶ ἐγκρατοῦς εἴρηται πῶς ἑκὼν ἢ ἄκων, τῷ τὰ μέρη ἔχειν πως πρὸς ἄλληλα τὰ τῆς ψυχῆς. καὶ

An qs possit sibi amicus esse

ὅμοιον



ὅμοιον τὰ τοιαῦτα πάντα, εἰ φίλος αὐτὸς αὑτῷ καὶ ἐχθρός. καὶ εἰ ἀδικεῖ τις αὐτὸς αὑτόν. πάντα γὰρ ἐν δυσὶ ταῦτα καὶ διῃρημένως. ᾗ δὲ δύο πως καὶ ἡ ψυχή, ὑπάρχει πως ταῦτα. ᾗ δ' οὐ διῃρημένα, οὐχ ὑπάρχει. ἀπὸ δὲ τῆς πρὸς αὑτὸν ἕξεως, ὡς οἱ λοιποὶ τρόποι τοῦ φιλεῖν διωρισμένοι, καθ' οὓς ἐν τοῖς λόγοις ἐπισκοπεῖν εἰώθαμεν. δοκεῖ γὰρ φίλος εἶναι, ὁ βουλόμενος τινὶ τἀγαθὰ ἢ οἷα οἴεται ἀγαθά. μὴ δι' αὑτὸν ἀλλ' ἐκείνου ἕνεκεν. ἄλλον δὲ τρόπον ᾧ τὸ εἶναι βούλεται δι' ἐκεῖνον καὶ μὴ δι' αὑτόν. κἂν εἰ μὴ διανέμων τἀγαθὰ μὴ τὸ

δόξειε μάλιστα φιλεῖν. ἄλλον δὲ τρόπον ᾧ συζῆν αἱρεῖται δι' αὐτὴν τὴν ὁμιλίαν καὶ μὴ δι' ἕτερόν τι. οἷον οἱ πατέρες. τὸ μὲν εἶναι τοῖς τέκνοις. συζῶσι δὲ ἑτέροις. μάχεται δὴ ταῦτα πάντα πρὸς ἄλληλα. οἱ μὲν γὰρ ἂν μὴ τὸ ἑαυτοῖς, οἱ δ' ἂν μὴ τὸ εἶναι, οἱ δὲ τὸ συζῆν οὐκ οἴονται φιλεῖσθαι. ἔτι τῷ ἀλγοῦντι συναλγεῖν μὴ δι' ἕτερόν τι, ἀγαπήσομεν. οἷον οἱ δοῦλοι πρὸς τοὺς δεσπότας ὅτι χαλεποὶ ἀλγοῦντες. ἀλλ' οὐ δι' αὐτοὺς ὥσπερ αἱ μητέρες τοῖς τέκνοις καὶ οἱ συνωδίνοντες ὄρνιθες. βούλεται γὰρ μάλιστά τε οὐ μόνον συλλυπεῖσθαι ὁ φίλος τῷ φίλῳ, ἀλλὰ καὶ τὴν αὐτὴν λύπην. οἷον διψῶντι συνδιψῆν εἰ ἐνεδέχετο, ὅτι μὴ ἐγγύτατα. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ χαίρειν μὴ δι' ἕτερόν τι, ἀλλὰ δι' ἐκεῖνον ὅτι χαίρει φιλικόν. ἔτι τὰ τοιάδε λέγεται περὶ φιλίας. ὡς ἰσότης φιλότης. καὶ μὴ μίαν φιλίαν εἶναι τοὺς ἀληθῶς φίλους. ἅπαντα ταῦτα ἐπαναφέρεται πρὸς τὸν ἕνα. καὶ γὰρ βούλεται τἀγαθὰ αὑτῷ τοῦτον τὸν τρόπον. οὐδεὶς γὰρ αὐτὸς αὑτὸν εὖ ποιεῖ διά τι ἕτερον. οὐδὲ χάριτος οὐδὲ λέγει ὅτι ἐποίησεν ἢ εἷς. δοκεῖ γὰρ φιλεῖν βούλεσθαι ὁ δῆλον ποιῶν ὅτι φιλεῖ, ἀλλ' οὐ φιλεῖν. καὶ τὸ εἶναι μάλιστα καὶ τὸ συζῆν καὶ τὸ συγχαίρειν καὶ τὸ συναλγεῖν. καὶ μία δὴ ψυχή. καὶ τὸ μὴ δύνασθαι ἄνευ ἀλλήλων μὴ δὲ ζῆν ἀλλὰ συναποθνήσκειν. οὕτω γὰρ ἔχει ὁ εἷς. καὶ ἴσως ὁμιλεῖ αὐτὸς

KKKK

Nequá homo nõ unus est cẽsendus esse sed multi & eodé die a se ipso dissentit

αὐτῷ. πάντα δὲ ταῦτα τῷ ἀγαθῷ ὑπάρχει πρὸς αὑτόν. ἐν δὲ τῷ πονηρῷ διαφωνεῖ. οἷον ἐν τῷ ἀκρατεῖ. καὶ διὰ τοῦτο δοκεῖ καὶ ἐχθρὸν ἐνδέχεσθαι αὐτὸν αὑτῷ εἶναι. ᾗ δ᾽ εἷς καὶ ἀδιαίρετος, ὀρεκτὸς αὐτὸς αὑτῷ. τοιοῦτος ὁ ἀγαθὸς καὶ ὁ κατ᾽ ἀρετὴν φίλος. ἐπεὶ ὅ γε μοχθηρὸς οὐχ εἷς ἀλλὰ πολλοί. καὶ τῆς αὐτῆς ἡμέρας ἕτερος καὶ ἔμπληκτος. ὥστε καὶ ἡ αὑτοῦ πρὸς αὑτὸν φιλία, ἀνάγεται πρὸς τὴν τοῦ ἀγαθοῦ. ὅτι γὰρ πῇ ὅμοιος καὶ εἷς καὶ αὐτὸς αὑτῷ ἀγαθός, ταύτῃ αὐτὸς αὑτῷ φίλος καὶ ὀρεκτός. φύσει δὲ τοιοῦτος. ἀλλ᾽ ὁ πονηρὸς παρὰ φύσιν. οὐδ᾽ ὁ ἀγαθός. οὔθ᾽ ἅμα λοιδορεῖται ἑαυτῷ ὥσπερ ὁ ἀκρατής. οὔθ᾽ ὁ ὕστερος τῷ πρότερον ὥσπερ ὁ μεταμελητικός. οὔτε ὁ ἔμπροσθεν τῷ ὕστερον, ὥσπερ ὁ ψεύστης. ὅλως τε εἰ δεῖ ὥσπερ οἱ σοφισταὶ διορίζουσιν. ὥσπερ τὸ Κορίσκος καὶ Κορίσκος σπουδαῖος. δῆλον γὰρ ὡς τὸ αὐτὸ πόσον σπουδαῖον αὐτόν. ἐπεὶ ὅταν ἐγκαλέσωσιν αὑτοῖς, ἀποκτιννύασιν αὑτ          ἀλλὰ δοκεῖ πᾶς αὐτὸς αὑτῷ ἀγαθός. ζητεῖ δὲ ὁ ἁπλῶς ὢν ἀγαθὸς εἶναι καὶ αὐτὸς αὑτῷ φίλος. ὥσπερ εἴρηται. ὅτι δύ᾽ ἔχει ἐν αὑτῷ ἃ φύσει βούλεται εἶναι φίλα. καὶ διασπάσαι ἀδύνατον. διὸ ἐπ᾽ ἀνθρώπου μὲν δοκεῖ ἕκαστος αὐτὸς αὑτῷ φίλος. ἐπὶ δὲ τῶν ἄλλων ζῴων οἷον ἵππος αὐτὸς αὑτῷ, οὐκ ἄρα φίλος. ἀλλ᾽ οὐδὲ τὰ παιδία. ἀλλ᾽ ὅταν ἤδη ἔχῃ προαίρεσιν. ἤδη γὰρ τότε διαφωνεῖ ὁ παῖς πρὸς τὴν ἐπιθυμίαν. ἔοικε δ᾽ ἡ φιλία ἡ πρὸς αὑτὸν τῇ κατὰ συγγένειαν. οὐθέτερον γὰρ ἐφ᾽ αὑτοῖς λῦσαι. ἀλλὰ κἂν διαφέρωνται, ὅμως οὗτοι μὲν συγγενεῖς ἔτι. ὁ δὲ ἔτι εἷς ἕως ἂν ζῇ. ποσαχῶς μὲν οὖν τὸ φιλεῖν λέγεται καὶ ὅτι πᾶσαι αἱ φιλίαι ἀνάγονται πρὸς τὴν πρώτην, δῆλον ἐκ τῶν εἰρημένων. οἰκεῖον δὲ τῇ σκέψει θεωρῆσαι καὶ περὶ ὁμονοίας καὶ εὐνοίας. δοκεῖ γὰρ τοῖς μὲν εἶναι ταὐτά. τοῖς δ᾽ οὐκ ἄνευ ἀλλήλων. ἔστι δὴ εὔνοια τῆς φιλίας. οὔτε πάμπαν ἕτερον οὔτε ταὐτόν. διῃρημένης γὰρ τῆς φιλίας κατὰ τρεῖς τρόπους οὔτ᾽ ἐν τῇ χρησίμῃ οὔτ᾽ ἐν τῇ καθ᾽ ἡδονήν ἐστιν. εἴτε γὰρ ὅτι χρήσιμον βούλονται

De Concordia & beneuolentia



ται αὐτῷ τἀγαθά, οὐ δι᾽ ἐκεῖνον, ἀλλὰ δι᾽ αὑτὸν βούλοιτ᾽ ἄν. δοκεῖ δ᾽ ὥσπερ καὶ ἡ          οὐκ αὐτοῦ εὔνοια τοῦ εὐνοιζομένου εἶναι. ἀλλὰ τοῦ εὐνοεῖν. εἰ δ᾽ ἡ ἐν τῇ τοῦ ἡδέος φιλία, κἂν τοῖς ἀψύχοις εὐνόουν. ὥστε δῆλον ὅτι περὶ τὴν ἠθικὴν φιλίαν ἡ εὔνοιά ἐστιν. ἀλλὰ τοῦ μὲν εὐνοοῦντος βούλεσθαι μόνον ἐστί. τοῦ δὲ φίλου καὶ πράττειν ἃ βούλεται. ἔστι γὰρ ἡ εὔνοια ἀρχὴ φιλίας. ὁ μὲν γὰρ φίλος πᾶς εὔνους. ὁ δ᾽ εὔνους οὐ πᾶς φίλος. ἀρχομένῳ γὰρ ἔοικεν ὁ εὐνοῶν μόνον. διὸ ἀρχὴ φιλίας. ἀλλ᾽ οὐ φιλία. δοκοῦσι γὰρ οἵ τε φίλοι ὁμονοεῖν. καὶ οἱ ὁμονοοῦντες φίλοι εἶναι. ἔστι δ᾽ οὐ περὶ πάντα ἡ ὁμόνοια ἡ φιλική. ἀλλὰ περὶ τὰ πράγματα τοῖς ὁμονοοῦσι καὶ ὅσα εἰς τὸ συζῆν συντείνει. οὔτε μόνον κατὰ διάνοιαν ἢ κατὰ ὄρεξιν. ἔστι γὰρ τἀναντία τὸ κινοῦν ἐπιθυμεῖν, ὥσπερ ἐν τῷ ἀκρατεῖ διαφωνεῖ τοῦτο. οὐ δεῖ κατὰ τὴν προαίρεσιν ὁμονοεῖν, καὶ κατὰ τὴν ἐπιθυμίαν. ἐπὶ δὲ τῶν ἀγαθῶν, ἡ ὁμόνοια. οἵ γε φαῦλοι ταὐτὰ προαιρούμενοι καὶ ἐπιθυμοῦντες βλάπτουσιν ἀλλήλους. ἔοικε δὲ καὶ ἡ ὁμόνοια οὐχ ἁπλῶς λέγεσθαι, ὥσπερ οὐδ᾽ ἡ φιλία. ἀλλ᾽ ἡ μὲν πρώτη καὶ φύσει σπουδαία. διὸ οὐκ ἔστι τοὺς φαύλους ὁμονοεῖν. ἑτέρα καθ᾽ ἣν καὶ οἱ φαῦλοι ὁμονοοῦσιν ὅταν τῶν αὐτῶν τὴν προαίρεσιν καὶ τὴν ἐπιθυμίαν ἔχωσιν. οὕτω δὲ δεῖ τῶν αὐτῶν ὀρέγεσθαι, ὥστ᾽ ἐνδέχεσθαι ἀμφοτέροις ὑπάρχειν οὗ ὀρέγονται. ἂν γὰρ τοιούτου ὀρέγωνται ὃ μὴ ἐνδέχεται ἀμφοῖν, μαχοῦνται. οἱ ὁμονοοῦντες δ᾽ οὐ μαχοῦνται. ἔστι δ᾽ ἡ ὁμόνοια ὅταν περὶ τοῦ ἄρχειν καὶ ἄρχεσθαι ἡ αὐτὴ προαίρεσις ᾖ, μὴ τοῦ ἑκατέρου ἀλλὰ τοῦ          καὶ ἔστιν ἡ ὁμόνοια φιλία πολιτική. περὶ μὲν οὖν ὁμονοίας καὶ εὐνοίας εἰρήσθω τοσαῦτα.

Concordiá nõ simpliciter dici

Malos esse cõcordes impossibile ÷

Ἀπορεῖται δὲ διὰ τί μᾶλλον φιλοῦντες οἱ ποιήσαντες αὐτοὺς παθόντας ἢ οἱ παθόντες ἑαυτοὺς ποιήσαντας. δοκεῖ δὲ δίκαιον εἶναι τοὐναντίον. τοῦτο δ᾽ ὑπολάβοι μὲν ἄν τις διὰ τὸ χρήσιμον. καὶ τὸ αὑτῷ ὠφέλιμον συμβαίνει. τὸν μὲν γὰρ ὠφελεῖσθαι. τὸν δ᾽ ἀποδοῦναι δεῖ. οὐκ ἔστι δὲ τοῦτο μόνον ἀλλὰ καὶ φυσικόν. ἡ γὰρ ἐνέργεια αἱρε-

Quaestio

solo

τώτερον τὸν αὐτὸν δὴ λόγον ἔχει τὸ ἔρωτα μὴ ἢ ἐνέργειαν· ὀφείλει πα
θῶν ὡς περ ἔργον τοῦ ποιήσαντος· διὸ ἐν τοῖς ζώοις ἡ περὶ
τὰ τέκνα σπουδὴ ὅτι ἡ τοῦ γεννῆσαι καὶ γενομένῳ σώζειν· καὶ
φιλοῦσι δὴ μᾶλλον οἱ πρῶτοι τὰ τέκνα ἢ αἱ μῆτρες τῶν πρώτων· ἢ φι
λοῦνται· καὶ οὗτοι πάλιν τὰ αὐτῶν ἢ τοὺς γεννήσαντας· διὰ τὸ
τὴν ἐνέργειαν εἶναι τὸ ἄριστον· ἡ αἰμρὲς τῶν πρώτων ὅτι μᾶλλον
οἷον τὰ αὐτῶν εἶναι ἔργον τὰ τέκνα· τὸ γὰρ ἔργον τῷ ἀγαπητῷ
σπουδάζουσι· ὠλείωι ἢ λυπεῖται περὶ τὴν γένεσιν μᾶλλ· ἢ περὶ μὴ
φιλίας τῆς πρὸς αὐτὸν ἢ τῆς ἐν τῷ λείοσι, δι ὠείδωτον ἔρον
τοῦτον· δοκεῖ δὲ τό, τε δίκαιον εἶναι ἴσόν τι· καὶ ἡ φιλία ἐν ἰσότη
τι, εἰμὴ μάτην λέγεται ἰσότης ἡ φιλότης· αἱδὲ πολιτεῖαι ὠσεῖ
σαι δικαίουτι εἶδος· κοινωνία γὰρ· τὸ δὲ κοινὸν ὠᾶν δικαὶ τοῦ δι
καίου σωέσκεψότες ἀεὶ δικαὶ φιλίας ἢ δικαίου ἢ κοινω
νίας· καὶ ὠάντα ταῦτα συνοχὰ ἀλλήλοις· καὶ ἐγγὺς ἔχ τοῖς διαφο
ραῖς· ἐπεὶ δ' ὁμοίως ἔχει ψυχὴ πρὸς σῶμα καὶ τεχνίτης πρὸς ὄρ
γανον· καὶ δεσπότης πρὸς δοῦλον, τούτων μὲν οὐκ ὄντι κοινωνία·
οὐ γὰρ δύ' ὄντε, ἀλλὰ τὸ μὲν ἓν, τὸ δὲ τοῦ ἑνός, οὐδὲν· οὐδὲ δικαι
ον πρὸς ἀγαθὸν ἐκα τέρω ἀλλὰ τὸ ἀμφοτέρων τοῦ ἑνὸς
οὗ ἕνεκά ὅτι· τὸ, τε γὰρ σῶμα ὄντι ὄργανον σύμφυτον, καὶ
τοῦ δεσπότου· ὁ δοῦλος ὥσπερ μόριον· καὶ ὄργανον ἀφαιρετὸν· τὸ δ'
ὄργανον ὥσπερ δοῦλος ἄψυχος· διὸ ἀλλαι κοινωνίαι εἰσὶν, ἢ μο
νον τῆς πόλεως κοινωνιῶν, οἷον ἡ τῶν φρατέρων ἢ τῶν ὀργίων· ἢ
αἱ χήματι καὶ ἑταιρικαὶ· αἱ δὲ πολιτεῖαι ὠᾶσαι ἐν οἰκείοις
σωνυπάρχουσιν αἱ ὀρθαὶ· ἢ αἱ παρεκβάσεις· ὅτι δὲ ὁ αὐτὸς ὠᾶν ὥσπερ
ἐπὶ τῶν ἁρμονιῶν ἢ τῶν ἐν τοῖς πολιτείαις· βασιλικὴ μὲν ἡ γυ γεν
νήσαντος· ἀριστοκρατικὴ δὲ ἡ ἀνδρὸς ἀγαθοῦ γυναικὸς· πολιτεία δ' ἡ
τῶν ἀδελφῶν παρεκβασις ἡ γὰρ τῶν τυραννὶς· ὀλιγαρχία, δῆμος·
ἀ τὰ δίκαια δ' ἠρσαν τοῦ ἐπεὶ ἢ τὸ ἴσον τὸ μὲν κατ' ἀριθμὸν τὸ ἢ
κατ' ἀναλογίαν· ἢ τὸ δίκαιον εἶναι ἁπλῶς· ἢ τῆς κοινωνίας
κατ

 

κατ' ἀριθμὸν μὲν γὰρ ἡ κοινωνία, ἢ ἑστερικὴ φιλία· τῷ γὰρ
αὐτῷ ὁρωμένῳ εἶναι· κατ' ἀναλογίαν δ' ἡ ἀριστοκρατικὴ ἀρέσκη
καὶ βασιλικὴ· οὐ γὰρ ταυτὸν δίκαιον τῷ ὑπερέχοντι καὶ ὑπερε
χομένῳ· ἀλλὰ τὸ ἀνάλογον· καὶ ἡ φιλία δὲ ὁμοίως πατρὸς
καὶ παιδὸς· καὶ ὑπὲρ κοινωνίας ὁ αὐτὸς τρόπος ἀλέγοντα
δὲ φιλίαι· συγγενικὴ· ἑταιρικὴ· κοινωνικὴ· ἢ λεγομένη πο
λιτικὴ· ὅτι μὲν συγγενικὴ πολλὰ ἔχουσα εἴδη· ἢ μὲν ὡς ἀ
δελφῶν· ἢ δ' ὡς παιδὸς ἑαυτῶν· καὶ γὰρ κατ' ἀναλογίαν, οἷον ἡ πα
τρικὴ· καὶ κατ' ἀριθμόν, οἷον ἡ τῶν ἀδελφῶν· ἐγγὺς γὰρ αὐτῆς ἐ
ταιρικῆς· ἐπὶ λαμβάνουσι γὰρ ἢ ἐν ταύθα πρεσβείων· ἢ δ' πολι
τικὴ συμβέσκε μὲν κατὰ τὸ χρήσιμον καὶ μᾶλισα· διαβάλλοντι
αὐ τοῦρκι δοκεῖσι συνελθεῖν· ἐπεὶ σωῆλθον γ' αὖ καὶ τοῦσυζῆν
χάειν· μόνη δ' ἢ πολιτικὴ καὶ ἢ παρέκβασις, ὁμόνομ
φιλία μᾶλλ' ἐῶς φίλοι κοινωνῶσιν· αἱδ' ἄλλαι καθ' ὑπεροχήν·
μᾶλισα δὲ δίκαιον τὸ φύτ' εἶναι τὸ πολιτικὸν δίκαιον· ἄλλον γὰρ ξόπον σωῆλθον πρίων ἢ
τέχνη· οὐχ ἕνεκα κοινοῦ πάντος· ὅλον δ' ὄρταμον ἢ ψυχὴ· ἀλλὰ φύ
χομένου ἕνεκεν· συμβαίνει δὲ ἐν τοῦ τὸ ὄργανον ἐπιμελείας
τυγχάνειν· ἢ δίκαιον πρὸς τὸ ἔργον· ἐκείνου γὰρ ἕνεκεν ὅτι· ἢ τῷ
πρυτάνῳ εἶναι δ' ἐπ' ὀν· ὧν γὰρ κυριώτερον ἢ ἐνέργεια· ἢ πρύτανις· ἐν
τοίτῳ τῷ ἐλευθέρῳ καὶ δοῦλος, ὥσπερ εἴρηται πρότερον·
τὸ ζητεῖν πῶς δεῖ τῷ φίλῳ ὁμιλεῖν· τὸ ζητεῖν δίκαιόν τι· ὅτι γὰρ
ὅλως τὸ δίκαιον ἄπαν πρὸς φίλον· τό, τε γὰρ δίκαιον πισὶ, καὶ
κοινωνοῖς· καὶ ὁ φίλος κοινὸς ὁμῶ γένος· οἷ βίου· ὧν αὐτῶν μόνον,
πολιτικὸς· ἀλλὰ καὶ οἰκονομικόν ζῶον· ἀγχῶ πῶρ τὰ λαπτὸ
σωῶν ἀζεται καὶ ζῷ τυχόντι θηλεῖ ἀρρενι· ἀλλ' αἱδιάδυ μόν
αὐλικόν· ἀλλὰ κοινωνικὸν αὐτὸς ζῶον πρὸς οὓς φύσει συμφάδ
ὅτι· ἢ κοινωνία τοίνυν ἢ δικαίου τι· εἰ μὴ πόλις εἴη· οἰκία δ' ἐστὶ
τις φιλία· διαπόρουμῶν ἔργ· δ' ἄλλ ἢ πῦρ ἢ τέχνη καὶ ὀργάνων
καὶ ψυχῆς καὶ σώματος· αἱδ' ἐρίαι οὖσαι, ἅτ' φιλίαι ἅτ' δικαιοσύνη.



Amicitiae Speci

Patres magis sibi
filios uendicant
quam patres &c.

πρῶτ'
ρότης ἡ φιλότης

ρεα τόρχου κοι
νωνία
ρχιών

Gubernationũ
genera
Legalis .i. monarchia
Aristocratica
Similis

Descisceñt abhis & ueluti
nothae

Tyrannis
Oligarchia
Popularis

ἀλλ' ἀνάλογον· ὥσπερ καὶ τὸ ὑγιεινὸν δίκαιον, ἀλλ' ἀνάλογον. γυναικὸς δὲ καὶ ἀνδρὸς φιλία, ὡς χρήσιμον καὶ κοινωνία· πρὸς δὲ καὶ ἡγουμένῳ αὐτή, ἥπερ θεοῦ πρὸς ἄνθρωπον καὶ τοῦ εὖ ποιήσαντος πρὸς τὸν παθόντα, καὶ ὅλως τοῦ φύσει ἄρχοντος πρὸς τὸν φύσει ἀρχόμενον. ἡ δὲ τῶν ἀδελφῶν πρὸς ἀλλήλους ἑταιρικὴ μάλιστα ἡ κατ' ἰσότητα· οὐ γάρ τί μοι νόθος τῷδ' ἀπεδείχθη· ἀμφοῖν δὲ πατὴρ αὐτὸς ἐκλήθη Ζεὺς ἐμὸς ἄρχων. ταῦτα γὰρ ὡς ἴσον ζητούντων λέγεται. διὸ ἐν οἰκίᾳ πρῶτον ἀρχαὶ καὶ πηγαὶ φιλίας καὶ πολιτείας καὶ δικαίου. ἐπεὶ δὲ φιλίαι τρεῖς, κατ' ἀρετήν, κατὰ τὸ χρήσιμον, κατὰ τὸ ἡδύ· τούτων δὲ ἑκάστης δύο διαφοραί· ἡ μὲν γὰρ καθ' ὑπεροχὴν, ἡ δὲ κατ' ἰσότητά ἐστιν ἑκάστη αὐτῶν. τὸ δὲ δίκαιον τὸ περὶ αὐτὰς ἐκ τῶν ἀμφισβητησάντων δῆλον. ἐν μὲν τῇ καθ' ὑπεροχὴν, ἀξιοῦται τὸ ἀνάλογον οὐχ ὡσαύτως, ἀλλ' ὁ μὲν ὑπερέχων ἀνεστραμμένως τὸ ἀνάλογον, ὡς αὐτὸς πρὸς τὸν ἐλάττω, οὕτω τὸ παρὰ τοῦ ἐλάττονος γινόμενον πρὸς τὸ αὐτοῦ παρ' αὐτοῦ διακείμενον, ὥσπερ ἄρχων πρὸς ἀρχόμενον. εἰ δὲ μὴ τοῦτο, ἀλλὰ τὸ ἴσον κατ' ἀριθμὸν ἀξιοῖ. ἐπὶ δὴ τῶν ἄλλων κοινωνιῶν οὕτω συμβαίνει· ὁτὲ μὲν γὰρ ἀριθμῷ τοῦ ἴσου μετέχουσιν, ὁτὲ δὲ λόγῳ. εἰ μὲν γὰρ ἴσον ἀριθμῷ εἰσήνεγκαν ἀργύριον, ἴσον καὶ τῷ ἴσῳ ἀριθμῷ διαλαμβάνουσιν· εἰ δὲ μὴ ἴσον, ἀνάλογον. ὁ δ' ὑπερεχόμενος τοὐναντίον στρέφει τὸ ἀνάλογον, καὶ κατὰ διάμετρον συζεύγνυσι. δόξειε δ' ἂν οὕτως ἐλαττοῦσθαι ὁ ὑπερέχων, καὶ λειτουργία ἡ φιλία καὶ ἡ κοινωνία. δεῖ ἄρα τινὶ ἑτέρῳ ἀνισάσαι καὶ ποιῆσαι ἀνάλογον· τοῦτο δ' ἐστὶν ἡ τιμή, ὅπερ καὶ τῷ ἄρχοντι φύσει καὶ θεῷ πρὸς τὸ ἀρχόμενον. δεῖ δὲ ἰσασθῆναι τὸ κέρδος πρὸς τὴν τιμήν. ἡ δὲ κατ' ἰσότητα φιλία ἐστὶν ἡ πολιτική. ἡ δὲ πολιτική ἐστι μὲν κατὰ τὸ χρήσιμον, καὶ ὥσπερ αἱ πόλεις φίλαι ἀλλήλαις, οὕτω καὶ οἱ πολῖται, καὶ ὁμοίως οὐκέτι γνωρίζουσιν Ἀθηναῖοι Μεγαρεῖς. καὶ οἱ πολῖται ὅταν μὴ χρήσιμοι ὦσιν ἀλλήλοις, ἀλλ' ἐκ χειρὸς εἰς χεῖρα ἡ φιλία. ἔστι δὲ καὶ ἐνταῦθα καὶ ἄρχον καὶ ἀρχόμενον, οὔτε τὸ φυσικόν,

οὔτε



οὔτε τὸ βασιλικόν, ἀλλὰ τὸ ἐν τῷ μέρει, οὐδὲ τούτου ἕνεκα ὅπως εὖ ποιῇ ὁ θεός, ἀλλ' ἵνα ἴσον ᾖ τοῦ ἀγαθοῦ ἢ τῆς λειτουργίας. κατ' ἰσότητα δὴ βούλεται εἶναι ἡ πολιτικὴ φιλία. ἔστι δὲ τῆς χρησίμου φιλίας εἴδη δύο, ἡ μὲν νομική, ἡ δ' ἠθική. βλέπει δ' ἡ μὲν πολιτικὴ εἰς τὸ ἴσον καὶ εἰς τὸ πρᾶγμα, ὥσπερ οἱ πωλοῦντες καὶ οἱ ὠνούμενοι. διὸ εἴρηται, μισθὸς ἀνδρὶ φίλῳ. ὅταν μὲν οὖν καθ' ὁμολογίαν, ἡ πολιτικὴ αὕτη φιλία καὶ νομική· ὅταν δ' ἐπιτρέπωσιν αὐτοῖς, ἠθικὴ βούλεται εἶναι φιλία καὶ ἑταιρική. διὸ μάλιστα ἔγκλημα ἐν ταύτῃ τῇ φιλίᾳ. αἴτιον δ' ὅτι παρὰ φύσιν. ἕτεραι γὰρ φιλίαι ἡ κατὰ τὸ χρήσιμον καὶ ἡ κατὰ τὴν ἀρετήν· οἱ δ' ἀμφότερα βούλονται ἅμα ἔχειν, καὶ ὁμιλοῦσι μὲν τοῦ χρησίμου ἕνεκα, ἠθικὴν δὲ ποιοῦσιν ὡς ἐπιεικεῖς. διὸ ὡς πιστεύοντες οὐ νομικὴν ποιοῦσιν. ὅλως μὲν γὰρ ἐν χρησίμῃ τῶν τριῶν πλεῖστα ἐγκλήματα· ἡ μὲν γὰρ ἀρετὴ ἀνέγκλητον, οἱ δ' ἡδεῖς ἔχοντες καὶ δόντες ἀπαλλάττονται· οἱ δὲ χρήσιμοι οὐκ εὐθὺς διαλύονται, ἂν μὴ νομικῶς καὶ ἑταιρικῶς προσφέρωνται. ὅμως δὲ τῆς χρησίμου ἡ νομικὴ ἀνέγκλητος. ἔστι δ' ἡ μὲν νομικὴ διάλυσις πρὸς νόμισμα, μέτρῳ γὰρ τούτῳ τὸ ἴσον· ἡ δ' ἠθικὴ ἑκούσιος. διὸ ἐνιαχοῦ νόμος ἐστὶ τοῖς οὕτως ὁμιλοῦσι φιλικῶς μὴ εἶναι δίκας τῶν ἑκουσίων συναλλαγμάτων, ὀρθῶς. τοῖς γὰρ ἀγαθοῖς οὐ πέφυκε δίκαιον εἶναι, οἱ δ' ὡς ἀγαθοὶ καὶ πιστοὶ συναλλάττουσιν. ἔστι δὲ ἐν ταύτῃ τῇ φιλίᾳ τὰ ἐγκλήματα ἀμφιβάλλονται αὐτοῖς ἀμφότερα, πῶς ἑκάτερος ἐγκαλεῖ, ὅταν ἠθικῶς ἀλλὰ μὴ νομικῶς πιστεύσωσι. καὶ ἔχει δὴ ἀπορίαν πότερως δεῖ κρίνειν τὸ δίκαιον, πότερα πρὸς τὸ πρᾶγμα βλέποντα τὸ ὑπηρετηθὲν πόσου ἢ ποῖον, ἢ τῷ πεπονθότι. ἐνδέχεται γὰρ εἶναι ὅπερ λέγει Θέογνις· σοὶ μὲν τοῦτο θεὰ σμικρόν, ἐμοὶ δὲ μέγα. ἐνδέχεται δὲ καὶ τοὐναντίον γενέσθαι, ὥσπερ ἐν τῷ λόγῳ· σοὶ μὲν παιδιὰ τοῦτ' εἶναι, ἐμοὶ δὲ θάνατον. ἐντεῦθεν δ' ἐστὶ τὰ ἐγκλήματα. ὁ μὲν γὰρ ἀξιοῖ ἀντιπαθεῖν ὡς μέγα ὑπηρετήσας, ὅτι δεομένῳ ἐποίησεν, ἤ τι ἄλλο ὁρίζων λέγων πρὸς τὴν ἐκείνου ὠφέλειαν, καὶ οὐ τί ἦν αὐτῷ· ὁ δὲ τοὐναντίον, ὅσον ἐκείνῳ

Amicicia utilis species duæ
Legalis
Moralis

In amicicia utili plurimæ querimoniæ

Theognis

σοὶ μ παιδιὰ τοῦτ' εἶναι ἐμοὶ δὲ θάνατον

ἀλλ' οὐχ ὅσον αὐτῷ, ὅτε δὲ καὶ μεταλαμβάνων καὶ ἀμφιβάλλει· ὁ μὲν γὰρ ὅσον αὐτῷ μικρὸν ἀπέβη· ὁ δ' ὅσον αὐτῷ μέγα ἐδύνατο· οἷον εἰ κινδυνεύσας δραχμῆς ἄξιον ὠφέλησεν· ὁ μὲν τὸ τοῦ κινδύνου μέγεθος, ὁ δὲ τὸ τοῦ ἀργυρίου· ὥσπερ ἐν τῇ τῶν νομισμάτων ἀποδόσει. καὶ γὰρ ἐνταῦθα περὶ τούτων ἡ ἀμφισβήτησις· ὁ μὲν γὰρ ἀξιοῖ πῶς τότε ἦν· ὁ δὲ πῶς νῦν, ἂν μὴ διείπωνται. ἡ μὲν οὖν πολιτικὴ βλέπει εἰς τὴν ὁμολογίαν καὶ εἰς τὸ πρᾶγμα. ἡ δ' ἠθικὴ εἰς τὴν προαίρεσιν· ὥστε καὶ δίκαιον τοῦτο μᾶλλόν ἐστι, καὶ δικαιοσύνη φιλική. αἴτιον δὲ τοῦ μάχεσθαι, διότι καλλίων μὲν ἡ ἠθικὴ φιλία, ἀναγκαιοτέρα δὲ ἡ χρησίμη. οἱ δ' ἄρχονται μὲν ὡς ἠθικοὶ φίλοι καὶ δι' ἀρετὴν ὄντες. ὅταν δ' ἀντικρύσῃ τι τῶν ἰδίων, δῆλοι γίνονται ὅτι ἕτεροι ἦσαν. ἐκ περιουσίας γὰρ διώκουσιν οἱ πολλοὶ τὸ καλόν· διὸ καὶ τὴν καλλίω φιλίαν. ὥστε φανερὸν πῶς διαιρετέον περὶ τούτων. εἰ μὲν γὰρ ἠθικοὶ φίλοι, εἰς τὴν προαίρεσιν βλεπτέον εἰ ἴση, καὶ οὐθὲν ἄλλο ἀξιωτέον θατέρῳ παρὰ θατέρου· εἰ δ' ὡς χρήσιμοι καὶ πολιτικοὶ, ὡς ἂν ἐλυσιτέλει ὁμολογοῦσιν. ἂν δ' ὁ μὲν φῇ ὧδε, ὁ δ' ἐκείνως, οὐ καλὸν μὲν ἀντιποιῆσαι δέον τοὺς καλοὺς λέγειν λόγους· ὁμοίως δὲ καὶ ἐπὶ θατέρου. ἀλλ' ἐπειδὴ οὐ διείποντο ὡς ἠθικῶς, δεῖ κρίνειν τινά, μὴ δ' ὑποκρινομένους μηδέτερον αὐτῶν ἐξαπατᾶν· ὥστε δεῖ στέργειν αὐτὸν τὴν τύχην. ὅτι δ' ἐστὶν ἡ ἠθικὴ κατὰ προαίρεσιν, δῆλον. ἐπεὶ κἂν εἰ μεγάλα παθὼν μὴ ἀποδῷ, ἢ δι' ἀδυναμίαν, ἀλλ' ὡς ἐδύνατο καλῶς, καὶ ὁ θεὸς ἀνέχεται κατὰ δύναμιν λαμβάνων τὰς θυσίας. ἀλλὰ τῷ πωλοῦντι οὐχ ἱκανῶς ἕξει, ἂν μὴ φήσῃ δύνασθαι πλέον δοῦναι· οὐδὲ τῷ δανείσαντι. πολλὰ ἐγκλήματα γίνεται ἐν ταῖς φιλίαις, τοῖς μὴ κατ' εὐθυωρίαν καὶ τὸ δίκαιον ἰδεῖν. ῥᾴδιον γὰρ χαλεπὸν μετρῆσαι ἑνί τῳ μὴ κατ' εὐθυωρίαν, οἷον συμβαίνει ἐπὶ τῶν ἐρωτικῶν. ὁ μὲν γὰρ διώκει ὡς τὸν ἡδὺν ἐπὶ τὸ συζῆν. ὁ δ' ἐκεῖνον ἐνίοτε ὡς χρήσιμον. ὅταν δὲ παύσηται τοῦ ἐρᾶν, ἄλλου γινομένου, ἄλλος γίνεται· καὶ τότε λογίζονται τί ἀντὶ τίνος· καὶ ὡς Πύθων καὶ Παμμένης διεφέροντο·

καὶ

Deus boni consulit sacra quae illis pro facultatibus fiunt

Pythó
Pammens



καὶ ὅλως διδάσκαλος καὶ μαθητής. ἐπιστήμη γὰρ καὶ χρήματα οὐχ ἑνὶ μετρεῖται, καὶ ὡς Πρόδικος ὁ ἰατρὸς πρὸς τὸν ἀποδιδόντα μικρὸν τὸν μισθόν· καὶ ὡς ὁ κιθαρῳδὸς καὶ ὁ βασιλεύς. ὁ μὲν γὰρ ὡς ἡδεῖ, ὁ δ' ὡς χρησίμῳ ὡμίλει. ὁ δ' ἐπεὶ ἔδει ἀποδιδόναι αὐτόν, αὐτὸν ὡς ἡδὺν ἐποίησεν. καὶ ἔφη ὥσπερ ἐκεῖνον ᾄσαντα εὐφρᾶναι, οὕτω καὶ αὐτὸς ὑποσχόμενος ἐκείνῳ. ὅπως δὲ φανερὸν, καὶ ἐνταῦθα πῶς γνωριστέον. ἑνὶ γὰρ μετρητέον καὶ ἐνταῦθ' ἀλλ' οὐχ ὅρῳ, ἀλλὰ λόγῳ. τὸ ἀνάλογον γὰρ μετρητέον, ὥσπερ καὶ ἡ πολιτικὴ μετρεῖται κοινωνία. πῶς γὰρ κοινωνήσει γεωργῷ σκυτοτόμος, εἰ μὴ τὸ ἀνάλογον ἰσασθήσεται τὰ ἔργα. τοῖς δὲ μὴ κατ' εὐθυωρίαν τὸ ἀνάλογον μέτρον. οἷον εἰ ὁ μὲν σοφίαν δοῦναι ἐγκαλεῖ, ὁ δ' ἐκείνῳ ἀργύριον· τί ἡ σοφία πρὸς τὸ πλούσιον. εἶτα τί δοθὲν πρὸς ἑκάτερον. εἰ γὰρ ὁ μὲν τοῦ ἐλάττονος ἥμισυ ἔδωκεν, ὁ δὲ τοῦ μείζονος μὴ πολλοστὸν μέρος, δῆλον ὅτι οὗτος ἀδικεῖ. ἔστι δὲ καὶ ἐνταῦθα ἐν ἀρχῇ ἀμφισβήτησις, ἂν φῶσιν μὲν ὡς χρησίμους συνελθεῖν αὐτούς· οἱ δὲ μὴ, ἀλλὰ κατ' ἄλλην τινὰ φιλίαν. περὶ δὲ τοῦ ἀγαθοῦ καὶ κατ' ἀρετὴν φίλου σκεπτέον, πότερον δεῖ ἐκείνῳ τὰ χρήσιμα ὑπηρετεῖν καὶ βοηθεῖν, ἢ τῷ ἀντιποιοῦντι καὶ δυναμένῳ. τοῦτο δὲ τὸ αὐτὸ πρόβλημά ἐστι, πότερον τὸν φίλον ἢ τὸν σπουδαῖον εὖ ποιητέον μᾶλλον. ἂν μὲν γὰρ φίλος καὶ σπουδαῖος, ἴσως οὐ λίαν χαλεπόν, ἂν μή τις τὸ μὲν αὔξῃ, τὸ δὲ ταπεινώσῃ, φίλον μὲν σφόδρα ποιῶν, ἐπιεικῆ δὲ ἠρέμα. εἰ δὲ μή, πολλὰ προβλήματα γίνεται. οἷον εἰ ὁ μὲν ἦν, οὐκ ἔσται δέ· ὁ δὲ ἔσται, οὔπω δέ· ἢ ὁ μὲν ἐγένετο, ἔστι δ' οὔ. διὸ ἔστιν· οὐκ ἦν δὲ οὐδὲ ἔσται. ἀλλ' ἐκεῖνο ἐργωδέστερον. μὴ γάρ τι λέγει Εὐριπίδης, ποιήσας λόγον δίκαιον μισθὸν ἂν λόγου εἰ φέρῃς. ἔργων δ' ἐκείνοις ἔργα παρέσχεν· καὶ οὐ πάντα δεῖ τῷ πατρί, ἀλλ' ἔστιν ἄλλα δὲ τῇ μητρὶ καίτοι βελτίων ὁ πατήρ. οὐδὲ γὰρ τῷ Διὶ πάντα θύεται. οὐδ' ἔχει πάσας τὰς τιμὰς, ἀλλά τινάς. ἴσως οὖν ἔστιν ἃ δεῖ τῷ χρησίμῳ, ἄλλα δὲ τῷ ἀγαθῷ. οἷον εἰ σῖτον δίδωσι καὶ τἀναγκαῖα, καὶ συζῆν τούτῳ δεῖ. οὐδ' ᾧ τοίνυν τὸ συζῆν, τούτῳ ἃ μὴ οὗτος δίδωσιν, ἀλλ' ὁ χρήσιμος.

Prodic medic

εὐθυωρίαι

Euripides



οὐδὲ γὰρ τῷ Διὶ πάντα θύει, οὐδ' ἔχει πάσας τὰς τιμὰς ἀλλά τινάς

ἀλλ' οἱ ῥυποῦντες τούτῳ πάντα τῷ ἐρωμένῳ διδόασιν ἢ δέον. οὐδ' εἰσὶν ἄξιοι. ἢ οἱ νῦν τοῖς λόγοις ὅροι τῆς φιλίας. πάντες μέν πως εἰσὶ φιλίας, ἀλλ' οὐ τῆς αὐτῆς. τῷ μὲν ἢ χρησίμῳ, τὸ βούλεσθαι τὰ ἐκείνῳ ἀγαθά. καὶ τῷ εὖ ποιήσαντι καὶ τῷ ὁποῖος δεῖ. οὐ γὰρ ἐπισημαίνει οὗτος ὁ ὁρισμὸς τῆς φιλίας. ἄλλῳ δὲ τὸ εἶναι. καὶ ἄλλῳ τὸ συζῆν. τῷ δὲ καθ' ἡδονὴν τὸ συναλγεῖν ἢ συγχαίρειν. πάντες δ' οὗτοι οἱ ὅροι κατὰ φιλίαν μὲν λέγονταί τινα, οὐ πρὸς μίαν δ' οὐδείς. διὸ πολλοί εἰσι. καὶ ἑκάστοι μιᾶς εἶναι δοκεῖ φιλίας οὐκ ὤν. οἷον ἡ τοῦ εἶναι προαίρεσις. ἢ ὁ καθ' ὑπεροχὴν ἢ ποιήσας. οὐ βούλεται τῷ ἔργῳ τῷ αὐτοῦ ὑπάρχειν. ἢ τῷ διδόντι τὸ εἶναι δεῖ ἢ ἀντιπροσδιδόναι. ἀλλὰ συζῆν οὐ τούτῳ, ἀλλὰ τῷ ἡδεῖ. ἀδικοῦσιν οἱ φίλοι ἐνίοις ἀλλήλους. τὰ γὰρ πράγματα μᾶλλον. αὐτοὶ φιλοῦσι τὰ ἔχοντα. διὸ φίλοι κἀκείνοις. οἷον διότι ἡδὺς τὸν οἶνον εἵλετο. καὶ ὅτι χρήσιμος, τὸν πλοῦτον εἵλετο. χρησιμώτερος γάρ. διὸ δεῖ ἀγανακτεῖν, ὥσπερ ἂν εἰ μᾶλλον εἵλετο αὐτὶ ἧττον ὡς. οὐδ' ἐγκαλοῦσιν. ἐκεῖνον γὰρ νῦν ζητοῦσι τὸν ἀγαθὸν πρότερον ζητοῦντες τὸν ἡδὺν ἢ τὸν χρήσιμον. σκεπτέον δὲ καὶ περὶ αὐταρκείας καὶ φιλίας πῶς ἔχουσι πρὸς τὰς ἀλλήλων δυνάμεις. ἀπορήσειε γὰρ ἄν τις, πότερον εἰ ἦν κατὰ πάντα αὐτάρκης ἔσται τούτῳ φίλος. ἢ ἔσται ἀγαθὸς αὐταρκέστατος. εἰ μετ' ἀρετῆς εὐδαίμων, τί ἂν δέοι φίλου. οὔτε γὰρ τῶν χρησίμων δεῖσθαι αὐταρκῶς, οὔτε τῶν εὐφρονούντων, οὔτε τοῦ συζῆν. οὗτος γὰρ ἱκανὸς αὐτῷ συνεῖναι. μάλιστα δὲ τοῦτο φανερὸν ἐπὶ θεοῦ. δῆλον γὰρ ὡς οὐδενὸς προσδεόμενος οὐδὲ φίλου δεήσεται. οὐδ' ἔσται αὐτῷ οὔτε μηθὲν δεσπότου ὥστε καὶ ὁ ἀνὴρ εὐδαιμονέστατος ἥκιστα δεήσεται φίλου. ἀλλ' ἢ καθ' ὅσον ἀδύνατον εἶναι αὐτάρκη. ἀνάγκη ἄρα ἐλαχίστους εἶναι φίλους τῷ ἀρίστῳ ζῶντι. καὶ δεῖ ἐλάττους γίνεσθαι. καὶ μὴ σπουδάζειν ὅπως ὦσι φίλοι. ἀλλ' ὀλιγωρεῖν μὴ μόνον τῶν χρησίμων ἀλλὰ καὶ εἰς τὸ συζῆν αἱρετῶν. ἀλλὰ μὴν καὶ τότε φανερὸν ἂν εἶναι δόξειεν

ὡς οὐ χρήσεως

Περὶ αὐταρκ.



ὡς οὐ χρήσεως ἕνεκα ὁ φίλος. οὐδ' ὠφελείας. ἀλλ' ὁ δι' ἀρετὴν φίλος μόνος. ὅταν γὰρ μηθενὸς ἐνδεεῖς ὦμεν, τότε τοὺς συναπολαυσομένους ζητοῦσι πάντες. καὶ τοὺς εὖ πεισομένους μᾶλλον ἢ τοὺς ποιήσοντας. ἀμείνω δ' ἔχομεν κρίσιν αὐτάρκεις ὄντες. ἢ μετ' ἐνδείας. τε μάλιστα τῶν συζῆν ἀξίων δεόμεθα φίλων. περὶ δὲ τῆς ἀπορίας ταύτης σκεπτέον, μήποτε τὸ μέν τι λέγεται καλῶς τὸ δὲ λανθάνει διὰ τὴν παραβολήν. δῆλον δὲ λαβοῦσι τί τὸ ζῆν κατ' ἐνέργειαν καὶ ὡς τέλος. φανερὸν οὖν ὅτι τὸ αἰσθάνεσθαι ἢ τὸ γνωρίζειν. ὥστε ἢ τὸ συζῆν τὸ συναισθάνεσθαι ἢ τὸ συγγνωρίζειν ἐστίν. ἔστι δὲ τὸ αὐτὸ αἰσθάνεσθαι ἢ τὸ αὐτὸ γνωρίζειν αἱρετώτατον ἑκάστῳ. καὶ διὰ τοῦτο τοῦ ζῆν πᾶσιν ἔμφυτος ἡ ὄρεξις. τὸ γὰρ ζῆν δεῖ τιθέναι γνῶσίν τινα. εἰ οὖν τις ἀποτέμοι καὶ ποιήσειε τὸ γινώσκειν αὐτὸ καθ' αὑτὸ καὶ μή. ἀλλὰ τοῦτο μὲν λανθάνει ὥσπερ ἐν τῷ λόγῳ γέγραπται. τῷ μέντοι πράγματι ἔστι μὴ λανθάνειν, οὐθὲν ἂν διαφέροι ἢ τὸ γινώσκειν ἄλλον αὐτὸν αὑτοῦ. τὸ δ' ὅμοιον τοῦ ζῆν ἀνθ' αὑτοῦ ἄλλον. εὐλόγως δὲ τὸ ἑαυτοῦ αἰσθάνεσθαι καὶ γνωρίζειν αἱρετώτερον. δεῖ γὰρ ἅμα συνθεῖναι δύο ἐν τῷ λόγῳ. ὅτι τε τὸ ζῆν ἢ αἱρετόν, ἢ ὅτι τὸ ἀγαθόν. καὶ ἐκ τούτων ὅτι τὸ αὐτὸ τοῖς ὑπάρχειν τὴν τοιαύτην φύσιν. εἰ οὖν ἔστιν ἀεὶ τῆς τοιαύτης συστοιχίας ἡ ἑτέρα ἐν τῇ τοῦ αἱρετοῦ τάξει. καὶ τὸ γνωστὸν ἢ τὸ αἱρετόν ἐστιν, ὡς ὅλως εἰπεῖν τὸ κοινωνεῖν τῆς ὡρισμένης φύσεως. ὥστε τὸ αὐτοῦ βούλεσθαι αἰσθάνεσθαι τὸ αὐτὸν εἶναι τοιονδὶ βούλεσθαι ἐστίν. ἐπεὶ οὖν οὐκ αὐτοὺς ἐσμὲν ἕκαστον τούτων ἀλλὰ κατὰ μετάληψιν τῶν δυνάμεων ἐν τῷ αἰσθάνεσθαι ἢ γνωρίζειν. αἰσθανόμενος γὰρ αἰσθητὸς γίνεται ταύτῃ καὶ κατὰ τοῦτο καθὰ πρότερον αἰσθάνεται καὶ ἧ καὶ οὗ. γνωστὸς δὲ γινώσκων. ὥστε διὰ τοῦτο καὶ ζῆν ἀεὶ βούλεται, ὅτι βούλεται ἀεὶ γνωρίζειν. τοῦτο δὲ, ὅτι αὐτὸς εἶναι τὸ γνωστόν. τὸ δ' ἡσυζῆν αἱρεῖσθαι, δόξειε μὲν ἂν εἶναι σκοπουμένοις εὐηθές, τῶν τῶν κοινῶν πρῶτον καὶ τοῖς ἄλλοις ζῴοις, οἷον τὸ συνεσθίειν ἢ τὸ συμπίνειν

KKKK 6

τί γὰρ διαφέρει τὸ πλησίον οὕτως αὐτῷ συμβαίνειν ἢ χωρίς; ἀνα-
φέρειν τὸν λόγον. ἀλλὰ μὴν καὶ τοῦ λόγου κοινωνεῖν τοῦ τυχόντος
ἕτερον τοιοῦτον. ἅμα γὰρ οὔτε διδάσκειν οὔτε μανθάνειν τοῖς αὐτάρ-
κεσι φίλοις οἷόν τε. μανθάνων μὲν γὰρ αὐτὸς οὐκ ἔχει ὡς δεῖ. δι-
δάσκοντος δ' οὐ φίλος. ἡ δ' ὁμοιότης φιλία. ἀλλὰ μὴν φαί-
νεταί γε. καὶ πάντες ἥδιον τῶν ἀγαθῶν μετὰ τῶν φίλων κοινωνοῦμεν,
καθ' ὅσον ἐπιβάλλει ἑκάστῳ καὶ οὗ δύναται ἀρίστου. ἀλλὰ τούτων τῷ
μὲν ἡδονῆς σωματικῆς, τῷ δὲ θεωρίας μουσικῆς, τῷ δὲ φιλοσο-
φίας. καὶ τὸ ἅμα δεῖ εἶναι τῷ φίλῳ. διό φησι μόχθος οἱ τηλοῦ φί-
λοι. ὥστ' οὐ δεῖ γενέσθαι ἀπ' ἀλλήλων τούτου γινομένου. ὅθεν καὶ ὁ ἔρως
δοκεῖ φιλίᾳ ὅμοιον εἶναι. τοῦ γὰρ συζῆν ὀρέγεται ὁ ἐρῶν. ἀλλ' οὐχ ᾗ
μάλιστα δεῖ, ἀλλὰ κατὰ τὴν αἴσθησιν. ὁ μὲν τοίνυν λόγος ἐκεῖνά φησι
διαπορῶν. τὸ δ' ἔργον οὕτω φαίνεται γινόμενον. ὥστε δῆλον ὅτι
παρακρούεταί πως ἡμᾶς ὁ διαπορῶν. σκεπτέον ἔνθεν τἀληθές.
ὁ γὰρ φίλος βούλεται εἶναι, ὥσπερ ἡ παροιμία φησίν, ἄλλος ἡρακλῆς.
ἄλλος οὗτος. διέσπασται δὲ καὶ χαλεπὸν τὰ ἐφ' ἑνὸς γενέσθαι. ἀλλὰ κα-
τὰ μὲν φύσιν ὃ συγγενέστατον, κατὰ δὲ σῶμα ὅμοιος ἕτερος. ἄλλο
δὲ κατὰ τὴν ψυχήν. καὶ τούτων κατὰ μόριον ἕτερον. ἀλλ' οὐθὲν τι
ἧττον βούλεται ὥσπερ αὐτὸς διαιρετὸς εἶναι ὁ φίλος. τὸ οὖν τοῦ φίλου
αἰσθάνεσθαι, τὸ αὐτόν πως ἀνάγκη αἰσθάνεσθαι εἶναι, καὶ τὸ αὐτὸν
πως γνωρίζειν. ὥστε καὶ τὰ φορτικὰ μὲν συνήδεσθαι καὶ συζῆν τῷ
φίλῳ ἡδὺ εὐλόγως. συμβαίνει γὰρ ἐκείνου ἅμα αἴσθησις ἀεί. μᾶλλον
δὲ τὰς θειοτέρας ἡδονάς. αἴτιον δ' ὅτι ἀεὶ ἥδιον ἑαυτὸν θεωρεῖν
ἐν τῷ βελτίονι ἀγαθῷ. τοῦτο δ' ἐστὶν ὁτὲ μὲν πάθος. ὁτὲ δὲ πρᾶξις.
ὁτὲ δὲ ἕτερόν τι. εἰ δ' αὐτὸν εὖ ζῆν καὶ οὕτω καὶ τὸν φίλον. ἐν δὲ τῷ συζῆν
συνεργεῖν, ἡ κοινωνία τῶν ἐν τέλει μάλιστα. διὸ συνθεωρεῖν καὶ
συνευωχεῖσθαι, οὐ τὰ διὰ τὴν τροφὴν καὶ τὰ ἀναγκαῖα. αἱ τοιαῦται ὁ-
μιλίαι δοκοῦσιν εἶναι, ἀλλ' ἀπολαύσεις. ἀλλ' ἕκαστος οὗ
δύναται τυγχάνειν τέλους, ἐν τούτῳ βούλεται συζῆν. εἰ δὲ μὴ
καὶ ποιεῖν εὖ καὶ πάσχειν ὑπὸ τῶν φίλων αἱροῦνται μάλιστα.

ὅτι μὲν



ὅτι μὲν τοίνυν καὶ δεῖ συζῆν καὶ ὅτι μάλιστα βούλονται πάντες, καὶ
ὅτι ὁ εὐδαιμονέστατος καὶ ἄριστος μάλιστα τοιοῦτος, φανερόν. ὅτι δὲ
κατὰ τὸν λόγον οὐκ ἐφαίνετο. καὶ τοῦτ' εὐλόγως συνέβαινε λέγοντος
ἀληθῆ. κατὰ τὴν σύνθεσιν γὰρ τῆς παραβολῆς ἀληθοῦς οὔσης, ἡ λύ-
σις οὐκ ἔστιν. ὅτι γὰρ ὁ θεὸς οὐ τοιοῦτος, οἷον δεῖσθαι φίλου, καὶ τὸν ὅμοιον ἀξιοῦ-
μεν. καίτοι κατὰ τοῦτον τὸν λόγον, οὐδὲ νοήσει ὁ σπουδαῖος. οὐ γὰρ οὕτως ὁ θε-
ὸς εὖ ἔχει. ἀλλὰ βέλτιον ἢ ὥστε ἄλλο τι νοεῖν παρ' αὐτὸς αὑτόν.
αἴτιον δ' ὅτι ἡμῖν μὲν τὸ εὖ καθ' ἕτερον, ἐκείνῳ δὲ αὐτὸς αὑτοῦ τὸ εὖ
ἐστι. καὶ τὸ ζητεῖν ἡμῖν καὶ εὔχεσθαι πολλοὺς φίλους, ἅμα δὲ λέγειν ὡς
οὐθεὶς φίλος ᾧ πολλοὶ φίλοι, ἀμφοτέρως λέγεται ὀρθῶς. ἐνδεχομένου γὰρ
πολλοῖς συζῆν ἅμα καὶ συναισθάνεσθαι ὡς πλείστοις αἱρετώτα-
τον. ἐπεὶ δὲ χαλεπώτατον, ἐν ἐλάττοσιν ἀνάγκη τὴν ἐνέργειαν
τῆς συναισθήσεως εἶναι. ὥστ' οὐ μόνον χαλεπὸν τὸ πολλοὺς κτήσασθαι
πείρας γὰρ δεῖ, ἀλλὰ καὶ οὖσι χρήσασθαι. καὶ ὁτὲ μὲν ἀπεῖναι εὖ πράτ-
τοντα τὸν φιλούμενον βουλόμεθα. ὁτὲ δὲ μετέχειν τῶν αὐτῶν. καὶ τὸ
ἅμα βούλεσθαι εἶναι φιλικόν. ἐνδεχομένου μὲν γὰρ ἅμα καὶ εὖ
τοῦτο πάντες αἱροῦνται. μὴ ἐνδεχομένου δέ, ἀλλ' ὥσπερ τῷ ἡρα-
κλεῖ ἴσως ἂν ἡ μήτηρ εἵλετο θεὸν εἶναι μᾶλλον ἢ μετ' αὐτῆς ὄντα τῷ
εὐρυσθεῖ θητεύειν. ὁμοίως γὰρ ἂν εἴπειε καὶ ὃν ὁ λάκων ἔσκωψε, ἐ-
πεί τις ἐκάλεσεν αὐτὸν χειμαζόμενον ἐπικαλέσασθαι τοὺς δι-
οσκούρους. δοκεῖ δὲ τοῦ μὲν φιλοῦντος τὸ ἀπείργειν εἶναι τῆς συμ-
μεθέξεως τῶν χαλεπῶν, τοῦ δὲ βουλομένου τὸ βούλεσθαι συμ-
μετέχειν. καὶ ταῦτα ἀμφότερα συμβαίνει εὐλόγως. δεῖ γὰρ
τῷ φίλῳ μηθὲν εἶναι οὕτω λυπηρόν, ὡς ἡδὺ τὸν φίλον. δοκεῖ
δὲ δεῖν αἱρεῖσθαι μὴ τὸ αὐτοῦ. διὸ κωλύουσι συμμετέχειν. ἱκα-
νοὶ γὰρ αὐτοὶ κακοπαθοῦντες. ἵνα μὴ φαίνωνται τὸ αὐτῶν
σκοποῦντες καὶ αἱρεῖσθαι τὸ χαίρειν λυπουμένου τοῦ φί-
λου. ἔτι δὲ κουφότεροι εἶναι μὴ μόνον φέροντες τὰ κακά.
ἐπεὶ δ' αἱρετὸν τό τ' εὖ καὶ τὸ ἅμα, δῆλον ὅτι καὶ τὸ ἅμα εἶναι
μετ' ἐλάττονος ἀγαθοῦ, αἱρετόν πως ἢ χωρὶς μετὰ μείζονος.

μόχθος οἱ τηλοῦ φίλοι

ἄλλος ἡρακλῆς ἄλλος οὗτος

Deū nō indige. amicus. neq: co siderare aliq aliud praeter se

Alcmena malu herculé esse de quā secū degēt eurystheo seru

De Lac ne not

ἐπεὶ δὴ ἄδηλον τὸ πρὸς ὃν δύναται τὸ ἅμα ἤδη διαφέρονται. καὶ οἷον καὶ τὸ μετέχειν ἅμα πάντων φιλικόν. καὶ ὥσπερ συνδειπνεῖν ἅμα φασὶν ἡδὺ ταῦτα ἔχοντας. οἱ δ' αὖ μέν τοι οὐ βούλονται. ἐπεὶ δέ γε τὰς ὑπερβολὰς ποιήσει ὁμολογοῦσιν ἅμα κακῶς πράττοντας σφόδρα ἢ εὖ σφόδρα χωρίς. παραπλήσιον δὲ τούτῳ καὶ περὶ τὰς ἀτυχίας. ὅτε μὲν γὰρ βουλόμεθα τοὺς φίλους εἶναι οὐδὲ λυπεῖν. ὅταν μηθὲν μέλλωσι ποιήσειν πλέον. ὅτε δὲ τοὺς ἥδιστον παρεῖναι. τὸ δὲ τῆς ὑπεναντιώσεως ταύτης καὶ μάλ' εὔλογον. διὰ γὰρ τὰ προειρημένα συμβαίνει, καὶ ὅτι μὲν τὸ λυπούμενον ἢ ἐν φαύλῃ ὄντα ἕξει τὸν φίλον θεωρεῖν φεύγομεν ἁπλῶς ὥσπερ καὶ ἡμᾶς αὐτούς. τὸ δ' ὁρᾶν τὸν φίλον ἡδὺ ὥσπερ ἄλλο τι τῶν ἡδίστων, διὰ τὴν εἰρημένην αἰτίαν καὶ μὴ κάμνοντα εἰ αὐτός. ὥστε ὁπότερον αὖ τούτων ᾖ μᾶλλον ἡδὺ ποιεῖ τὴν ῥοπὴν τοῦ βούλεσθαι παρεῖναι ἢ μή. καὶ τοῦτ' ἐπὶ τῶν χειρόνων συμβαίνειν διὰ τὴν αὐτὴν αἰτίαν γίνεσθαι. μάλιστα γὰρ φιλοτιμοῦνται τοὺς φίλους μὴ πράττειν εὖ, μηδ' εἶναι ἀνάγκ αὐτοῖς κακῶς. διὸ ἐνίοτε τοὺς ἐρωμένους συναποκτιννύασι. μᾶλλον γὰρ τοῦ οἰκείου αἰσθάνονται κακοῦ. ὥσπερ ἂν εἰ καὶ μεμνημένος ὅ, τί ποτε εὖ ἔπραττε μᾶλλον ἢ εἰ ᾤετο ἀεὶ κακῶς πράττειν.

Quaestio

Ἀπορήσειε δ' ἄν τις εἰ ἔστιν ἑκάστῳ φίλῳ χρήσασθαι καὶ ἐφ' ὃ πέφυκε καὶ ἄλλως. καὶ τοῦτο ἢ αὐτὸ ἡδὺ κατὰ συμβεβηκός. οἷον ἢ ὀφθαλμὸς ἰδεῖν, ἢ καὶ ἄλλως παριδεῖν διαστρέψαντα. ὥστε δύο τὸ ἓν φανῆναι. αὗται μὲν δὴ ἄμφω ὅτι μὲν ὀφθαλμός. ὅτι ἦν δ' ὀφθαλμῷ. ἄλλη δὲ κατὰ συμβεβηκός. οἷον εἰ ἦν ἀποδόσθαι ἢ φαγεῖν. ὁμοίως δὴ καὶ ἐπιστήμῃ. καὶ γὰρ ἀληθῶς καὶ ἁμαρτεῖν. οἷον ὅταν ἑκὼν μὴ ὀρθῶς γράψῃ, ὡς ἀγνοίᾳ δὴ χρῆσθαι. ὥσπερ μεταστρέψας τὴν χεῖρα, καὶ τῷ ποδὶ ποτὲ ὡς χειρὶ καὶ ταύτῃ ὡς ποδὶ χρῶνται. ὀρχηστρίδες. εἰ δὴ πᾶσαι αἱ ἀρεταὶ ἐπιστῆμαι εἶεν. καὶ τῇ δικαιοσύνῃ ὡς ἀδικίᾳ χρῆσθαι.





εἰ δὲ κῆς. εἰ ἄρα ἀπὸ δικαιοσύνης τὰ ἄδικα πράττων, ὥσπερ καὶ τὰ ἀγνοητικὰ ἀπὸ ἐπιστήμης. εἰ δὲ τοῦτ' ἀδύνατον, φανερὸν ὅτι οὐκ ἂν εἶεν ἐπιστῆμαι αἱ ἀρεταί. οὐδ' εἰ μὴ ἔστιν ἀγνοεῖν ἀπὸ ἐπιστήμης. ἀλλὰ ἁμαρτάνειν μόνον. καὶ τὰ αὐτὰ ἀπὸ ἀγνοίας ποιεῖν, οὔτι ἀπὸ δικαιοσύνης γε ὡς ἀπὸ ἀδικίας πράξει. ἀλλ' ἐπεὶ φρόνησις ἐπιστήμη καὶ ἀληθές τι τὸ αὐτὸ ποιήσει κἀκείνη. ἐνδέχοιτο γὰρ ἂν ἀφρόνως ἀπὸ φρονήσεως καὶ ἁμαρτάνειν ταῦτα ἅπερ ὁ ἄφρων. εἰ δὲ ἁπλῆ ἑκάστου χρεία ᾗ ἕκαστον, κἂν φρονίμως ἔπραττον οὕτω πράττοντες. ἐπὶ μὲν οὖν ταῖς ἄλλαις ἐπιστήμαις, ἄλλη κυρία ποιεῖ τὴν στροφήν. αὐτῆς δὲ τῆς πασῶν κυρίας τίς. οὐ γὰρ ἔτι ἐπιστήμη γε ἢ νοῦς. ἀλλὰ μὴν οὐδ' ἀρετή. χρῆται γὰρ αὐτῇ. ἡ γὰρ τοῦ ἄρχοντος ἀρετὴ τῇ τοῦ ἀρχομένου χρῆται. τίς οὖν ἐστιν, ἢ ὥσπερ λέγεται ἀκρασία κακία τοῦ ἀλόγου τῆς ψυχῆς καὶ πῶς ἀκόλαστος ὁ ἀκρατὴς ἔχων νοῦν. ἀλλ' ἤδη ἂν ἰσχυρὰ ᾖ ἡ ἐπιθυμία, στρέψει καὶ λογιεῖται τἀναντία. σφι δῆλον ὅτι. κἂν μὲν ἐν τούτῳ ἀρετή. ἐν δὲ τῷ λόγῳ ἄνοια ᾖ, ἕτεραι μεταποιοῦνται. ὥστε ἔσται δικαιοσύνῃ τὸ δικαίως χρῆσθαι καὶ κακῶς, καὶ φρονήσει ἀφρόνως ὥστε καὶ τἀναντία. ἄτοπον γάρ, εἰ τῆς μὲν ἐν τῷ λογιστικῷ ἀρετῆς μοχθηρία ποτὲ ἐγγινομένη μὲν τῷ λόγῳ στρέψει καὶ ποιήσει ἀγνοεῖν. ἡ δ' ἀρετὴ ἐν τῷ λόγῳ ἀνοίας ἐνούσης, οὐ στρέψει ταύτην καὶ ποιήσει φρονίμως κρίνειν καὶ τὰ δέοντα. καὶ πάλιν ἡ φρόνησις ἡ ἐν τῷ λογιστικῷ τὴν ἐν τῷ ἀλόγῳ ἀκολασίαν σωφρόνως πράττειν, ὅπερ δοκεῖ ἡ ἐγκράτεια. ὥστ' ἔσται καὶ ἡ ἀπὸ ἀγνοίας φρονίμως, ἔστι τε ταῦτα ἄτοπα. ἄλλως τε καὶ ἀπὸ ἀγνοίας χρῆσθαι φρονίμως. τοῦτο γὰρ ἐπὶ τῶν ἄλλων οὐδαμῶς ὁρῶμεν. ὥσπερ τὴν ἰατρικὴν ἢ γραμματικὴν στρέφει ἀκολασία. ἀλλ' οὖν ὅτι τὴν ἄγνοιαν ἐὰν ᾖ ἐναντία διὰ τὸ μὴ ἐνεῖναι τὴν ὑπεροχὴν ἀλλὰ τὴν ἀρετήν, ὅλως μᾶλλον εἶναι πρὸς τὴν κακίαν οὕτως ἔχουσαν. καὶ γὰρ ὁ ἄδικος πάντα ὁ δίκαιος δύναται. καὶ ὅλως ἔνεστιν ἐν τῇ δυνάμει ἡ ἀδυναμία.

ὥστε δῆλον ὅτι ἅμα φρόνιμοι καὶ ἀγαθοὶ ἐκεῖναι αἱ ἄλλου
ἕξεις καὶ ὀρθῶς τὸ Σωκρατικὸν ὅτι οὐδὲν ἰσχυρότερον φρονή-
σεως. ἀλλ' ὅτι ἐπιστήμην ἔφη οὐκ ὀρθόν. ἀρετὴ γάρ ἐστι καὶ οὐκ ἐπι-
στήμη ἀλλὰ γένος ἄλλο γνώσεως. ἐπεὶ δ' οὐ μόνον ἡ φρόνησις
ποιεῖ τὴν εὐπραγίαν καὶ ἀρετήν, ἀλλὰ φαμὲν καὶ τοὺς εὐτυχεῖς εὖ
πράττειν, ὡς καὶ τῆς εὐτυχίας εὖ ποιούσης εὐπραγίαν καὶ τὰ αὐτὰ τῆς
ἐπιστήμης, σκεπτέον ἆρ' ἐστὶ φύσει, ὁ μὲν εὐτυχὴς ὁ δ' ἀτυχὴς ἢ οὔ.
καὶ πῶς ἔχει περὶ τούτων. ὅτι μὲν γάρ εἰσί τινες εὐτυχεῖς ὁρῶμεν.
ἄφρονες γὰρ ὄντες κατορθοῦσι πολλὰ ἐν οἷς ἡ τύχη κυρία. ἔτι δὲ καὶ
ἐν οἷς τέχνη ἐστί, πολὺ μέντοι καὶ τύχης ἐνυπάρχει, οἷον ἐν στρατη-
γίᾳ καὶ κυβερνητικῇ. πότερον οὖν ἀπό τινος ἕξεως οὗτοί εἰσιν, ἢ οὐ τῷ
αὐτοὶ ποιοί τινες εἶναι πρακτικοί εἰσι τῶν εὐτυχημάτων. νῦν
μὲν γὰρ οὕτως οἴονται ὡς φύσει τινῶν ὄντων. ἡ δὲ φύσις ποιούς τινας
ποιεῖ, καὶ εὐθὺς ἐκ γενετῆς διαφέρουσιν ὥσπερ οἱ μὲν γλαυκοὶ οἱ δὲ μελα-
νόμματοι τῷ δεῖν τοιονδὶ ἔχειν, οὕτω καὶ οἱ εὐτυχεῖς καὶ ἀτυχεῖς. ὅτι
μὲν γὰρ οὐ φρονήσει κατορθοῦσι, δῆλον. οὐ γὰρ ἄλογος ἡ φρόνησις, ἀλλ' ἔχει λό-
γον διὰ τί οὕτω πράττει. οἱ δ' οὐκ ἂν ἔχοιεν εἰπεῖν διὰ τί κατορθοῦσι·
τέχνη γὰρ ἂν ἦν. ἔτι δὲ φανερὸν ὄντες ἄφρονες οὐχ ὅτι περὶ ἄλλα·
Hippocrates — τοῦτο γὰρ οὐθὲν ἄτοπον. οἷον Ἱπποκράτης γεωμετρικὸς ὢν ἀλλὰ περὶ
τὰ ἄλλα δοκεῖ βλὰξ καὶ ἄφρων εἶναι, καὶ πολὺ χρυσίον πλέων
ἀπώλεσεν ὑπὸ τῶν ἐν Βυζαντίῳ πεντηκοστολόγων δι' εὐήθειαν
ὡς λέγουσιν. ἀλλ' ὅτι καὶ ἐν ἐνίοις εὐτυχοῦσιν ἄφρονες. περὶ γὰρ
ναυκληρίαν οὐχ οἱ δεινότατοι εὐτυχεῖς. ἀλλ' ὥσπερ ἐν κύβων πτώ-
σει ὁ μὲν οὐθέν, ἄλλος δὲ βάλλει καθ' ἣν φύσει ἐστὶν εὐτυχής. ἢ τῷ
Tesserar casui fi / niha humana — φιλεῖσθαι ὥσπερ φασὶν ὑπὸ θεοῦ, καὶ ἔξωθέν τι εἶναι τὸ κατορθοῦν· οἷον
πλοῖον κακῶς νεναυπηγημένον ἄμεινον πολλάκις δὲ πλεῖ, ἀλλ'
οὐ δι' αὑτό, ἀλλ' ὅτι ἔχει κυβερνήτην ἀγαθόν. ἀλλ' οὕτως εὐτυχῶν τὸν
δαίμον' ἔχει κυβερνήτην ἀγαθόν. ἀλλ' ἄτοπον θεὸν ἢ δαίμονα φι-
λεῖν τὸν τοιοῦτον, ἀλλὰ μὴ τὸν βέλτιστον καὶ τὸν φρονιμώτατον. εἰ
δὴ ἀνάγκη ἢ φύσει ἢ νῷ ἢ ἐπιτροπίᾳ τινὶ κατορθοῦν, τὰ δὲ δύο μὴ ἦ,
φύσει



φύσει ἂν εἶεν οἱ εὐτυχεῖς. ἀλλὰ μὴν ἥ γε φύσις αἰτία, ἢ τοῦ ἀεὶ — Natura / Fortuna > D
ὡσαύτως, ἢ τοῦ ὡς ἐπὶ τὸ πολύ· ἡ δὲ τύχη τοὐναντίον. εἰ μὲν οὖν
τὸ παραλόγως ἐπιτυγχάνειν, τύχης δοκεῖ εἶναι. ἀλλ' εἴπερ διὰ
τύχην εὐτυχής, οὐκ ἂν τοιοῦτον εἶναι τὸ αἴτιον, οἷον ἀεὶ τοῦ αὐτοῦ ὡς
ἐπὶ τὸ πολύ. ἔτι εἰ ὅτι τοιοσδί, ἐπιτυγχάνει ἢ ἀποτυγχάνει, ὥσπερ ὅτι ὁ
γλαυκὸς οὐκ ὀξὺ ὁρᾷ, οὐ τύχη αἰτία, ἀλλὰ φύσις. οὐκ ἄρα ἐστὶν εὐτυ-
χής, ἀλλ' οἷον εὐφυής. ὥσπερ οὖν ἂν εἴη λεκτέον ὅτι οὓς λέγομεν εὐ-
τυχεῖς οὐ διὰ τύχην εἰσίν. οὐκ ἄρα εἰσὶν εὐτυχεῖς. τύχης γὰρ ὅσων αἰ-
τία τύχη ἀγαθὴ ἀγαθῶν. εἰ δ' οὕτω, πότερον οὐκ ἔσται τύχη ὅλως, ἢ ἔσται
μέν, ἀλλ' οὐκ αἰτία; ἀλλ' ἀνάγκη καὶ εἶναι καὶ αἰτίαν εἶναι. ἔσται ἄρα καὶ
ἀγαθῶν τισιν αἰτία ἢ κακῶν. εἰ δ' ὅλως ἐξαιρετέον καὶ οὐδὲν ἀπὸ τύ-
χης φατέον γίνεσθαι, ἀλλ' ἡμεῖς ἄλλης οὔσης αἰτίας διὰ τὸ μὴ ὁ-
ρᾶν τύχην εἶναί φαμεν αἰτίαν. διὸ καὶ ὁριζόμενοι τὴν τύχην τιθέα-
σιν αἰτίαν ἄλογον ἀνθρωπίνῳ λογισμῷ, ὡς οὔσης τινὸς φύσεως. — Diff.o pulchra fortunae
τοῦτο μὲν οὖν ἄλλο πρόβλημα ἂν εἴη. ἐπειδὴ ὁρῶμέν τινας ἅπαξ
εὐτυχήσαντας, διὰ τί οὐ καὶ πάλιν αὖ διὰ τὸ αὐτὸ κατορθῶσαι
καὶ πάλιν καὶ πάλιν; τοῦ γὰρ αὐτοῦ τὸ αὐτὸ αἴτιον. οὐκ ἄρα ἔσται τύχης τοῦτο.
ἀλλ' ὅταν τὸ αὐτὸ ἀποβαίνῃ ἀπὸ ἀπείρων καὶ ἀορίστων, ἔσται μὲν τὸ ἀγαθὸν
ἢ κακόν, ἐπιστήμη δ' οὐκ ἔσται αὐτοῦ ἡ δι' ἀπειρίαν, ἐπεὶ ἐμάνθανον
ἄν τινες εὐτυχεῖν, ἢ καὶ πᾶσαι ἂν αἱ ἐπιστῆμαι ὥσπερ ἔφη Σωκρά- — Socrates
της εὐτυχίαι ἦσαν. τί οὖν κωλύει συμβῆναί τινι ἐφεξῆς τὰ τοιαῦ-
τα πολλάκις, οὐχ ὅτι ὡδὶ δεῖ, ἀλλ' οἷον ἂν εἴη τὸ κύβους ἀεὶ μα- — κύβους ἀεὶ μακρὰν βά λλειν
κρὰν βάλλειν; τί δὲ δή; ἆρ' οὐκ ἔνεισιν ὁρμαὶ ἐν τῇ ψυχῇ, αἱ μὲν ἀ-
πὸ λογισμοῦ, αἱ δὲ ἀπὸ ὀρέξεως ἀλόγου. καὶ πρότεραι αὗται. εἰ γάρ ἐστι
φύσει ἡ δι' ἐπιθυμίαν ἡδέος καὶ ἡ ὄρεξις, φύσει γε ἐπὶ τὸ ἀγαθὸν
βαδίζοι ἂν πᾶν. εἰ δή τινές εἰσιν εὐφυεῖς, ὥσπερ οἱ ᾠδικοὶ οὐκ
ἐπιστάμενοι ᾄδειν, οὕτως εὖ πεφύκασι καὶ ἄνευ λόγου ὁρμῶσιν ᾗ ἡ φύ-
σις πέφυκε, καὶ ἐπιθυμοῦσι καὶ τούτου καὶ τότε καὶ οὕτως ὡς δεῖ καὶ οὗ δεῖ καὶ
ὅτε, οὗτοι κατορθώσουσι, κἂν τύχωσιν ἄφρονες ὄντες καὶ ἄλογοι, ὥσ-
περ καὶ εὖ ᾄσονται οἱ διδασκαλικοὶ οὐκ ὄντες. οἱ δέ γε τοιοῦτοι εὐτυχεῖς.

ὅσοι ἄνευ λόγου κατορθοῦσιν, ὡς ἐπὶ τὸ πολύ· φύσει ἄρα οἱ εὐτυχεῖς εἶεν ἄν. ἢ ἆρ᾽ ἢ πλεοναχῶς λέγεται ἡ εὐτυχία. τὰ μὲν γὰρ πράττεται ἀπὸ τῆς ὁρμῆς καὶ προελομένων πρᾶξαι, τὰ δ᾽ οὔ· ἀλλὰ τοὐναντίον. καὶ ἐν ἐκείνοις κακῶς λογίσασθαι δοκοῦσι κατορθοῦντας, καὶ εὐτυχῆσαι φαμέν. καὶ πάλιν ἐν τούτοις, εἰ ἐβούλοντο ἂν ἢ ἔλαττον ἔλαβον τἀγαθόν. ἐκείνοις μὲν τοίνυν εὐτυχεῖν διὰ φύσιν ἐνδέχεται· ἡ γὰρ ὁρμὴ καὶ ὄρεξις οὖσα οὗ δεῖ κατώρθωσεν, ὁ δὲ λογισμὸς ἦν ἠλίθιος. καὶ τοὺς μὲν ἐνταῦθα, ὅταν μὲν λογισμὸς μὴ δοκῶν ὀρθῶς εἶναι, τύχη δ᾽ αὐτοῦ αἰτία οὖσα, αὐτὴ δ᾽ ὀρθὴ οὖσα, ἔσωσεν. ἀλλ᾽ ἐνίοτε δὲ ἐπιθυμίαν ἐλογίσατο πάλιν, οὕτω καὶ ἠτύχησεν. ἐν δὲ δὴ τοῖς ἑτέροις πῶς ἔσται ἡ εὐτυχία κατ᾽ εὐφυΐαν ὀρέξεως καὶ ἐπιθυμίας. ἀλλὰ μὴν ἡ ἐνταῦθα εὐτυχία καὶ τύχη διττή, κἀκείνη ἡ αὐτή· ἢ πλείους αἱ εὐτυχίαι. ἐπεὶ δ᾽ ὁρῶμεν παρὰ πάσας τὰς ἐπιστήμας καὶ τοὺς λογισμοὺς τοὺς ὀρθοὺς εὐτυχοῦντας τινάς, δῆλον ὅτι ἕτερον ἄν τι εἴη τὸ αἴτιον τῆς εὐτυχίας. ἐκείνη δὲ πότερον ἡ εὐτυχία ἢ οὐκ ἔστιν ἣ ἐπεθύμησεν ὧν ἔδει καὶ ὅτε ἔδει τῷ λογισμὸς ἀνθρώπινος, οὐκ ἂν τούτου εἴη. οὐ γὰρ δὴ πάμπαν ἀλόγιστον τοῦτο, οὗ τε φυσική ἐστιν ἡ ἐπιθυμία· ἀλλὰ διαφθείρεται ὑπό τινος. εὐτυχεῖν μὲν οὖν δοκεῖ ὅτι ἡ τύχη τῶν παρὰ λόγον αἰτία· τούτου δὲ παρὰ λόγου· παρὰ γὰρ τὴν ἐπιστήμην καὶ τὸ καθόλου. ἀλλ᾽ ὡς ἔοικεν οὐκ ἀπὸ τύχης· ἀλλὰ δοκεῖ διὰ τοῦτο. ὥσθ᾽ οὗτος μὲν ὁ λόγος οὐ δείκνυσιν ὅτι φύσει εὐτυχεῖν· ἀλλ᾽ ὅτι οὐ πάντες οἱ δοκοῦντες εὐτυχεῖν, διὰ τύχην κατορθοῦσιν· ἀλλὰ διὰ φύσιν. οὐδ᾽ ὅτι οὐκ ἔστι τύχη αἰτία οὐθενὸς δείκνυσιν· ἀλλ᾽ οὐ τῶν πάντων ὧν δοκεῖ. τοῦτο μέντ᾽ ἂν ἀπορήσειέ τις· ἆρ᾽ αὐτοῦ τούτου τύχη αἰτία, τοῦ ἐπιθυμῆσαι οὗ δεῖ καὶ ὅτε δεῖ. ἢ οὕτω γε πάντων ἔσται. καὶ γὰρ τοῦ νοῆσαι καὶ βουλεύσασθαι. οὐ γὰρ δὴ ἐβουλεύσατο βουλευσάμενος, καὶ τοῦτ᾽ ἐβουλεύσατο· ἀλλ᾽ ἔστιν ἀρχή τις. οὐδ᾽ ἐνόησε νοήσας πρότερον νοῆσαι, καὶ τοῦτ᾽ εἰς ἄπειρον. οὐκ ἄρα τοῦ νοῆσαι συνοῦσα ἀρχή· οὐδὲ τοῦ βουλεύσασθαι βουλή. τί οὖν ἄλλο πλὴν τύχη; ὥστ᾽ ἀπὸ τύχης ἅπαντα ἔσται. ἢ ἔστι τις ἀρχὴ ἧς οὐκ ἔστιν ἄλλη ἔξω. αὕτη δὲ διὰ τί τοιαύτη τὸ εἶναι τοῦτο δύνασθαι ποιεῖν.



τὸ δὲ ζητούμενον τοῦτ᾽ ἐστί, τίς ἡ τῆς κινήσεως ἀρχὴ ἐν τῇ ψυχῇ. δῆλον δὴ ὥσπερ ἐν τῷ ὅλῳ θεός, καὶ πᾶν ἐκείνῳ· κινεῖ γάρ πως πάντα τὸ ἐν ἡμῖν θεῖον. λόγου δ᾽ ἀρχὴ οὐ λόγος, ἀλλά τι κρεῖττον. τί οὖν ἂν κρεῖττον καὶ ἐπιστήμης εἴποι πλὴν θεός· ἡ γὰρ ἀρετὴ τοῦ νοῦ ὄργανον. καὶ διὰ τοῦτο οἱ πάλαι ἔλεγον εὐτυχεῖς καλοῦνται οἳ ἂν ὁρμήσωσι κατορθοῦν ἄλογοι ὄντες. καὶ βουλεύεσθαι οὐ συμφέρει αὐτοῖς. ἔχουσι γὰρ ἀρχὴν τοιαύτην, ἣ κρείττων τοῦ νοῦ καὶ τῆς βουλεύσεως. οἱ δὲ τὸν λόγον· τοῦτο δ᾽ οὐκ ἔχουσι, καὶ ἐνθουσιασμοί· τοῦτο δ᾽ οὐ δύνανται. ἄλογοι γὰρ ὄντες ἀποτυγχάνουσι. καὶ τούτων φρονίμων καὶ σοφῶν ταχεῖαν εἶναι τὴν μαντικὴν καὶ μόνον οὐ τὴν ἀπὸ τοῦ λόγου δεῖ ἀπολαβεῖν. ἀλλ᾽ οἱ μὲν δι᾽ ἐμπειρίαν, οἱ δὲ διὰ συνήθειαν τι ἐν τῷ σκοπεῖν χρῆσθαι· τῷ θεῷ δὲ αὗται. τοῦτο καὶ εὖ ὁρᾷ καὶ τὸ μέλλον καὶ τὸ ὄν, καὶ ὧν ἀπολύεται ὁ λόγος οὗτος. διὸ οἱ μελαγχολικοί, καὶ εὐθυόνειροι. ἔοικε γὰρ ἡ ἀρχὴ ἀπολυομένους τοὺς λόγους ἰσχύειν μᾶλλον. καὶ ὥσπερ οἱ τυφλοὶ μνημονεύουσι μᾶλλον ἀπολυθέντες τοῦ πρὸς τοῖς εἰρημένοις εἶναι τὸ μνημονεῦον. φανερὸν δὲ ὅτι δύο εἴδη εὐτυχίας· ἡ μὲν θεία· διὸ καὶ δοκεῖ ὁ εὐτυχὴς διὰ θεὸν κατορθοῦν. οὗτος δ᾽ ἐστὶν ὁ κατὰ τὴν ὁρμὴν διορθωτικός. ὁ δ᾽ ἕτερος ὁ παρὰ τὴν ὁρμήν. ἄλογοι δ᾽ ἀμφότεροι. καὶ ἡ μὲν συνεχὴς εὐτυχία μᾶλλον· αὕτη δὲ οὐ συνεχής. κατὰ μέρος μὲν οὖν περὶ ἑκάστης ἀρετῆς εἴρηται πρότερον. ἐπεὶ δὲ χωρὶς διείλομεν τὴν δύναμιν αὐτῶν, καὶ περὶ τῆς ἀρετῆς δι    τίον τῆς ἐκ τούτων, ἣν ἐκαλοῦμεν ἤδη καλοκαγαθίαν. ὅτι μὲν οὖν ἀναγκαῖον τὸν ταύτης ἀληθῶς τευξόμενον τῆς προσηγορίας ἔχειν τὰς κατὰ μέρος ἀρετάς, φανερόν. οὐδὲν γὰρ ἐπὶ τῶν ἄλλων οὐθενὸς οἷόν τ᾽ ἄλλως ἔχειν. οὐδεὶς γὰρ ὅλον μὲν τὸ σῶμα ὑγιαίνει, μέρος δὲ οὐθέν. ἀλλ᾽ ἀναγκαῖον πάντα ἢ τὰ πλεῖστα καὶ κυριώτατα τὸν αὐτὸν ἔχειν τρόπον τῷ ὅλῳ. ἔστι δὴ τὸ ἀγαθὸν εἶναι καὶ τὸ καλὸν κἀγαθὸν οὐ μόνον κατὰ τὰ ὀνόματα, ἀλλὰ καὶ καθ᾽ αὑτὰ ἔχοντα διαφοράν. τῶν γὰρ ἀγαθῶν πάντων τέλη ἐστίν, ἃ αὐτὰ αὑτῶν ἕνεκά ἐστιν αἱρετά. τούτων δὲ καλά, ὅσα δι᾽ αὑτὰ ὄντα πάντα ἐπαινετά ἐστι. ταῦτα γάρ ἐστιν ἀφ᾽ ὧν αἵ τε πράξεις εἰσὶν ἐπαι-

εὐθυώνειροι

Bona fortuna duo genera

καλοκαγαθ.

μεταὶ τὰ αὐτὰ ἐπαινετά· δικαιοσύνη καὶ αὐτὴ καὶ αἱ πράξεις καὶ οἱ σώφρονες ἐπαινετοί· καὶ ἡ σωφροσύνη· ἀλλ' οὐχ ὑγίεια ἐπαινετόν· οὐ γὰρ τὸ ἔργον, οὐδὲ τὸ ἰσχυρῶς· ἀλλ' ἀγαθὰ μὲν, ἐπαινετὰ δ' οὔ. ὁμοίως δὲ τοῦτο δῆλον καὶ ἐπὶ τῶν ἄλλων διὰ τῆς ἐπαγωγῆς. ἀγαθὸς μὲν οὖν ἐστιν ᾧ τὰ φύσει ἀγαθά ἐστιν ἀγαθά. τὰ γὰρ περιμάχητα καὶ μέγιστα εἶναι δοκοῦντα ἀγαθά, τιμὴ καὶ πλοῦτος καὶ σώματος ἀρεταὶ καὶ εὐτυχίαι καὶ δυνάμεις, ἀγαθὰ μὲν φύσει ἐστὶν, ἐνδέχεται δ' εἶναι βλαβερὰ τισὶ διὰ τὰς ἕξεις. οὔτε γὰρ ἄφρων οὔτ' ἄδικος ἢ ἀκόλαστος οὐδὲν ἂν ὀνήσειε χρώμενος αὐτοῖς, ὥσπερ οὐδ' ὁ κάμνων τῇ τοῦ ὑγιαίνοντος τροφῇ χρώμενος, οὐδ' ὁ ἀσθενὴς καὶ ἀνάπηρος τοῖς τοῦ ὑγιοῦς τοῦ ὁλοκλήρου κόσμοις. καλὸς δὲ κἀγαθὸς τῷ τῶν ἀγαθῶν τὰ καλὰ ὑπάρχειν αὐτῷ δι' αὐτά, καὶ τῷ πρακτικὸς εἶναι τῶν καλῶν καὶ αὐτῶν ἕνεκα. καλὰ δ' ἐστὶν αἵ τε ἀρεταὶ καὶ τὰ ἔργα τὰ ἀπὸ τῆς ἀρετῆς. ἔστι δέ τις ἕξις πολιτική, οἵαν οἱ Λάκωνες ἔχουσιν, ἢ ἄλλοι τοιοῦτοι ἔχοιεν ἄν. αὕτη δ' ἐστὶν ἕξις τοιαύτη· εἰσὶ γὰρ οἳ οἴονται τὴν ἀρετὴν δεῖν μὲν ἔχειν, ἀλλὰ τῶν φύσει ἀγαθῶν ἕνεκεν. διὸ ἀγαθοὶ μὲν ἄνδρες εἰσί· τὰ γὰρ φύσει ἀγαθὰ αὐτοῖς ἐστί· καλοκἀγαθίαν γὰρ οὐκ ἔχουσιν. οὐ γὰρ ὑπάρχει αὐτοῖς τὰ καλὰ δι' αὐτά, καὶ προαιροῦνται καλοὶ κἀγαθοί· καὶ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ τὰ μὴ καλὰ μὲν φύσει ὄντα, ἀγαθὰ δὲ φύσει ὄντα τούτοις καλά. καλὰ γάρ ἐστιν ὅταν οὗ ἕνεκα πράττουσι καὶ αἱροῦνται καλὰ ᾖ. διότι τῷ καλῷ κἀγαθῷ καλά ἐστι τὰ φύσει ἀγαθά. καλὸν γὰρ τὸ δίκαιον· τοῦτο δὲ τὸ κατ' ἀξίαν· ἄξιος δ' οὗτος τούτων· καὶ τὸ πρέπον καλόν· πρέπει δὲ ταῦτα τούτῳ, πλοῦτος, εὐγένεια, δύναμις. ὥστε τῷ καλῷ κἀγαθῷ καὶ τὰ αὐτὰ συμφέροντα καὶ καλά ἐστι. τοῖς δὲ πολλοῖς διαφωνεῖ τοῦτο· οὐ γὰρ τὰ ἁπλῶς ἀγαθὰ κἀκείνοις ἀγαθά ἐστι, τῷ δ' ἀγαθῷ ἀγαθὰ καὶ καλά· πολλὰς γὰρ καλὰς πράξεις δι' αὐτὰ πράττει. ὁ δ' οἰόμενος τὰς ἀρετὰς ἔχειν δεῖν ἕνεκα τῶν ἐκτὸς ἀγαθῶν, κατὰ συμβεβηκὸς τὰ καλὰ πράττει. ἔστιν οὖν καλοκἀγαθία ἀρετὴ τέλειος.

καὶ περὶ

καλὸς κἀγαθός

καλοκἀγαθία



καὶ περὶ ἡδονῆς δ' εἴρηται ποῖόν τι καὶ πῶς ἀγαθόν, καὶ ὅτι τά τε ἁπλῶς ἡδέα καὶ καλὰ καὶ τά τε ἁπλῶς ἀγαθὰ ἡδέα. οὐ γίνεται δὲ ἡδονὴ μὴ ἐν πράξει· διὰ τοῦτο ὁ ἀληθῶς εὐδαίμων καὶ ἥδιστα ζήσει. καὶ τοῦτο οὐ μάτην οἱ ἄνθρωποι ἀξιοῦσιν. ἐπεὶ δ' ἐστί τις ὅρος καὶ τῷ ἰατρῷ, πρὸς ὃ ἀναφέρων κρίνει τὸ ὑγιεινὸν σώματι καὶ μή, καὶ πρὸς ὃν μέχρι ποσοῦ ποιητέον ἕκαστον καὶ εὖ ὑγιαῖνον, εἰ δὲ ἔλαττον ἢ πλέον οὐκέτι, οὕτω καὶ τῷ σπουδαίῳ περὶ τὰς πράξεις καὶ αἱρέσεις τῶν φύσει μὲν ἀγαθῶν, οὐκ ἐπαινετῶν δέ, δεῖ τινα εἶναι ὅρον καὶ τῆς ἕξεως καὶ τῆς αἱρέσεως καὶ περὶ φυγῆς χρημάτων πλήθους καὶ ὀλιγότητος καὶ τῶν εὐτυχημάτων. ἐν μὲν οὖν τοῖς πρότερον ἐλέχθη τὸ ὡς ὁ λόγος. τοῦτο δ' ἐστὶν ὥσπερ ἂν εἴ τις ἐν τοῖς περὶ τὴν τροφὴν εἴποιεν ὡς ἡ ἰατρικὴ καὶ ὁ λόγος ταύτης. τοῦτο δ' ἀληθὲς μὲν, οὐ σαφὲς δέ. δεῖ δὴ ὥσπερ καὶ ἐν τοῖς ἄλλοις πρὸς τὸ ἄρχον ζῆν, καὶ πρὸς τὴν ἕξιν κατὰ τὴν ἐνέργειαν τὴν τοῦ ἄρχοντος, οἷον δοῦλον πρὸς δεσπότου καὶ ἕκαστον πρὸς τὴν ἑκάστου καθήκουσαν ἀρχήν. ἐπεὶ δὲ καὶ ἄνθρωπος φύσει συνέστηκεν ἐξ ἄρχοντος καὶ ἀρχομένου, καὶ ἕκαστον δὴ δέοι πρὸς τὴν ἑαυτῶν ἀρχὴν ζῆν. αὕτη δὲ διττή· ἄλλως γὰρ ἡ ἰατρικὴ ἀρχὴ καὶ ἄλλως ἡ ὑγίεια· ταύτης δὲ ἕνεκα ἐκείνη. οὕτω δ' ἔχει κατὰ τὸ θεωρητικόν. οὐ γὰρ ἐπιτακτικῶς ἄρχων ὁ θεός, ἀλλ' οὗ ἕνεκα ἡ φρόνησις ἐπιτάττει. διττὸν δὲ τὸ οὗ ἕνεκα· διώρισται δ' ἐν ἄλλοις· ἐπεὶ κεῖνός γε οὐδενὸς δεῖται. ἥτις οὖν αἵρεσις καὶ κτῆσις τῶν φύσει ἀγαθῶν ποιήσει μάλιστα τὴν τοῦ θεοῦ θεωρίαν, ἢ σώματος ἢ χρημάτων ἢ φίλων ἢ τῶν ἄλλων ἀγαθῶν, αὕτη ἀρίστη, καὶ οὗτος ὁ ὅρος κάλλιστος· ἥτις δ' ἢ δι' ἔνδειαν ἢ δι' ὑπερβολὴν κωλύει τὸν θεὸν θεραπεύειν καὶ θεωρεῖν, αὕτη δὲ φαύλη. ἔχει δὲ τοῦτο τῇ ψυχῇ, καὶ οὗτος τῆς ψυχῆς ὁ ὅρος ἄριστος, τὸ ἥκιστα αἰσθάνεσθαι τοῦ ἄλλου μέρους τῆς ψυχῆς ᾗ τοιοῦτον. τίς μὲν οὖν ὅρος τῆς καλοκἀγαθίας καὶ τίς ὁ σκοπὸς τῶν ἁπλῶς ἀγαθῶν, ἔστω εἰρημένον.

ἈΡΙΣΤΟΤΕΛΟΥΣ ἨΘΙΚΩΝ ΕΥΔΗΜΙΩΝ ΤΕΛΟΣ.

·X·

| | | | | |
|---|---|---|---|---|
| αααα | ζζζζ | παρὰ | πλάτων | διαβίου· |
| prima alba | βουλία· | πρὸς τὸ | φανερὸν | καὶ τὰς |
| ἈΡΙΣΤΟ | λουτο | ρὸν καὶ | τειῶν | λεμος· |
| κασον | ταυτὸν· | μμμμ | ρρρρ | χχχχ |
| κος·ὑπὲρ | ἈΡΙΣΤΟ | ὁμοίως | καὶ κα | σένων |
| δὲ ἐπι | πράττειν | κοινωνεῖν | τὸν δὲ | ἡδονὴν |
| ββββ | ηηηη | τὸ αὐτὸ | ἈΡΙΣΤΟ | δύνα |
| ἈΡΙΣΤΟ | τῆς ἐστι | ἢ τὸν | τοῦ ἑνὸς | ψψψψ |
| πῶς ἔχει | μὴ ἐμμε | φανερὸν | δικαίως | ἈΡΙΣΤΟ |
| γὰρ τὸ | καὶ ἡ | νννν | σσσσ | τὸ δ᾽ ἄωθε· |
| ἀγαθοὶ | αἱρετώ | πάντας | ὀλιγαρ | περὶ |
| οὐδὲ | ἄριστο | ὁμοίως | γοι·γὰρ | περὶ δὲ |
| γγγγ | θθθθ | τοῦ μέρους | δὲ γνω | πλοῖα |
| κεδὲ | παρέκ | ὤνιοι | διοδεῖ | χίοι |
| δὲ καὶ | λεῖται | γὰρ τοῖς | τυραννί | ωωωω |
| ὁρίζοντας | μι·ὁμοί | ξξξξ | ττττ | ἈΡΙΣΤΟ |
| οὖν ἡ | σιν·τὸ | ἀδίκως | τι οὐ | πότερα· |
| ὅτι ἧττον | οἷον καὶ | πολιτεί- | σιν·οἷον | ἀθάνα |
| δδδδ | ιιιι | καθ᾽ ἃ | ἈΡΙΣΤΟ | ἐστιν ἀ |
| ρεὰς | ζῆν τὸν | λέγω | ὥστε | ἐστιν ἀλ |
| τῆς γὰρ | τὸ συν | κοινὸν | πλουσί· | ΑΑΑΑ |
| λοιψέ | μάλι | οοοο | υυυυ | ἐναν |
| γιζό | μέρος | ὥρας | ἈΡΙΣΤΟ | λέγειν |
| καὶ κα | πάσῃ | καὶ αἴ | εὐτυχί | ἄλλαι |
| εεεε | κκκκ | λείας· | καὶ περ | ὄντα |
| ἔρεξε | μεῖ·ἐπεὶ | τερον | ὅτι τὸ | θερος |
| διαφέρει | ζῶν·τὸν | παιδὸ | αξόν· | ΒΒΒΒ |
| παράγε | λλλλ | ππππ | φφφφ | καὶ ἡ |
| γὰρ ἀδι | ἈΡΙΣΤΟ | πλεῖο | ὡς αἰαὶ | διώει |
| τὲ γνμώ· | ὥστε· | μουσιν | νεῖν·ἐν | τῆς ἐπι |
| | | | | τῆς οὐ |

| | | | | |
|---|---|---|---|---|
| τῆς οὐ | γὰρ μεμα | σίαν· | ΘΘΘΘ | ὥσπερ· |
| πέτα καὶ | κινήσεως | λον· | ἀλλ᾽ αὕτη | νενομοθέτη |
| ΓΓΓΓ· | ΕΕΕΕ | βηκε· | τὸν φρόνιμον | ΚΚΚΚ |
| ὑπερφι | ἔχοντος | τοτούτη | τῆς δεινο | ὅμοιον |
| ἀγαθὸ | ἔσονται | ΗΗΗΗ | Ἀριστοτέλους | ται |
| σης· | χρηεία | τὸ γὰρ | ἐπιστήμης· | κατὰ |
| ΔΔΔΔ | νάζει | δικήα | ΙΙΙΙ | οὔτε |
| Ἀριστοτέλους | αὐτῷ | ἄλλου | ἀκρατεῖ | καὶ ὅλως |
| μᾶλλον· | ΖΖΖΖ | ματα | φύσιν | ὧσ οὐ |
| ἐπιθυμίαν | τῶν μεν | πλέον· | μία. | |

αααα· ββββ· γγγγ· δδδδ· εεεε· ζζζζ· ηηηη· θθθθ· ιιιι· κκκκ· λλλλ· μμμμ· νννν· ξξξξ· οοοο· ππππ· ρρρρ· σσσσ· ττττ· υυυυ· φφφφ· χχχχ· ψψψψ· ωωωω· ΑΑΑΑ· ΒΒΒΒ· ΓΓΓΓ· ΔΔΔΔ· ΕΕΕΕ· ΖΖΖΖ· ΗΗΗΗ· ΘΘΘΘ· ΙΙΙΙ· ΚΚΚΚ·

ἅπαντα πεντάδια πλὴν τῶν, κκκκ δυαδίου· χχχχ· καὶ ΓΓΓΓ· τρια δίων· ψψψψ· καὶ ΚΚΚΚ· ἑξαδίων·

Omnes quinterni præter κκκκ· duernum χχχχ· et ΓΓΓΓ. ternos. ψψψψ· et. ΚΚΚΚ. sexternos.
Venetiis. M. IID. Mense iunio. Apud Aldum. et hoc cum priuilegio

comence a leer o leo fra. Antes ...

- tiene leo Los sermones de Codro
- tiene el mysmo la cosmographia de ptolomeo de mano
- tiene el mysmo los obras de ouydio de ... gramatico
- tiene el mysmo ... ... de figuras

Aluaro de Sahagu barruero
del horno de su mag...